



ANECDOTA GRÆCA

E CODD. MANUSCRIPTIS

BIBLIOTHECARUM OXONIENSIUM

DESCRIPSIT

J. A. CRAMER, S.T.P.

AULÆ NOVI HOSPITII PRINCIPALIS,

NECNON

ACADEMIÆ ORATOR PUBLICUS.

VOL. III.

OXONII,

E TYPOGRAPHEO ACADEMICO.

MDCCCXXXVI.

MONITUM LECTORI.

TERTIO Anecdotorum Volumine, nunc primum Græce edimus Meletii Iatro-sophistæ Opusculum *Περὶ τῆς τοῦ ἀνθρώπου κατασκευῆς*, hactenus tantum ex Latina Versione Nicolai Petreii Corcyræi Venetiis An. 1552 impressa, vulgatum. Textum ad fidem trium Codicum Bodleianorum exhibemus: Baroc-ciani 131 (A). Roe 14 (B) et 15 (C); quorum longe antiquitate et bonitate præstantior est Baroccianus. Hunc ineunte decimo quarto seculo scriptum fuisse judico. Duo alii multo recentiores sunt. Et Baroccianum quidem fuisse exemplar, e quo Petreius Versionem suam confecit, suspicatur Vir doctissimus Lud. Bachmannus in "Quæstione de Meletio Græce "inedito ejusque Latino Interprete Nic. Petreio," p. 4[a]; sed licet optime de Meletio et Codicibus ejus judicaverit Bachmannus, in hac conjectura verum non est assecutus—nam vel inde apparet Petreium non usum fuisse Codice Barocciano, quod hic longe auctior est in ea operis parte quæ de Anima tractat. Aliquoties autem Petreius citationes affert quæ in nostro Codice desiderantur; ut exempli gratia p. 136, 25. hæc Callimachi verba, *ἴθι πρηεῖα γυναικῶν τὴν ὁδὸν ἣν ἀνίαι θυμοφθόροι οὐ περόωσιν.* Quoniam autem Codices omnes, si Parisinos excipias, quos non inspexi, certe superat Baroccianus, non dubitavi ejus auctoritatem ubique potiorem habere, nisi ubi manifeste corrigendus erat ex aliis—quorum B secundum ob-

[a] Rostock. 1833. 4°.

tinet locum. Hic Codex mihi congruere videtur cum Vindobonensi, quem B etiam Bachmannus signavit (p. 5). Et idem forte erit Codex de quo Fabricius Bibl. Gr. Lib. V. c. 24. t. VIII. p. 406. Vet. Ed. "altero Bibl. Cæsar. Codice, caput XXXV. "de Anima quintuplo majus occurrit." Sed hoc e Barocciano nunc decuplo majus exhibemus.

Quod ad Meletii tractatum attinet, videtur opus esse pii et eruditi hominis, a variis fontibus, nunc plerumque deperditis, conflatum. Multus autem est in etymologiis, quas ex Socrate et Sorano hausisse videtur. Non mirum est itaque illum plurima communia habere cum Etymologico M; ad quem corrigendum aliquoties inservit.

Post Meletium exscripsi ex eodem Cod. Barocciano Anonymi cujusdam Byzantini grammatici Epistolas, qui Alexio Comneno regnante floruisse videtur, ut ex epistola ad Imperatorem illum patet. Sunt illæ quidem varii argumenti, et non inutiles ad illustrandum istius ævi rem literariam: jejunam sane, fatendum est, et corruptæ aulæ vanitate imbutam. Sequuntur deinceps tria opuscula alius Sophistæ, item Anonymi. Cujus primum inscriptum est Ξενέδημος ἢ Φωναί. Est Dialogus nempe Logicus de quinque prædicabilibus Porphyrii. Alterum ad Cæsarem, Justinianum fortasse, dicatum, inscribitur Ὑπὲρ πρασίνων, sive de prasino colore. Tertium est invectiva in grammaticum quendam indoctum, qui falso hunc titulum sibi præsumpsisse ausus erat. Hæc suppeditavit Codex Baroccianus 167. Chart. XV. Sec. et Cod. Barocc. 187. recentissimus, atque prioris, ut videtur, apographus.

His adjunxi duo Excerpta Grammaticalia ex Herodiano in Museo Philologico a me primum vulgata Vol. II. p. 412. et seq. e Cod. Barocc. 76; prius inscribitur Ἡρωδιανοῦ Περὶ παραγωγῶν γενικῶν ἀπὸ διαλέκτων: secundum nullum Auctoris præ se fert nomen; sed esse Herodiani Περὶ κλίσεως ὀνομάτων facile crediderim. Hæc rursus edere institui, ut una cum ceteris quæ sequuntur in hoc Volumine ejusdem Auctoris fragmentis rite conjungerentur. Hæc sunt excerpta Ἡρωδιανοῦ Περὶ τῶν ζητουμένων κατὰ πάσης κλίσεως ὀνόματος, jam ab Hermanno in Op. de Emend. Rat. Gr. Gram. vulgata p. 301. et seq. sed nunc ope ejusdem Cod. Barocc. 76. et var. lectt. Codd. Paris. a Bastio in margine Hermanni libri adnotatarum, auctiora et correctiora, ut spero, repetita. Alia quæ sequuntur ἐκ τῶν τοῦ Ἡρωδιανοῦ, excerpta sunt e Cod. Barocc. 72. sed eadem etiam habet Barocc. 119. in quo autem Tit. inscr. f. 77. Κανόνες διάφοροι ἔκ τε Ἡρωδιανοῦ καὶ ἑτέρων πολλῶν.

His addidi ejusdem Herodiani opusculum Περὶ διχρόνων, licet major pars ejus jam vulgata sit in libro Hermanni de Em. Rat. Gram. Gr. et in tractatu de Metris qui Draconi Stratonicensi attribuitur. In hac parte usus sum duobus Codd. Baroccianis et variis lectionibus e Codd. Paris. a Bastio excerptis, et ad oram Hermanni libri adscriptis.

Sequuntur duo opuscula hactenus inedita Joannis Tzetzis; quorum unum est Περὶ μέτρων; alterum Περὶ διαφορᾶς ποιητῶν. In priore edendo mihi adfuerunt quatuor Codices. Baroccianus nempe 194, antiquus et bonæ notæ; duo item, qui prius Meermanni fuerant, (B) et (D) et unus olim Saibantianus (C); qui

omnes nunc in Bodleiana Bibliotheca adservantur. In secundo Tzetzis opusculo usurpavi eundem Cod. Baroccianum et Meermanni Cod. (B). In Scholiis quibus hæc opuscula ornata sunt, adjutus sum præterea variis lectionibus Cod. Paris. 2644 (A); quas in meum usum exscripsit doctissimus Vir Fr. Dübner, qui primus Tzetzianorum Scholiorum hoc Codice contentorum notitiam dedit, eaque partim vulgavit in Novo Museo Rhenano Philol. F. IV. An. 1835. Insignia sunt Hipponactis Fragmenta (p. 310.) quæ in his Scholiis ad illustrandum hujus poetæ choliambos in tractatu de Metris a Tzetze afferuntur; hæc e πρώτῳ τῶν Λυδίας Ἰάμβων coll. Schol. ad Nicandr. Ther. 633, derivata esse, haud dubito. Notabilis etiam est citatio e Critia Chio, poeta huc usque ignoto, ἐν τῷ κατωτικῷ δούλῳ (p. 308). Quædam etiam notatu digna habent Scholia ad Tzetzis Chiliadas, Epistolas, et Allegorias, quæ deinceps sequuntur. Hæc sine dubio ab ipso Tzetze profecta sunt, correctoris vicem gerentis, et in multis ludicrum specimen edunt petulantiæ hominis, arrogantia et vanitate doctrinæ prope delirantis. Hæc Scholia sola præbent Parisinus A. et Bodleianus B. quorum prior longe antiquior est et correctior; B autem etsi recentissimus et turpissimis mendis scatens, tamen ob marginis integritatem in multis supplere valet quæ in Parisino manca sunt et mutila.

Quæ Appendicis instar ad calcem Voluminis relegavi diversa sunt e variis Codicibus excerpta, et minoris momenti, quam ut singulatim, in hoc loco recenseantur.

ΑΡΧΗ ΣΥΝ ΘΕῼ

ΤΑ ΤΟΥ

ΜΕΛΕΤΙΟΥ ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΑΝΘΡΩΠΟΥ ΚΑΤΑΣΚΕΥΗΣ.

Ἡ ΠΑΡΟΥΣΑ[a] *σύνοψις περὶ φύσεως ἀνθρώπου ἐπονήθη καὶ συνελέγη καὶ συντέθη παρὰ Μελετίου μοναχοῦ θέματος τοῦ Ὀψικίου Βάνδου Ἀκροκοῦ, χωρίου Τιβεριουπόλεως, μονῆς λεγομένης Τρεῖς, ἤτοι τῆς ἁγίας Τριάδος· οὐχ ὡς καινόν τι ἐπινοήσαντος περὶ φύσεως ἀνθρώπου φυσιολογῆσαι, ἀλλὰ σύντομον καὶ ἀνελλιπῆ πραγματείαν ἐκθέσθαι τοῖς φιλομαθέσι καὶ φιλοπόνοις βουλομένου· εἰ γὰρ καὶ πολλοὶ τῶν ἀρχαίων σοφῶν, πολλοὺς κατὰ ἀποτάγην, ἢ ἐν συντόμῳ περὶ τῆς φύσεως ἡμῶν λόγους συνέθεντο, ἀλλ' οὐδεὶς ἀνελλιπῆ καὶ ἀνυστέρητον ταύτην ἀπήρτησεν.*

Ὁ μὲν γὰρ Ἱπποκράτης περὶ φύσεως παιδίου καὶ ἄνδρος γράψας ὀλίγά τινα καὶ δυσδιάγνωστα, οὐδὲν περὶ τοῦ καθόλου ἀνθρώπου ἐμνημόνευσεν, ἢ τῶν ἐν αὐτῷ δυνάμεων, ἢ ἐνεργειῶν, ἢ τῶν τοῦ σώματος μορίων. Ὁ γὰρ Γαλῆνος περὶ φύσεως μορίων μνησθεὶς, καὶ περὶ κράσεων, ἐν οὐδεμιᾷ τῶν πραγματειῶν αὐτοῦ φαίνεται τοιαύτην ὁλοκλήρως ὑπόθεσιν ἀναγράψας. Σωκράτης δὲ ἐτυμολογίας μᾶλλον μορίων καὶ ὀνομάτων ἐν τῷ περὶ φύσεως ἀνθρώπου συντάγματι αὐτοῦ, ὡς γραμματικὸς ἢ φιλόσοφος συνετάξατο. Οἱ δὲ ἅγιοι καὶ τῆς ἐκκλησίας διδάσκαλοι, οἷον ὁ μέγας Βασίλειος, ὁ ἀδελφὸς αὐτοῦ Γρηγόριος Νύσσης, ὁ χρυσολόγος Χρυσόστομος καὶ ὁ παμμακάριστος Κύριλλος, καὶ ἄλλοι πολλοὶ τῶν κατ' αὐτοὺς ἐν τοῖς λόγοις αὐτῶν τοῖς διδασκαλικοῖς σὺν τῷ θεολογικῷ φυσιο-

[a] Hoc procemium et tabulam infra positam solus habet A.

λογήσαντες, πολλὰ περὶ τῶν τοῦ σώματος ἡμῶν μορίων, καὶ τῶν ψυχικῶν καὶ ζωτικῶν καὶ φυσικῶν δυνάμεων καὶ ἐνεργειῶν συνεφιλοσόφησαν· οὐδεὶς μέντοι γε τῶν προειρημένων ἀνδρῶν, ἢ τῶν ἁγίων τούτων συναγαγὼν φαίνεται τὴν ὅλην ὑπόθεσιν, τοῦ μὴ τὴν πραγματείαν ἀποτέλεσαι· τὰ οὖν διεσπαρμένα, ὡς ἐν ταῖς τούτων βίβλοις ἐγκείμενα, αὐτὸς ἐκλαβὼν, τὸ παρὸν ὡς ἐνὸν συνεστησάμην δὴ σύγγραμμα· τοῖς μὲν ὡς εἰκὸς ἔχειν αὐτὸ βουλομένοις, ὑπόμνημα τῆς φύσεως καὶ τῆς συστάσεως τοῦ σώματος πάντος ἐσόμενον· ἐμοὶ δὲ γυμνάσιον καὶ τῆς ἀμαθίας προφύγιον· δεῖ οὖν τὸν ἀπεριεργῶς ἀναγινώσκοντα μετὰ ἀγάπης καὶ φόβου Θεῷ, καὶ χάριν ὠφελείας τοῦτο ποιεῖν· καὶ μὴ θηρεύειν λέξεις πρὸς τὸ κακίζειν τὸν συγγραψάμενον· οὐδὲ γὰρ πᾶσιν ὡς οἶμαι εὔληπτά εἰσιν ὧδε τὰ συνταγέντα, ἀλλὰ καὶ πολλῆς τὰ πολλὰ τοῖς πολλοῖς δεόμενα τῆς συντάξεως· καὶ μάλιστα τοῖς ἀπείρως ἔχουσι πρὸς φιλοσοφίαν καὶ ἰατρικὴν ἐπιστήμην.

Ἔστιν οὖν ἡ πᾶσα πραγματεία ἐξ ὑπαρχῆς συνηνωμένη καὶ συνδεδεμένη, καὶ οἷον διηρθρωμένη, καὶ τὰ καθ' ἕκαστον τοῦ σώματος μόρια διασαφοῦσα, καὶ τὴν φυσικὴν σύνθεσιν διερευνῶσα· καὶ τὰ τοῦ κόσμου στοιχεῖα μετὰ τοῦ σώματος ἐναρμόζουσα· καὶ ποῖον τοῦ κόσμου μετὰ τοῦ σώματος ἐξισάζεται· καὶ τί τὰ ἁπλᾶ στοιχεῖα καὶ πρῶτα· καὶ ποῖα τὰ ὁμοιομερῆ, καὶ ποῖα τὰ ἀνομοιμερῆ μόρια· καὶ πόσαι δυνάμεις περὶ τὸ ζῶον ἐνεργοῦσι· καὶ πόσαι αἰσθήσεις· καὶ τί τὸ τριμερὲς τῆς ψυχῆς, καὶ τίνων ὁ νοῦς αὐτοκράτωρ· καὶ πόθεν ὁ λόγος γεννᾶται· καὶ τίς ὁ προφορικὸς λόγος, καὶ τίς ὁ ἐνδιάθετος· καὶ τί ὄρεξις, καὶ πόθεν γίνεται· καὶ πῶς αἱ τροφαὶ κατεργάζονται, καὶ πῶς πέπτονται, καὶ πῶς ἀναδίδονται· καὶ πόσαι πέψεις, καὶ πόσα περιττωμάτων[b] γένη· καὶ πῶς τὸ αἷμα γεννᾶται, καὶ πόθεν ὅλον τὸ σῶμα ἐπαρδεύεται· καὶ πῶς ὕπνος γίνεται· καὶ διατί καὶ πόθεν συνίσταται γέλως καὶ χαρά, καὶ λύπη καὶ δάκρυον· ἐπειδὰν δὲ οὕτως ἡ ὑπόθεσις ἀναπληρωθῇ καὶ οἷον συνυφανθῇ, ὥσπερ ἐπανάληψιν ποιούμενος, ὁ λόγος τὰ ὅλα

[b] Cod. περιττομάτων.

πάλιν μόρια διηρημένως ὑπεξέρχεται· ἐτυμολογῶν ἕκαστον, καὶ τὴν φυσικὴν, καὶ ἐνέργειαν, καὶ τὰς ὀνομασίας καὶ τοὺς ὅρους ὑποδεικνύων ἀπὸ κεφαλῆς ἕως ποδῶν, οὐ ταυτολογῶν ὡς ἂν οἰηθείη τις, ἀλλὰ τὰ ἐν ἐπιτομῇ εἰρήμενα καὶ συνεσταλμένως πλατυκώτερον[c] ἐκδιδάσκων, καὶ πρὸς τὸ σαφέστερον διευκρινῶν τοῖς ἀκούουσι· διὰ ταῦτα καὶ πίναξ ὑποτίθεται εἰς διάγνωσιν εὐχερῆ.

α΄. περὶ τῆς κεφαλῆς καὶ τῶν ταύτης ὀστῶν καὶ ῥαφῶν· καὶ διατί εἴρηται κεφαλὴ, καὶ διατί στρογγύλη ἐστὶ καὶ οὐχὶ μακρά· καὶ πόσαι ταύτης ὀνομασίαι· καὶ περὶ τοῦ ἐγκεφάλου, καὶ διατί ψυχρός ἐστι καὶ λευκὸς καὶ ἄναιμος· καὶ περὶ νεύρων καὶ μυῶν.

β΄. περὶ τῶν ὀφθαλμῶν· καὶ ἐκ πόσων χιτώνων καὶ ὑγρῶν συνίσταται· καὶ διατί οἱ μὲν λευκοὶ, οἱ δὲ μέλανες ἐγένοντο· καὶ περὶ τοῦ ὀπτικοῦ πνεύματος, καὶ περὶ τῆς ἐνεργείας αὐτοῦ καὶ δυνάμεως.

γ΄. περὶ ῥινὸς καὶ τῶν δι' αὐτῆς γινομένων ὀσφρήσεων· καὶ πόθεν συνίσταται ὄσφρησις, καί που περαίνεται.

δ΄. περὶ τῶν μεγάλων κανθῶν καὶ μικρῶν.

ε΄. περὶ μαγούλων.

ς΄. περὶ τῆς ἄνω γένυος καὶ τῆς κάτω.

ζ΄. περὶ ὤτων καὶ τῆς τούτων οὐσίας, καὶ τῆς ἀκουστικῆς αἰσθήσεως.

η΄. περὶ τοῦ πώγωνος καὶ τῶν γενείων.

θ΄. περὶ τοῦ προσώπου, καὶ διατί οὕτως εἴρηται· καὶ τί τὸ σημαινόμενον ἐξ αὐτοῦ.

ι΄. περὶ τοῦ στόματος καὶ τῶν ἔσωθεν τούτου, γλώσσης, ὀδόντων, καὶ τῶν λοιπῶν πάντων.

ια΄. περὶ φωνῆς, καὶ πῶς γίνεται.

ιβ΄. περὶ ἀναπνοῆς, καὶ ἐξ οἵων μορίων ἀναπέμπεται.

ιγ΄. περὶ τοῦ θώρακος.

ιδ΄. περὶ τοῦ τραχήλου, καὶ τῶν σπονδύλων, καὶ τῆς ῥάχεως, καὶ τοῦ νωτιαίου μυελοῦ.

[c] Cod. πλατυ(ι)κώτερον.

ιε΄. περὶ πλευρῶν, καὶ πόσαι εἴη τῷ ἀνθρώπῳ.

ιϛ΄. περὶ τοῦ ὑπεζωκότος, καὶ τοῦ διαφράγματος.

ιζ΄. περὶ τοῦ πνεύμονος καὶ τῆς καρδίας, καὶ τῶν ἐνεργείων αὐτοῦ· καὶ πῶς ἡ τῆς καρδίας θέσις, καὶ τί τὸ σχῆμα αὐτῆς.

ιη΄. περὶ στομάχου, καὶ τῶν ἐντέρων καὶ τῆς τούτων ὀνομασίας καὶ ἐνεργείας· καὶ πῶς ὄρεξις γίνεται καὶ πέψις.

ιθ΄. περὶ τοῦ ἥπατος, καὶ τῆς οὐσίας αὐτοῦ, καὶ τῆς ἐνεργείας καὶ δυνάμεως, καὶ ὀνομασίας. κ΄. περὶ σπληνὸς καὶ τοῦ σχήματος αὐτοῦ.

κα΄. περὶ τῆς ἄνω γαστρὸς καὶ τῆς κάτω.

κβ΄. περὶ τοῦ οἰσοφάγου, καὶ τῆς τραχείας ἀρτηρίας.

κγ΄. περὶ τῶν ὑπογαστρου[d]*, καὶ ἐπιγαστρίων.*

κδ΄. περὶ τοῦ τόπου τῆς ἥβης, καὶ τοῦ ἴτρου.

κε΄. περὶ ἱεροῦ ὀστέου, καὶ περὶ τοῦ πρωκτοῦ.

κϛ΄. περὶ τῶν διδύμων, καὶ τῆς βαλάνου καὶ τῶν ἐν αὐτῷ σωμάτων.

κζ΄. περὶ χειρῶν καὶ τῶν ἐν αὐταῖς ὀστῶν καὶ ὀνομασίων καὶ ἐνεργείων.

κη΄. περὶ τῶν δακτύλων, καὶ ἐξ ὅσων κονδύλων σύγκειται.

κθ΄. περὶ μηρῶν.

λ΄. περὶ σκέλους.

λα΄. περὶ κνήμης καὶ περόνης.

λβ΄. περὶ δέρματος τοῦ ὅλου σώματος.

λγ΄. περὶ τρίχων καὶ τῆς τούτων διαφορᾶς, καὶ τίς ἡ τούτων χρεία.

[d] Sic Cod. leg. *ὑπογαστρίων*.

Πόνημα ἐν συνόψει περὶ φύσεως ἀνθρώπου ἐξερανισθὲν καὶ συντεθὲν παρὰ Μελετίου μοναχοῦ ἐκ τῶν τῆς ἐκκλησίας ἐνδόξων, καὶ τῶν ἔξω λογάδων καὶ φιλοσόφων.

ΤΑ περὶ τῆς ἀνθρώπου[a] κατασκευῆς, καὶ ἐξ ὅσων ἐστὶ φύσεων, καὶ τίς ἡ τῆς ψυχῆς οὐσία· καὶ πῶς ἐν σώματι περιέχεται· καὶ περὶ τῆς συναμφοτέρων[b] ἑνώσεως, καὶ τῶν ἐξ ἀμφοῖν[c] γινομένων ἐνεργειῶν καὶ δυνάμεων καὶ αἰσθήσεων· καὶ τῆς τοῦ σώματος ἡμῶν διαπλάσεως· καὶ ἐξ ὅσων στοιχείων συνίσταται· καὶ εἰς ὅσα καταμερίζεται μόρια, πολλοὶ τῶν ἀρχαίων σοφῶν καὶ ἰατρῶν διωρίσαντό τε καὶ ἔγραψαν· ἐκ σοφίας καὶ συνέσεως, καὶ ἀνατομικῆς ἐπιστήμης ἐξακριβωσάμενοι πάντα· καὶ τὰ μὲν περὶ σώματος[d] αὐτοῖς πονηθέντα, πᾶσι τοῖς εὐμάθεσι καὶ φιλοπόνοις ἔγνωσται καὶ ἀνωμολόγηται, καὶ ὡσαύτως[e] ἔχειν διατετήρηται· ὅσα δὲ περὶ ψυχῆς ἐφιλοσόφησαν[f] Ἕλληνες μάταια ἀπεδείχθησαν· οὐδὲν γὰρ περὶ τῆς οὐσίας αὐτῆς ἀληθὲς ἐδυνήθησαν[g] βεβαιώσασθαι[h], ἢ δεῖξαι ὁποίᾳ τῇ φύσει ἐστί· ἀλλὰ γὰρ καὶ προϋφεστάναι τοῦ σώματος ταύτην, καὶ ἔμπαλιν ταύτης τὸ σῶμα, τινὲς αὐτῶν ἐφληνάφησαν· ὅθεν καὶ ἀσύμφωνα πάντες διαφωνήσαντες, ἐματαιώθησαν ἐν τοῖς ἑαυτῶν[i] διαλογισμοῖς· ὅτι μὲν οὖν τῷ σώματι συνυφαίνεται ἡ ψυχὴ[k], καὶ ὅτι τιμιωτέρα τούτου ἐκείνη, καὶ κυριωτέρα, καὶ ἀπὸ ταύτης ὡς ὄργανον τοῦτο κινεῖται, καὶ αὕτη[l] ἐστὶν ἡ ζωογονοῦσα καὶ συγκρατοῦσα αὐτὸ προνοίᾳ Θεοῦ καὶ φύσεως[m] ἀκολουθία· καὶ ὅτι οὐσία[n] ἐστὶν ἀσώματος, λογική, νοερὰ καὶ ἀθάνατος, πᾶσι τοῖς εὖ φρονοῦσι γνωστόν[o]·

[a] τοῦ ἀ. B.C. [b] τοῦ συναμφότερα B. περὶ τῆς ἑν. ἀμφοτέρων C. [c] ἀμφοτέρων C. [d] τοῦ σ. B. [e] οὕτως B. [f] ἐφιλοπόνησαν B. [g] ἠδυνήθησαν C. [h] ὡς οὐδ. ἀλ. π. τῆς οὐσ. αὐτ. βεβ. δυνηθέντες B. [i] αὐτῶν B. [k] γὰρ συνυφ. τὸ σ. τῇ ψ. B. [l] αὐτὴ A. [m] φυσικῇ C. [n] οὐσία om. B. [o] γνωριστόν C.

τί δ' ἐστὶ τῇ οὐσίᾳ[p]*, καὶ πῶς ἐν σώματι τὸ ἀσώματον*[q]*, μόνου τοῦτο εἰδέναι Θεοῦ, τοῦ τῶν ἀνθρώπων δημιουργοῦ· ὅθεν καὶ ἡμεῖς τὸν περὶ ψυχῆς*[r] *ἰδίᾳ λόγον ἀπολιπόντες*[s]*, τὰ περὶ τῆς τοῦ καθόλου φύσεως ἀνθρώπου*[t] *πονηθέντα παρὰ τῶν ἀρχαίων*[u]*, καὶ σποράδην κείμενα ἐν ἀνατομικαῖς*[v] *καὶ ἐτυμολογικαῖς βίβλοις κατὰ τὸ ἡμῖν ἐφικτὸν, ἐκλεξάμενοι, εἰς ἓν κατάξωμεν*[w]*· ὡς ἂν ἔχοιμεν*[x] *ἐξ ἑτοίμου μανθάνειν καὶ θαυμάζειν τὸν ἀριστοτέχνην Θεόν· καὶ μετὰ τοῦ προφήτου βοᾶν· "ἐθαυμαστώθη ἡ "γνῶσίς σου ἐξ ἐμοῦ."*

Μέλλοντες δὲ τοῦτο ποιεῖν, ἐπικαλεσώμεθα Χριστὸν τὸν Θεὸν ἡμῶν[y]*, ἐπὶ τὸ*[z] *συνετίσαι καὶ συμβιβάσαι*[a] *ἡμᾶς ἐν τῇ ὁδῷ ταύτῃ ᾗ πορευόμεθα· ὅτι αὐτὸς ἐστὶ καὶ τῆς φύσεως δημιουργὸς, καὶ τῆς σοφίας χορηγὸς*[b]*, καὶ τῶν ἀσόφων*[c] *διορθωτής· ἐν γὰρ χερσὶν*[d] *αὐτοῦ, καὶ ἡμεῖς καὶ οἱ λόγοι ἡμῶν. Καὶ πρῶτα μὲν εἴπωμεν*[e] *τί ἐστιν ἄνθρωπος, καὶ διατί οὕτως ἐπονομάζεται· ἐπ' οὐδενὸς γὰρ τῶν ἁπάντων οἱ παλαιοὶ τὰς ὀνομασίας καὶ τοὺς ὅρους ἀσκόπως ἐπέθεντο, μή τοι γε*[f] *ἐν τῷ ἑαυτῶν*[g] *σώματι· τὸ γὰρ ἐκείνων σῶμα τοῖς πᾶσιν ἀνθρώποις ἐστὶ παραπλήσιον, ὅτι μὴ διαλλάττοι*[h] *κατά τινα φύσεως διαφορὰν ἄνθρωπος ἀνθρώπου, ἀλλ' ὡσαύτως ἔχειν ἀλλήλοις ἄνθρωποι πεφύκασι*[i] *κατὰ τὸν τῆς συστάσεως λόγον· ὥστε καὶ ὑφ' ἓν εἶδος πάντας*[k] *ἀνάγεσθαι καὶ ἑνὰ ὁρισμόν.*

Ἄνθρωπος γάρ ἐστι φασὶ[l] *ζῶον λογικὸν θνητὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν· ζῶον μὲν, ὅτι καὶ ὁ ἄνθρωπος οὐσία ἐστὶν*[m] *ἔμψυχος αἰσθητική· οὗτος γὰρ ὅρος ζώου· λογικὸν δὲ, ἵνα χωρισθῇ τῶν ἀλόγων, καὶ θνητὸν, ἵνα διαστῇ τῶν ἀθανάτων λογικῶν, ἤγουν ἀγγέλων· τοῦ δὲ*[n] *νοῦ καὶ ἐπιστήμης δεκτικὸν, ὅτι διὰ μαθήσεως προσγίνονται ἡμῖν αἱ τέχναι καὶ ἐπιστῆμαι*[o]*· ἔχουσι*

[p] *τίς δὲ ἐστὶν οὐσία* B. [q] *ἀθάνατον* B. [r] *τῆς ψυχ.* C. [s] *καταλιπόντες* B.C. [t] *τ. ἀνθρ. καθ. φυσ.* B. *τῆς καθ.* C. [u] *π. τ. ἀρχ. πονηθ.* B. [v] *ἐν α.* cum hiatu C. [w] *κατατάξομεν* B.C. [x] *ἔχοιμεν* om. B. [y] *αὐτὸν τὸν Χρ. καὶ Θεὸν ἡμ.* C. [z] *πρὸς τὸ* C. [a] *συμβιβᾶσαι* B. [b] *αὐτ. δημ. κ. τῆς φυσ. ἐστὶ χορ. κ. τῆς σοφ.* B. [c] *σοφῶν* B. [d] *ὅτι ἐν χ.* C. [e] *εἴπομεν* C. [f] *μήτιγε* B. [g] *αὐτῶν* B. [h] *διαλλάττει* B.C. [i] *πεφ. ἄνθρ.* B. [k] *πάντας* om. B. [l] *φασὶ* om. B. *φησὶ* C. [m] *ἐστιν* om. C. [n] *τὸ δὲ* B. [o] *αἱ ἐπ.* B.

μὲν δύναμιν[p] δεκτικὴν, τὴν δὲ ἐνέργειαν κτωμένοις ἐκ τῶν μαθημάτων[q]. τὸ δὲ ἄνθρωπος ὄνομα, παρὰ τὸ ἔναρθρον ἔχειν φωνήν· τῶν ἄλλων ζώων ἁπάντων[r] ἀνάρθρως καὶ ἀσημάντως[s] φωνούντων· τινὲς δὲ παρὰ τὸ ἀθρεῖν καὶ λογίζεσθαι ἅπερ[t] ὄπωπε· τουτέστι παρὰ τὸ βλέπειν κατὰ νοῦν καὶ λογίζεσθαι[u] τὰ δέοντα· τῶν ἄλλων ζώων μὴ προνοουμένων ἢ μὴ λογιζομένων[v]· ἄλλοι δὲ παρὰ τὸ ἀνώθειν[w] τὸν ὀφθαλμὸν, ἤγουν ἄνω αἴρειν· ἢ παρὰ τὸ δρῶ τὸ βλέπω, ἢ πράττω[x], ἄδρωπος[y] καὶ ἄνθρωπος· ἢ παρὰ τὸ ἄνω ῥέπειν, ἀνάροπός[z] τις ὤν· "τὰ μὲν γὰρ[a] τετρά- "ποδα," φησὶν ὁ μέγας Βασίλειος, "ἐπὶ τὴν γῆν βλέπει, καὶ "πρὸς τὴν γαστέρα νένευκεν· ἀνθρώπῳ[b] δὲ ἄνω πρὸς οὐρανὸν ἡ "βλέψις[c], ὥστε μὴ σχολάζειν γαστρὶ, μηδὲ τοῖς ὑπὸ γαστέρα[d] "πάθεσι·" γνώριμόν τε[e] ὅτι τοῖς ἀψύχοις κοινωνεῖ, καὶ τῆς τῶν λογικῶν μετείληχε[f] νοήσεως· εὐθὺς γὰρ ἐν τῇ πρώτῃ σπορᾷ ἐκ καταβολῆς[g] τοῦ σπέρματος ἐν τῇ μήτρᾳ τὸ προσπεσὸν τοῖς ἀψύχοις ἐστὶ σώμασι[h] παραπλήσιον· ἐκ τῶν[i] τεσσάρων στοιχείων ἔχον τὴν κρᾶσιν· πλὴν ὡς ἐκ ζώντων ἀποκρινόμενον, ζῶσαν δεικνύει καὶ τὴν ἐνέργειαν· τῶν φυσικῶν δυνάμεων ἐν αὐτῷ ἀναφαινομένων· μικρὸν γάρ τινα χρόνον παραμεῖναν[k] τῇ μήτρᾳ ἐκεῖσε[l] πεσὸν, καί τινος φυσικῆς ἰκμάδος ἐκζέσεως[m] προσλαβόμενον[n], τοῖς ζωοφύτοις ἐξομοιοῦται κατὰ τὴν θρεπτικὴν καὶ αὐξητικὴν δύναμιν.

Καὶ γὰρ τρέφεται καὶ αὔξεται τὸ ἀνθρωπόφυτον τοῦτο, καὶ εἰς μέρη καὶ μέλη ἀποτυποῦται· πάλιν[o] δὲ κατ' ὀλίγον[p] ἐναδρυνόμενον[q] ζωοῦται[r] ἐκεῖ· καὶ ζωτικαὶ ἐν αὐτῷ ἐνεργοῦσι δυνάμεις[s]· ὅτε καὶ τοῖς ἐναλίοις ζώοις ἐστὶ παραπλήσιον· διὸ καὶ ἔμβρυον λέγεται διὰ τὸ ἔσωθεν[t] βρύειν,

[p] αἱ ἐχ. δυν. B. [q] τὴν δὲ ἐν. κατὰ μέρος ἐκ τῶν μαθ. B. [r] τ. ἄλ. ἁπ. ζ. B. [s] ἀσήμως C. [t] ἃ B. [u] διαλογίζεσθαι B.C. [v] μὴ λογιζ. ἢ προν. B. [w] ἄνω ἀθρεῖν A. ἄνω θρεῖν B. [x] ἢ πρ. om. B. [y] ἄνδρωπος C. [z] ἀνάῤῥοπος B. [a] γὰρ om. B. [b] ἀνθρώπου B.C. [c] ἀνάβλεψις B.C. [d] ὑπογάστροις C. [e] δὲ B. [f] μετείληφε B. μετείληφεν C. [g] καὶ καταβολῇ B.C. [h] σῶμα B. [i] ὡς ἐκ τῶν B.C. [k] ἐμμεῖναν C. [l] ἐκεῖ B. [m] ἔκζεσε ὡς A. [n] προσλαμβανόμενον C. [o] καὶ πάλιν B. [p] κατολίγον B. [q] ἀνδρυνόμενον C. [r] ζωοποιοῦται B. [s] αἱ ζ. δυν. ἐν αὐτ. ἐνεργ. B. [t] ἔσω B.C.

τρέφεσθαί τε καὶ αὔξεσθαι· ἢ διὰ τὸ ἔνδον[u] τὴν βορὰν[v] ἔχειν· ἢ διὰ τὸ ἔνδον[w] εἶναι βροτοῦ[x]· ἡ δὲ μήτρα παρὰ τὸ[y] μήτηρ εἶναι τοῦ γεννωμένου[z]· λέγεται δὲ καὶ νηδὺς καὶ δελφὺς καὶ ὑστέρα· νηδὺς μὲν, ὅτι μεθ' ἡδύτητος ἐνεργεῖ· ἢ ἀπὸ τοῦ νενῆσθαι[a], ὅ ἐστι σεσωρεῦσθαι, καὶ πεπληρῶσθαι τραχύτητος[b]· καὶ γὰρ ἡ φύσις τραχεῖαν ταύτην ἐποίησε, καὶ κοτυληδόνας ἔχειν[c] μετὰ φλεβῶν καὶ ἀρτηριῶν[d] τινῶν· ἵνα μὴ τοῦ σπόρου[e] ἐξολισθαίνοντος[f] διὰ λειότητα, ἄκαρπος ἡ τίκτουσα διαμένῃ· ἢ ὅτι ἡ παρόδευσις[g] τῆς τροφῆς τοῦ ἐμβρύου ἀπ' αὐτῆς[h] γίνεται· νάειν[i] γὰρ τὸ[k] ῥέειν· ἢ παρὰ τὸ νη στερητικὸν καὶ τὸ δυς μόριον· ὅτι καὶ[l] παιδοποιΐας στερεῖται, καὶ δυστοκίας ὑφίσταται· δελφὺς δὲ, ὅτι ἀδελφοποιός ἐστι, καὶ ἀδελφὰ ποιεῖ τὰ τικτόμενα· ἀδελφὸς γὰρ, ὁ ἐκ τῆς αὐτῆς δελφύος, ἤγουν μήτρας· καὶ ὁμόδελφος[m], ὁ αὐτάδελφος. ὑστέρα δὲ, ὅτι ὕστερον πάντων τῶν ἄλλων μορίων τὰς ἐνεργείας αὐτῆς ἐπιδείκνυται· τὴν ἑλκτικὴν[n], τὴν καθεκτικὴν[o], τὴν ἀλλοιωτικὴν καὶ ἀποκριτικήν· δηλονότι κατὰ τὸ βρεφουργεῖν[p]· ἢ ὅτι ἐσχάτη τῶν μετὰ τὴν γαστέρα κεῖται. τρέφεται γὰρ[q] ἐν τῇ μήτρᾳ τὸ ἔμβρυον, καὶ ἀναπνεῖ οὐκ ἐκ τοῦ στόματος, ἀλλ' ἐκ τοῦ ὀμφαλοῦ, ἐξ αἱματικῶν μητρώων περιπτωμάτων[r]· ὅθεν καὶ ὀμφαλὸς παρὰ τὸ ὀμπνεῖν[s] εἴρηται, ὅ ἐστιν ἀναπνεῖν· ἔστι δὲ τὸ μέσον τοῦ σώματος· ἐν δὲ τῇ γενέσει τούτου τοῦ ζώου λέγεται πρῶτον πήγνυσθαι ὑμένα τινὰ λεπτόν[t]· ὃν καλοῦσι χόριον[u], ὡς περιέχον[v] τὸ ἔμβρυον· ἢ ὡς χωρίον αὐτοῦ ὄν[w], ἢ χορηγὸν τῶν διατρεφόντων αὐτό· εἶτα ἡ καρδία πρώτη καταβληθεῖσα παρὰ τῆς φύσεως[x], ἀναλογοῦσαν τοῖς μέλεσι τὴν παρὰ τῆς φύσεως

[u] ἔνδοθεν B.C. [v] βρῶσιν C. [w] ἔνδοθεν B.C. [x] βροτὸν B. [y] διὰ τὸ B. [z] τῶν γινομένων B. γεννομένου C. [a] διανενῆσθαι B.C. [b] τραχύτητι B. [c] ἔχει B. [d] ἀρτυμάτων B. ἀρτημάτων C. [e] ὁ σπόρος B. [f] ἐξολισθαίνων B. ἐξολισθαίνῃ C. [g] περιόδευσις B. παράδευσις C. [h] it. τῆς τροφῆς ἀπ' αὐτῆς B. [i] ναίειν A. νέειν C. [k] ἐστὶ τὸ B. [l] καὶ om. B. [m] ὁμόδελφυς B. [n] ἤγουν τὴν ἑλκτ. C. [o] καθελκτικὴν B. [p] βρεφοβουργεῖν A. δηλονότι om. C. [q] δὲ B.C. [r] περιπτωμάτων A. [s] ἐμπνεῖν B.C. [t] λεπτὸν om. B. [u] χωρίον B. [v] περιέχοντα A. [w] ὄντα A.C. [x] καταβλ. π. τῆς φυσ. λαμβάνει καταβόλιον B. λαμβάνει καταβολὴν παρὰ τῆς φύσεως C.

καταβολὴν παραλαμβάνει· διὸ καὶ συμμέτρως ταῖς οἰκείαις ἀρχαῖς ἐν τῷ τῆς φύσεως ἐργαστηρίῳ περιυφαινομένου τοῦ σώματος ἀπαρτίζεται κατὰ σύνθεσιν[y].

Ἐσχημάτισται δὲ ἐν τῇ μήτρᾳ τὰ μὲν τετράποδα τῶν ζώων ἐκτεταμένα[z] κεῖσθαι· ὁ δὲ ἄνθρωπος[a] τὴν μὲν ῥῖνα μέσον τῶν γονάτων ἔχειν[b], τοὺς δὲ ὀφθαλμοὺς ἐπὶ τοῖς γόνασι· τὰ δὲ ὦτα ἐκτός· καὶ ὅταν τὸν τεταγμένον τῆς κυήσεως[c] ἐκπληρώσῃ χρόνον, πρὸς ὄγκον ἡ γαστὴρ διεγειρομένη ὠθεῖ τὸ ἔμβρυον ἔξω[d]· καὶ πρῶτον τῆς κεφαλῆς ἀπολυομένης[e] ῥέπει κατὰ τὴν κίνησιν τὰ βαρυογκωδέστερα[f] τοῦ σώματος ἐπισυρομένη[g]· ταῦτα δέ ἐστι τὰ περὶ τοὺς ὤμους μέρη καὶ θώρακα[h]· καὶ αὕτη ἐστὶν ἡ ἐπὶ τοῖς κατὰ φύσιν τικτομένοις ἐπ' εὐθείας ὁδός[i]· τοὺς γὰρ παρὰ φύσιν τόκους ἢ δυστοκίας παραλειπτέον[k]· μετὰ γοῦν τὴν χειρουργίαν τοῦ ὀμφαλοῦ μετάγεται ἡ τροφὴ καὶ[l] ἀναπνοὴ ἐν τῷ στόματι· ἡ δὲ μετὰ ταῦτα τροφὴ τοῦ βρέφους πᾶσι δήλη[m] ἐστὶ τὸ καλὸν εἰς ἀνατροφὴν[n] τῶν βρεφῶν γάλα· οὐδὲν δέ ἐστι γάλα[o] ἢ αἷμα λευκαινόμενον ἐν τοῖς μαστοῖς[p] τῶν μητέρων παρὰ τῶν ἀμφιβαινόντων[q] φλεβῶν τῶν ἀπὸ τῆς μήτρας, τοῦτο τὸ αἷμα δεχομένων[r]. μαστοὶ δὲ[s] κυρίως ἐπὶ τῶν γυναικῶν[t], οἷον μασητοί· οὗτοι γὰρ ἄλλοις τροφή· ἢ ἀπὸ τοῦ τὴν μάστακα, τουτέστι τὴν τροφὴν τοῖς γεννωμένοις παρέχειν· ἀφ' ἧς καὶ τὸ μάσημα· ἢ ἀπὸ τοῦ προσμάττεσθαι καὶ προσφύεσθαι τούτοις πρώτοις[u] τὰ βρέφη. ἢ ἀπὸ τοῦ ὑπὸ τῶν θηλαζομένων ἐπισπᾶσθαι[v]· ἢ παρὰ τὸ μαίω τὸ ζητῶ· ὃν[w] ἐπιζητοῦσιν οἱ παῖδες[x]· ἐξ οὗ καὶ μήτηρ, ἡ ζητουμένη παρὰ τῶν παίδων· ἢ ἡ μαστεύουσα τὰ πρὸς

[y] κ. τὴν σύνθ. C. [z] ἐκτεταμένως B. [a] τὸν δὲ ἄνθρωπον C. [b] ἔχει C. [c] κινήσεως C. [d] εἰς τὸ ἔξω B. εἰς τὰ ἔξω C. [e] ἡ κεφαλὴ ἀπολυομένη B. [f] τὰ βαρύτερα καὶ ὀγκωδέστερα B.C. [g] ἐπισυρομένου C. [h] τὰ π. τὸν ὦμον κ. τὸν θωρ. μέρη B. τὰ τῶν ὤμων μ. κ. θώρακος C. [i] ἡ ἐπ' εὐθ. ὁδ. B. [k] παραληπτέον B.C. [l] καὶ ἡ ἀναπν. C. [m] δῆλον C. [n] δηλονότι γάλα εἰς ἀνατρ. αὐτοῦ C. [o] ἔστι δὲ γάλα C. [p] μασθοῖς A. [q] ἀμφισβεν͂ A. [r] περὶ τὰς φλέβας τὰς ἀπὸ τῆς μήτρας τὸ αἷμα δεχομένας C. [s] δὲ om. B. [t] λέγονται add. C. [u] τούτοιν τοῖν μαστοῖν πρότερον C. [v] hæc om. B. [w] ὧν B. [x] ἐπιζ. γὰρ τοὺς μαστοὺς τὰ βρέφη C.

τροφὴν τοῖς κυηθεῖσιν[x]· ἢ ὅτι φυσικῶς αὐτὰ[y] μαστεύει καὶ ζητεῖ τὰ γεννηθέντα· ὅτι καὶ[z] μαίω τὸ ζητῶ ἐστι, φησὶν Ὅμηρος·

μαιομένη κευθμῶνα. (Od. N. 367.)

ἐκ τούτου καὶ μαῖα ἡ κατὰ γαστρὸς[a] τῶν γυναικῶν ζητοῦσα τὰ βρέφη.

Βρέφος δὲ εἴρηται παρὰ τὸ δέεσθαι φορβῆς, ὅ ἐστι τροφῆς[b]· κοινωνεῖ οὖν[c] τοῖς μὲν ἀψύχοις κατὰ τὸ σῶμα, καὶ τὴν ἀπὸ τῶν τεσσάρων στοιχείων[d] κρᾶσιν[e]· τοῖς δὲ φύτοις κατά τε ταῦτα[f], καὶ τὴν θρεπτικὴν καὶ τὴν[g] σπερματικὴν δύναμιν· τοῖς δὲ ἀλόγοις, καὶ ἐν τούτοις μὲν, ἐξ ἐπιμέτρου δὲ, κατά τε τὴν καθ' ὁρμὴν[h] κίνησιν, καὶ κατὰ τὴν ὄρεξιν καὶ τὸν θυμὸν, καὶ τὴν αἰσθητικὴν καὶ ἀναπνευστικὴν δύναμιν· ταῦτα γὰρ ἅπαντα κοινὰ τοῖς ἀνθρώποις καὶ τοῖς ἀλόγοις ἐστὶν[i], εἰ καὶ μὴ πᾶσι πάντα[j] ἀλλὰ[k] καὶ διὰ τοῦ λογικοῦ[l] ταῖς ἀσωμάτοις καὶ νοεραῖς συνάπτεται φύσεσιν[m] εἰς μέτρον ἡλικίας ἐλθόν[n]· λογιζόμενος καὶ νοῶν καὶ κρίνων ἕκαστα· ἡ δὲ ψυχὴ ἀρχῆθεν σὺν τῇ σπορᾷ τῷ σώματι συνεξυφαίνεται[o]· καθὼς καὶ ὁ σοφώτατος Γρηγόριος ἔγραψεν· "Οὐδὲ γὰρ εἶναι," φησὶ, "δυνατὸν λογιζόμεθα ἀλλοτρίαις οἰκοδομαῖς τὴν ψυχὴν ἐναρ-"μόζεσθαι[p]· ὡς οὐκ ἔστι τὴν ἐν τῷ κηρῷ[q] σφραγῖδα πρὸς "ἀλλοτρίαν ἁρμοσθῆναι γλυφήν[r]."

Καθάπερ γὰρ[s] τὸ σπέρμα ἐκ βραχυτάτου πρὸς τὸ τέλειον[t] πρόεισιν, οὕτω[u] καὶ ἡ τῆς ψυχῆς ἐνέργεια καταλλήλως ἐμφυτευομένη[v] τῷ ὑποκειμένῳ συνεπιδίδωσι[w] καὶ συναύξεται σώματι· προηγεῖται μὲν γὰρ αὐτῆς ἐν τῇ πρώτῃ κατασκευῇ[x], οἷον ῥίζης τινὸς τῇ γῇ κατακρυφθείσης, ἡ αὐξητικὴ καὶ θρεπτικὴ δύναμις

[x] hæc om. B. [y] αὐτοὺς C. [z] δὲ B.C. [a] ἡ κατὰ τοὺς τόκους ἐν τῇ γαστρὶ C. [b] ἤτοι τροφ. C. [c] γοῦν B. [d] τεττάρων A. [e] φύσιν κρᾶσιν A. [f] ἐξομοιοῦται κατά γε ταῦτα C. [g] τὴν om. B. [h] καθορμὴν C. [i] εἰσιν C. [j] πάντα πᾶσι B. [k] τὸ ζῶον ὁ ἄνθρωπος C. [l] λογιστικοῦ C. [m] τάξεσιν C. [n] ἐλθόν (ω) A. ἐλθών C. [o] ἐξυφαίνεται B.C. [p] συναρμόζεσθαι C. [q] καιρῷ B. [r] γραφὴν A. [s] δὲ B. [t] τέλος B. τὸ τέλειον C. [u] οὕτως B. [v] ἐν τῷ ὑπ. B. [w] συνεπιδίδοται C. [x] ἐν τῇ πρ. κατ. αὐτῆς B.

μόνη[z]· οὐ γὰρ χωρεῖ τὸ περισσότερον ἡ τοῦ δεχομένου βραχύτης· εἶτα προϊόντος εἰς φῶς τοῦ φυτοῦ, καὶ ἡλίῳ τὴν βλάστην δείξαντος, ἡ[a] αἰσθητικὴ χάρις ἐπήνθησεν· ἀνδρωθέντος δὲ ἤδη καὶ[b] εἰς σύμμετρον μῆκος ἀναδραμόντος καθάπέρ τις καρπὸς, ἡ λογικὴ δύναμις ἄρχεται[c], οὐ πᾶσα ἀθρόως ἐκφαινομένη, ἀλλὰ τῇ τοῦ ὀργάνου τελειώσει δι' ἐπιμελείας συναύξουσα[d]· τοσοῦτον ἀεὶ καρποφοροῦσα, ὅσον χωρεῖ τοῦ ὑποκειμένου ἡ δύναμις· τῇ γὰρ πρώτῃ τῆς συστάσεως ἀφορμῇ συνεσπαρμένην τὴν τῆς φύσεως ἔγνωμεν δύναμιν[e]· ἐξαπλοῦσθαι δὲ καὶ φανεροῦσθαι διά τινος φυσικῆς ἀκολουθίας [f]πρὸς τὸ τέλειον ἀνιοῦσαν[g]· οὐ προσλαμβάνουσάν τι τῶν ἔξωθεν εἰς ἀφορμὴν τελειώσεως, ἀλλ' ἑαυτὴν εἰς τὸ τέλειον[h] δι' ἀκολουθίας προάγουσαν· ὡς μήτε ψυχὴν πρὸ τοῦ σώματος, μήτε χωρὶς ψυχῆς τὸ σῶμα, ἀληθὲς εἶναι λέγειν κατὰ τὴν τῶν Ἑλλήνων ἐρεσχελίαν[i], ἀλλὰ μίαν ἀμφοτέρων[k] ἀρχήν[l].

Ἐπειδὴ δὲ[m] ἐκ σώματος ἐστὶν ὁ ἄνθρωπος· πᾶν δὲ σῶμα ἐκ[n] τεσσάρων στοιχείων συνίσταται· ἀνάγκη τούτοις τοῖς πάθεσι περιπίπτειν αὐτὸν, οἷς καὶ τὰ στοιχεῖα· τὰ δὲ στοιχεῖα δι' ὧν ὁ κόσμος ἅπας, γῆ ἐστὶ, καὶ ὕδωρ καὶ πῦρ καὶ ἀὴρ[o]· εἴρηται[p] δὲ στοιχεῖα παρὰ τὸ συστοιχεῖν ἀλλήλοις καὶ ἐφαρμόζειν τῆς τῶν[q] ἐξ ἁπάντων εὐαρμόστου ποιότητος· οὐ μόνον γὰρ τῶν στοιχείων ἕκαστον ἰδιάζουσαν καὶ ἀποκεκληρωμένην ἔχει ποιότητα, δι' ἧς τῶν λοιπῶν ἀποκρίνεται, καὶ ὁποῖον ἐστὶν ἐπιγινώσκεται[r]· ἀλλὰ καὶ συνεζευγμένας ἔχει τὰς ποιότητας, καὶ οὐδὲν ἀπολελυμένως[s] ἐστὶ μοναχὸν, οὐδὲ ἁπλοῦν καὶ εἰλικρινὲς τῶν[t] στοιχείων· ἀλλ' ἡ μὲν γῆ ξηρὰ καὶ ψυχρά· τὸ δὲ ὕδωρ ὑγρὸν καὶ ψυχρόν[u]· ὁ δὲ ἀὴρ θερμὸς καὶ ὑγρός· τὸ δὲ πῦρ θερμὸν καὶ ξηρόν· οὕτω γὰρ διὰ τῆς συζύγου ποιότητος ἡ δύναμις προέρχεται τοῦ ἀναμεμίχθαι ἕκαστον[v] πρὸς

[z] καὶ αὔξεται ὑπὸ τῆς θρεπτικῆς δυνάμεως μόνης. C. [a] καὶ ἡ C. [b] καὶ om. A. [c] ἀνέρχεται B. [d] συναύξασα C. [e] δύν. ἔγνωμεν B.C. [f] καὶ πρὸς τὸ τελ. C. [g] προϊοῦσαν B. προιέναι C. [h] τέλος B. [i] φλυαρίαν C. [k] ἀμφότερα C. [l] ἀρχὴ A. [m] δὲ om. A.C. [n] ἐκ τῶν B. [o] κ. ἀὴρ κ. πῦρ C. [p] εἴρηνται B. [q] τῶν om. B. τῇ ἐξ. ἀπ. εὐαρμόστῳ ποιότητι C. [r] διαγινώσκεται C. [s] ἀπολελυμένον B.C. ἐστὶ μον. om. C. [t] εἰλικρινέστατον C. [u] ψυχ. κ. ὑγρ. C. [v] ἑκάστῳ B.

ἕκαστον· οἷον ἡ γῆ ξηρὰ οὖσα καὶ ψυχρὰ ἑνοῦται μὲν κατὰ τὴν συγγένειαν τῆς ψυχρότητος ὕδατι[x]· ἑνοῦται δὲ διὰ τοῦ ὕδατος τῷ ἀέρι· ὁ δὲ ἀὴρ θερμὸς ὢν καὶ ὑγρὸς, τῇ μὲν θερμότητι ἑνοῦται τῷ πυρὶ, τῇ ὑγρότητι δὲ τῷ ὕδατι· τὸ δὲ πῦρ θερμὸν καὶ ξηρὸν ὑπάρχον τῇ φύσει, τῷ μὲν θερμῷ πρὸς τὸν ἀέρα συνδεῖται, τῷ δὲ ξηρῷ[y] πρὸς τὴν κοινωνίαν τῆς γῆς ἐπανέρχεται· τὸ δὲ ὕδωρ ψυχρὸν ὂν καὶ ὑγρὸν, τῇ μὲν ψυχρότητι τῆς γῆς, τῇ ὑγρότητι δὲ τοῦ ἀέρος ἐφάπτεται· καὶ οὕτως γίνεται κύκλος καὶ χορὸς ἐναρμόνιος· καὶ ταῦτα μὲν ὡς πρῶτα στοιχεῖα[z] εἰς ὕλας καὶ εἴδη ἀναλυόμεθα[a].

Τὰ ἄτομα συνιστᾶ πάντων γενῶν[b]· ἐμψύχων, ἀψύχων[c] καὶ ζωοφύτων· καὶ τοὺς συγγενεῖς τοῦ σώματος ἡμῶν ἐναπογεννῶσι χυμούς· αἷμα λέγω[d] καὶ φλέγμα, χολὴν ξανθήν τε[e] καὶ μέλαιναν· ἀναλογεῖ[f] γὰρ τὸ μὲν αἷμα, θερμὸν ὂν καὶ ὑγρὸν, τῷ ἀέρι· ἡ δὲ ξανθὴ χολὴ, θερμὴ οὖσα καὶ ξηρὰ, τῷ πυρί[g]. ἡ δὲ μέλαινα, ψυχρὰ καὶ ξηρὰ οὖσα[h], τῇ γῇ· τὸ δὲ φλέγμα, ὡς ψυχρὸν καὶ ὑγρὸν, τῷ ὕδατι· ἀλλ᾽ ἐπειδὴ[i] ταῦτα τομῇ καὶ μεταβολῇ καὶ ῥεύσει ἀεὶ περιπίπτει, ἀνάγκη καὶ τὰ σώματα τούτων τοῖς πάθεσι περιπίπτειν[k]· τομῇ μὲν, τῶν χυμῶν[m] ἀπ᾽ ἀλλήλων διαχωρίσει[n], καὶ καθὸ τέμνεται εἰς ὕλην καὶ εἶδος· μεταβολῇ δὲ, τῇ κατὰ ποιότητα, ἢ ποσότητα, ἐν θερμάνσει καὶ ψύξει[o], πλεονασμῷ καὶ ὑφέσει· τυχὸν καὶ νοσήμασι[p] καὶ ταῖς τῶν ἡλικιῶν[q] ἀλλοιώσεσι.

Τεσσάρων γὰρ οὐσῶν ὡρῶν τῷ ἐνιαυτῷ[r], ἔαρος, θέρους, χειμῶνος, καὶ μετοπώρου, τέσσαρες εἰσὶν ἡλικίαι καὶ τοῖς ἀνθρώποις· πρώτη μὲν ἡ τῶν νέων· δευτέρα[s] ἡ τῶν ἀκμα-

[x] ψυχ. οὖσα κ. ξηρ. κατὰ τὴν συγγ. μὲν τῆς χρηστότητος ἑνοῦται τῷ ὕδ. C. τῷ ὕδ. B. [y] τῷ ξ. δὲ B. [z] πρὸς τὰ στοιχ. C. [a] ἀναλυό- να μεθ· A. ἀναλυόμενα, τὰ ἄτομα B. ἀναλυόμενα· καὶ οὕτως ἔχοντα, τὰ ἄτομα C. [b] π. τῶν γ. B. [c] ἀψύχων om. B. [d] αἷμ. δὴ λέγω C. [e] ξ. τε χολὴν C. [f] ἀναλογεῖται B. [g] τῇ γῇ C. [h] οὖσα om. B. [i] ἐπεὶ C. [k] τούτοις περιπίπτειν C. πίπτειν B. [m] τῇ τῶν χ. C. [n] διαχωρήσει A. διαχωρήσει B.C. [o] θερμάσει A. θερμασία καὶ ψύχει C. [p] καὶ νοσ. om. A. νοσήματι τυχὸν C. [q] ὑλικῶν B. [r] τοῦ ἐνιαυτοῦ C. [s] δευτ. δὲ B.

ζόντων· τρίτη ἡ τῶν μέσων· καὶ τετάρτη ἡ τῶν γερόντων· εἰ καὶ ἄλλας προστιθέασιν οἱ ἰατροί[t]· τὴν τῶν παίδων[u], τὴν μειρακιῶν[v], καὶ τῶν ἐσχατογήρων[w]· πλεονάζει δὲ τοῖς μὲν νέοις τὸ αἷμα· τοῖς ἀκμάζουσι δὲ[x] ἡ ξανθὴ χολή· τοῖς παρακμάζουσιν ἡ μέλαινα· τοῖς γέρουσι δὲ τὸ φλέγμα· καὶ εἰσὶν οἱ μὲν νέοι θερμοὶ καὶ ὑγροὶ, τῇ κράσει ἀναλογοῦντες τῷ ἀέρι· οἱ δὲ ἀκμάζοντες θερμοὶ καὶ ξηροὶ ὅμοιοι τῷ θέρει· οἱ δὲ παρακμάζοντες, οἱ καὶ μέσοι[y], ξηροὶ καὶ ψυχροὶ τῷ μετοπώρῳ προσεοικότες[z]· οἱ γέροντες δὲ ψυχροὶ καὶ ὑγροὶ παραπλήσιοι τῷ χειμῶνι· τὸ δὲ[a] ἔμφυτον θερμὸν, ἐν μὲν τοῖς νέοις καὶ τοῖς ἀκμάζουσιν ἐστὶ πολύ· μέσον δὲ ἐν τοῖς μέσοις· ὀλίγον δὲ ἐν τοῖς γέρουσι· καὶ πῆ μὲν πλεονάζει· πῆ δὲ αὔξεται· πῆ δὲ ἵσταται· πῆ δὲ μειοῦται· καὶ πῆ μὲν μᾶλλον, πῆ δὲ ἧττον· ῥεύσει[b] δὲ πάλιν πάσχει, ὅτι ἀεὶ κενοῦται τὸ ζῶον, διά τε τῶν προδήλων πόρων καὶ τῶν ἀδήλων· καὶ ἐκ προδήλων μὲν πόρων, τὰ οὖρα καὶ περιττώματα[c], μῦξαι[d] καὶ πτύελα καὶ πνεῦμα[e] ἀποκρίνεται[f]· ἐκ δὲ ἀδήλων ὑπονόμων καὶ φυσικῶν, οἱ ἐκ τοῦ ἥπατος ὀχετοὶ ἐξ ἅπαντος σώματος[g] πολυσχιδῶς διαπνέουσιν.

Αἱ δὲ λιγνυώδεις[h] ἀναθυμιάσεις διὰ τῆς κεφαλῆς καὶ τῶν ἀρτηριῶν, καὶ τῶν τοῦ σώματος πόρων ἐκκενοῦνται· ἔτι δὲ καὶ δι' ἱδρώτων[i]· ξηρῶν δὲ ὄντων τῶν κενουμένων[k] καὶ ὑγρῶν καὶ πνευμάτων, ἀνάγκη ξηρᾶς καὶ ὑγρᾶς τροφῆς δεῖσθαι τὸ ζῶον, καὶ πνεύματος, ἵνα μὴ ἐνδείᾳ[l] τῶν ἐπεισερχομένων[m] τροφῶν διαλυθῇ, καὶ ἐκπέσῃ· ἀλλὰ τοῖς κενουμένοις ἀντεισέλθῃ[n] τὰ ἴσα διὰ τῆς καταλλήλου τροφῆς[o]· καὶ γὰρ τὸ ἐν ἡμῖν ἔμφυτον θερμὸν ἀεὶ τὴν ὑπεκκαίουσαν καὶ τρέφουσαν[p] αὐτὸ ὕλην ἐπιζητεῖ[q]·

[t] οἱ ἰατρ. προστ. C. [u] τήν τε παιδ. B. [v] τὴν μειρακιώδη B.C. [w] τὴν τῶν ἐ. C. [x] δὲ om. B.C. [y] καὶ οἱ μ. B. οἱ παρακ. οἱ μεσ. C. [z] προσ. τῷ μετοπ. C. [a] δὲ om. B. [b] ῥεῦσιν C. [c] τὰ περιτ. οἷον μ. C. [d] κύζας B. [e] πνεύματα B.C. [f] ἀποκρίνονται C. [g] ἐξ ἀπ. σωμ. om. B. οἷς ἀπ. τὸ σ. πολ. διαπνέεται C. [h] λυγνιώδεις A. [i] δι' ἱδρώτων ἐκκενουμένων B. κενούμεναι C. [k] ἐκκενουμένων C. [l] δι' ἔνδειαν C. [m] ἐπεισιόντων B.C. [n] ἀντεισελθεῖν B. ἀλλ' ἀντεισαχθῇ τὰ τῶν κενουμένων ἴσα C. [o] διὰ τῆς τρ. τῆς καταλλήλου C. κατ' ἀλλήλων B. [p] ἣ τρεφ. B. [q] ἀεὶ τὴν σύνταξιν τῶν ἐπεισελθόντων καὶ ἔκκρισιν ποιησάμενον ἑτέραν αὖθις τροφὴν ἐπιζητεῖ· ὑπεκ. κ. τρεφ. αὐτ. ὑλ. ἐπιζ. C.

καὶ εἰ περιδράξαιτο ποθὲν αὐτῆς, οὐδὲ οὕτως ἵσταται αὐτῆς[r] ἡ ἐνέργεια, ἀλλὰ καθάπερ ἐν χωνευτηρίῳ σύντηξιν τῶν ἐπεισελθόντων καὶ ἔκκρισιν ποιησαμένων[s] ἑτέρων[t] αὖθις τροφὴν ἐπιζητεῖ· καὶ οὐδέποτε, εἰ κατὰ φύσιν ἔχει[u] τὸ ζῶον, τῆς τοιαύτης ἵσταται ὁρμῆς· εἰ δέ ποτε κενούμενον[v] παύσαιτο, καὶ[w] τὸ εἶναι ἀπώλεσε· τὴν δὲ τοιαύτην ὁρμὴν ὄρεξιν ὀνομάζομεν. οὐδὲν γὰρ ἄλλο ἐστὶν ὄρεξις, ἢ τροφῆς καὶ ποτοῦ ἐπιζήτησις. τὸ δὲ ὀρέγεσθαι ἔργον ἐστὶ φυσικὸν τοῦ στομάχου, μετὰ ψυχικῆς συναισθήσεως[x] γινόμενον.

Ἔστι δὲ ἡμῖν ἡ τροφὴ καὶ τὸ ποτὸν διὰ τῶν στοιχείων, ἐξ ὧν καὶ συνέστημεν[y]· ὅτι τὰ στοιχεῖα μὲν[z] εἰς τοὺς καρποὺς ἀναλύονται· οἱ δὲ καρποὶ, εἰς τὰς τροφάς· αἱ τροφαὶ[a] εἰς τοὺς στοιχειώδεις χυμοὺς, ἤγουν εἰς αἷμα καὶ[b] φλέγμα, χολὴν ξανθήν τε[c] καὶ μέλαιναν· καὶ οὗτοι[d] εἰς σάρκα, εἰς δέρμα, εἰς ὀστέα[e], νεῦρα, φλέβας[f], ἀρτηρίας, μυελοὺς, πιμελὴν, πνεύματα, ὑμένας, ἀδένας, συνδέσμους, μύας, χόνδρους, ὄνυχας, τρίχας· καὶ ταῦτα, εἰς τόπους, καὶ μόρια, καὶ μέλη, καὶ μέρη[g]· ἐξ ὧν τὸ εἶδος μετὰ τοῦ σώματος ἡμῶν ἀπαρτίζεται.

Καὶ γὰρ τῶν στοιχείων τὰ μὲν προσεχῶς τε ἅμα καὶ διὰ μέσων τινῶν προσφερόμεθα· ὡς ὕδωρ ποτὲ μὲν καθ' αὐτὸ, ποτὲ δὲ διὰ μέσου τοῦ οἴνου, καὶ τοῦ ἐλαίου, καὶ πάντων τῶν ἄλλων τῶν καλουμένων ὑγρῶν καρπῶν[h]· ὁμοίως δὲ καὶ πυρὸς μεταλαμβάνομεν· ποτὲ μὲν προσεχῶς ὑπ' αὐτοῦ θαλπόμενοι· ποτὲ δὲ τῇ ἑψήσει διὰ μέσων[i] ὧν ἐσθίομεν καὶ πίνομεν[k]· τὸν αὐτὸν τρόπον καὶ τοῦ ἀέρος· προσεχῶς μὲν ἀναπνέοντες αὐτὸν καὶ περιχεχυμένον ἔχοντες· καὶ ἐν τῷ ἐσθίειν καὶ πίνειν ἕλκοντες διὰ τῆς ἀναπνοῆς· διὰ μέσου δὲ τῶν ἄλλων προσφερόμεθα· τὴν δὲ γῆν, προσεχῶς μὲν ἡμῖν[l] οὐδαμῶς ἐσθίομεν· διὰ μέσων δὲ τῶν ζώων, καὶ σπερμάτων καὶ φυτῶν·

[r] αὐτοῦ B. αὐτῶν C. [s] ποιησάμενον B. [t] ἑτέραν B. [u] ἵσταται εἰ κ. φυσ. ἔχοι B. [v] κινούμενον B.C. [w] καὶ om. C. [x] συναισθ. ψυχικῆς B. [y] συνεστήκαμεν B. καὶ om. C. [z] καὶ B. μὲν om. C. [a] αἱ τ. δὲ B. [b] καὶ om. B. [c] τε om. B.C. [d] ταῦτα C. [e] ὀστᾶ B. [f] εἰς ν. εἰς φ. C. [g] εἰς μέρ. κ. μέλ. B. [h] κ. ὑγρ. C. [i] μέσον C. [k] τε κ. π. B. [l] ἡμεῖς B.C.

ἡ γὰρ τῶν φυτῶν καὶ σπερμάτων φύσις[m] οὐ δι' ἑαυτὴν, ἀλλ' εἰς τροφὴν καὶ σύστασιν ἀνθρώπων καὶ τῶν ἄλλων ζώων παρὰ τοῦ δημιουργοῦ εἰς τὸ εἶναι[n] παρήχθη· ὡς εὑρίσκεσθαι τὰ μὲν φυτὰ καὶ σπέρματα[o] διὰ τὰ ζῶα, αὐτὰ δὲ τὰ ζῶα[p] διὰ τὸν ἄνθρωπον γεγονότα· ἵνα τῶν τροφῶν ὡς ἐν κύκλῳ[q] χορηγουμένων, ἀνελλιπὴς καὶ ἡ τῶν προσφερομένων τοὺς καρποὺς διαμένῃ φύσις· εἰ καὶ λεληθότως ὁσημέραι πρὸς ἕκαστον τῶν στοιχείων τὰ διάφορα γενήματα χωροῦσι[r].

Ἡ γὰρ τῶν ἑτεροφυῶν στοιχείων πρὸς ἄλληλα συνδρομὴ κατὰ τὴν τοῦ σώματος ἡμῶν κατασκευὴν, καὶ τῶν ἄλλων ἁπάντων διαφόρων γενῶν, σύνθεσις τίς ἐστι διὰ πλειόνων ἀνομοίων[s] ἁρμοζομένη· ἐκλυθείσης δὲ τῷ καθήκοντι καιρῷ τῆς συνδεούσης τὴν τῶν στοιχείων συνδρομὴν ἁρμονίας, πάλιν τὸ σύνθετον εἰς τὰ ἐξ ὧν[t] συνέστηκε φθαρὲν, ἀναλύεται[u]· ἑκάστου τῶν συνελθόντων, πρὸς[v] τὴν οἰκείαν χώραν ἐπανιόντος· τοῦτο δὲ οἷον κυκλικόν ἐστι σχῆμα· ὃ καὶ τῆς φύσεώς ἐστιν ἀκολουθία, καὶ τοῦ σώματος ἔργον· καὶ τῶν στοιχείων εἱρμός· καὶ τοῦ χρόνου[w] διὰ τῆς ἑβδομαδικῆς ἀνακυκλήσεως[x] μέτρον· ὅπερ ἐξ ἑαυτοῦ ἄρχεται, καὶ εἰς ἑαυτὸν[y] καταλήγει· οἷον δή τι[z] κατὰ γεωργίαν ἐστὶν ἰδεῖν τῆς ἐκ νεφῶν ἐπομβρίας, ἢ τῆς[a] τῶν ὀχετῶν ἐπιῤῥοῆς διάβροχον ποιούσης τὸ ὑποκείμενον. κῆπος δέ τις ὑποκείσθω τῷ λόγῳ· μυρίας δένδρων διαφορὰς παντοδαπάς τε τῶν ἐκ γῆς φυομένων ἰδέας ἐν ἑαυτῷ τρέφων· ὧν καὶ τὸ σχῆμα καὶ ἡ ποιότης, καὶ ἡ τῆς χροίας ἰδιότης ἐν πολλῇ διαφορᾷ τοῖς καθ' ἕκαστον ἐνθεωρεῖται. Τοσούτων[b] τοίνυν κατὰ τὸν ἕνα χῶρον τῷ ὑγρῷ τρεφομένων, ἡ μὲν ὑπονοτίζουσα τὰ καθ' ἕκαστον δύναμις, μία τίς κατὰ τὴν φύσιν ἐστίν· ἡ δὲ[c] τῶν τρεφομένων ἰδιότης εἰς διαφόρους τὸ ὑγρὸν μεταβάλλει[d] ποιότητας· τὸ γὰρ αὐτὸ πικραίνεται[e] μὲν ἐν τῇ ἀψίνθῳ· εἰς φθοροποιὸν δὲ χυμὸν ἐν τῷ

[m] ἡ γὰρ τ. σπερμ. ἡ φύσις κ. τῶν φυτ. C. [n] εἰς τὸ εἶν. om. C. [o] καὶ τὰ σπ. B. [p] ταῦτα δὲ καὶ τὰ ζ. B.C. [q] ἐν κύκλῳ γι. A. an leg. τινί? [r] γένη μεταχωροῦσιν B. [s] ἁρμονιῶν B. [t] εἰς ὃ B. [u] διαλύεται B. [v] εἰς C. [w] τ. χρόν. δὲ C. [x] ἑβδοματικῆς ἀνακλήσεως B. [y] ἑαυτό B.C. [z] δέ τι οἷον τι B.C. [a] τῆς om. C. [b] τοσοῦτον B. [c] εἰ δὲ C. [d] μεταβάλει B. [e] πικραίνει C.

κωνείῳ μεθίσταται· καὶ ἄλλως ἐν ἄλλῳ[f] γίνεται· ἐν κρόκῳ, ἐν βαλσάμῳ, ἐν μήκωνι· τῷ μὲν[g] γὰρ ἐκθερμαίνεται· τῷ δὲ[h] καταψύχεται· τῷ δὲ μέσην ἔχει ποιότητα· καὶ ἐν δάφνῃ[i], καὶ ἐν σχίνῳ, καὶ τοῖς τοιούτοις εὔπνοον[k] ἐστί· ἐν συκῇ τε καὶ ἀμπέλῳ κατεγλυκάνθη· καὶ ὁ ταύτης βότρυς οἶνος ἐγγίνεται[l]· καὶ ὁ τοῦ μήλου χυλὸς[m]· καὶ τὸ τοῦ ῥόδου ἐρύθημα· καὶ τὸ τοῦ κρίνου λαμπρόν· καὶ τὸ κυανίζον τοῦ ἴου· καὶ πάντα ὅσα κατὰ τὴν γῆν ἐστὶν ἰδεῖν, ἐκ μιᾶς καὶ τῆς αὐτῆς ἰκμάδος ἀναβλαστάνοντα· εἰς τοσαύτας δὲ διαφορὰς κατά τε τὸ σχῆμα, καὶ τὸ εἶδος, καὶ τὰς ποιότητας διακρίνεται, ὅσας οὐδὲ ῥᾴδιον[n] ἀριθμῆσαι.

Τοιοῦτόν τι κατὰ τὴν ἔμψυχον ἡμῶν ἄρουραν θαυματοποιεῖται παρὰ τῆς φύσεως, μᾶλλον δὲ παρὰ τοῦ δεσπότου τῆς φύσεως· ὀστέα τε καὶ χόνδροι, φλέβες καὶ ἀρτηριαὶ, καὶ πάντα τὰ μικρῷ ἔμπροσθεν εἰρήμενα[o]· ἐξ ὧν πάλιν ὀφθαλμοὶ καὶ χιτῶνες, ῥῖνες καὶ[p] ὦτα· γλῶσσα καὶ ὀδόντες· οὖλα καὶ γαργαρεών· κλείς τε καὶ θώραξ· καρδία καὶ πνεύμων· ἔντερα καὶ γαστήρ· καὶ ἔγκατα πάντα μετὰ σπληνὸς καὶ ἥπατος, καὶ τῶν ἄλλων πάντων τῶν ἔσωθεν· πρὸς τούτοις χεῖρες καὶ πόδες, καὶ πάντα τὰ ὀργανικὰ μόρια διαφόροις ἰδιώμασιν ἀπ' ἀλλήλων κεχωρισμένα, μιᾷ, τῇ τῆς τροφῆς χυλώσει[q], καταλλήλως τῇ ἑαυτῶν τρέφεται φύσει· ὡς τῆς τροφῆς, ᾧ ἂν προσπελάσῃς μέρει, κατ' ἐκεῖνο ἀλλοιουμένης, οἰκείας τε καὶ συμφυοῦς τῇ τούτου οἰκειότητι γινομένης[r]· εἰ γὰρ κατὰ τὸν ὀφθαλμὸν γένοιτο[s], τῷ ὁρατικῷ μορίῳ συγκατεκράθη[t]· καὶ τῶν περὶ τὸν ὀφθαλμὸν χιτώνων ταῖς διαφοραῖς οἰκείως εἰς[u] ἕκαστον κατεμερίσθη· εἰ δὲ τοῖς κατὰ τὴν ἀκοὴν μέρεσιν ἐπιῤῥυῇ[v], τῇ ἀκουστικῇ καταμίγνυται φύσει· καὶ ἐν χείλει γινόμενον, χεῖ-

[f] καὶ ἐν ἄλλ. C. [g] τὸ μὲν C. [h] τοῦτο δὲ C. [i] κ. ἐν δ. om. C. [k] ἡδύπνοον B. εὔπνουν C. [l] ἐγένετο B.C. [m] χιλὸς C. [n] οὐ ῥ. B. [o] τὰ προειρήμενα C. [p] καὶ ῥ. B. [q] χυλοποιήσει C. [r] ὡς ἑκάστῳ τῶν ὑποκειμένων τὴν τροφὴν προσεγγίσασαν, ὅπερ ἂν προσπελάσῃ (ᾧπερ ἂν προσπελάσῃς C.) κατ' ἐκεῖνο καὶ ἀλλοιοῦσθαι, οἰκείαν καὶ συμφυῆ τῇ τοῦ μέρους οἰκειότητι γινομένη (γινομένην C.) B. [s] γένηται C. [t] συγκατεκρίθη B. [u] εἰς om. B. [v] ἐπιῤῥύει B. ἐπεῤῥύη C.

λος ἐγένετο· καὶ ἐν ὀστέῳ πήγνυται· καὶ ἐν μυέλῳ ἁπαλύνεται· καὶ τονοῦται μετὰ τοῦ νεύρου· καὶ τῇ ἐπιφανείᾳ συμπαρατείνεται· καὶ εἰς ὄνυχας διαβαίνει· καὶ εἰς τριχῶν γένεσιν λεπτοποιεῖται[w] τοῖς καταλλήλοις ἀτμοῖς[x]· εἰ μὲν διὰ σκολιῶν παράγοιντο πόρων, οὐλοτέρας καὶ κατηγκυλωμένας[y] τὰς τρίχας ἐκφαίνουσα[z]· εἰ δὲ δι' εὐθείας ἡ τῶν τριχοποιῶν ἀτμῶν γένοιτο πρόοδος, τεταμένας τε[a] καὶ εὐθείας προάγουσα· αἵτινες τρίχες καὶ διὰ τὴν λιγνὺν[b] τὴν ἀναπεμπομένην ἐπὶ τὴν κεφαλὴν ἐκ στομάχου, λευκὴν μὲν οὖσαν καὶ φλεγματικωτέραν[c], ταχέως λευκαίνονται· χολωδεστέραν[d] καὶ ξηροτέραν, βραδύτερον. Ἴδιον δὲ καὶ τὸ πολιοῦσθαι μόνου ἀνθρώπου[e], ὥσπερ καὶ τὸ γελᾶν· τοῦτο μὲν γὰρ πάντι καὶ μόνῳ ἀνθρώπῳ ἁρμόζει· οὐκ ἀεὶ δέ· ἀλλ' ἐν τῷ γήρᾳ γίνεται μόνον· καλεῖται δὲ πολιὰ ἤτοι παρὰ τὸ λευκὴν[f] εἶναι· τὸ γὰρ[g] λευκὸν πολιόν· ἢ οἷον παλαιά· ἐν γήρᾳ γὰρ γίνεται[h].

Χρηστοῦ οὖν[i] ὄντος τοῦ τρέφοντος ἅπαν τὸ σῶμα χυλοῦ[j], καὶ εὐχύμου· καὶ εὐκράτως[k] τοῦ ζωτικοῦ πνεύμωνος[l] διάγοντός τε καὶ διαμένοντος, εὔχροα καὶ εὐκίνητα τὰ σώματα δείκνυται[m]· συνεργοῦσι δὲ πρὸς τοῦτο καὶ καιρῶν μεταβολαὶ καταλλήλως γενόμεναι· καὶ ἀνέμων καταστάσεις· καὶ ἀέρων εὐκρασίαι· καὶ τροφῶν ἐπιτηδειότητες· κατά τι γὰρ σφαλλομένης[n] ἐκ τούτων, ἡ παρὰ τῆς φύσεως τὸ ἀνάπαλιν γίνεται· διεισδύνον γὰρ τὸ ψυχρὸν ἐν τῷ βάθει, καταψυχεῖ[o] τὸ ἔμφυτον θερμὸν, καὶ οἷον μαρασμώδη ποιεῖται διάθεσιν· ἐφ' ἧ[p] ἀπόλλυται τὸ ἄνθος τοῦ σώματος, ἤγουν τὸ ἐρυθρὸν αὐτοῦ χρῶμα.

Ἐπειδὴ[q] καὶ[r] ψύχεται ἡμῶν τὸ σῶμα ἐν ταῖς τῶν ὡρῶν μεταβολαῖς, καὶ θερμαίνεται· οὐ περιέθηκε δὲ ἡμῖν ὁ θεὸς

[w] λωστοποιεῖ τοὺς πρὸς ἄλληλα C. [x] τοὺς καταλλήλους ἀτμοὺς B. [y] οὐλ. τὲ καὶ κατ. B.C. [z] ἐκφύουσα B.C. [a] τε om. B. [b] ὑπὸ λίγγην B. ὑπὸ λιγνύος τῆς ἀναπεμπομένης C. [c] λευκῆς οὔσης καὶ φλεγματικωτέρας C. [d] χολ. δὲ B. χολωδεστέρας δὲ καὶ ξηροτέρας C. [e] τῷ ἀνθρώπῳ C. [f] λευκὴ C. [g] τὸ δὲ B. [h] ἐν γηρ. θρὶξ γιν. C. [i] οὖν om. B. [j] χυμοῦ C. [k] εὐκράτου C. [l] πνεύματος B.C. [m] διαδείκνυται B.C. [n] σφαλλομένου B. τούτων σφαλομένων C. [o] καταψύχει C. [p] ὑφ' ἧς ἀπ. τοῦ ἄνθος C. [q] ἐπ' ἂν C. [r] δὲ B.

ἐκ φύσεως δέρμα παχὺ ὡς τοῖς βουσὶν, ἢ τοῖς ἄλλοις ζώοις τοῖς παχυδέρμοις[s]· οὔτε τρίχας μεγάλας καὶ πυκνὰς ὡς τοῖς προβάτοις, ἢ ταῖς αἰξίν· οὔτε φολίδας, ὡς τοῖς ὄφεσι, καὶ τοῖς ἰχθύσιν· οὔτε ὄστρακα, ὡς ταῖς χελώναις, καὶ τοῖς[t] κοχλίαις, καὶ τοῖς ὀστρακοδέρμοις πᾶσιν· οὔτε πτέρυγας[u], ὡς τοῖς ὀρνέοις· ἀναγκαίως[v] ἐσθῆτος ἐδεήθημεν ἀναπληρούσης[w] ἡμῖν[x] ὅπερ ἡ φύσις τοῖς ἀλόγοις ἐδωρήσατο[y]· οὐ μόνον δὲ ἀλλὰ καὶ οἰκήσεως διὰ τοὺς ὄμβρους καὶ χειμῶνας καὶ καύματα, διὰ τοῦτο ὡς ἐξαπορούμενοι ἐξ ὄμβρων καὶ χειμῶνος καὶ καύματος[z] ἐσθῆτος ἐδεήθημεν καὶ οἰκήσεως· διὰ δὲ τὸ διαφορεῖσθαι τὴν ἐπεισερχομένην τροφὴν, ἄλλης τροφῆς καὶ ποτοῦ· διὰ δὲ τὰς δυσκρασίας τῶν ποιοτήτων, καὶ τὴν λύσιν[a] τῆς συνεχείας τοῦ σώματος, ἰατρῶν θεραπείας ἐν χρείᾳ κατέστημεν.

Οὐ[b] γὰρ δὴ μόνον εἰς τροφὴν ἀνθρώπου[c] τὰ ὄντα ἐγένετο, ἀλλὰ πολλῷ[d] μᾶλλον εἰς θεραπείαν αὐτοῦ[e]· οὐδὲν γάρ ἐστι τῶν ἐπὶ γῆς, ὃ μὴ συνεργεῖ[f] ἐν τῇ ἰατρικῇ τέχνῃ καὶ βοηθεῖ τῷ ἀνθρώπῳ· κἂν θηρία εἴπῃς· κἂν ἑρπετά· κἂν πετεινά· κἂν φυτά· κἂν βοτάνας· κἂν λίθους· κἂν ὅτι οὖν τῶν ὄντων, ἐν γῇ τε καὶ θαλάσσῃ, καὶ ἐν πάσῃ τῇ κτίσει· χρεία τοίνυν ἀνθρώπῳ ἀεὶ τροφῆς μὲν καὶ ποτοῦ διὰ τὰς κενώσεις καὶ διαφορήσεις, καὶ τὸ[g] συνεστάναι τὸ ζῶον· καὶ γὰρ τὴν στερεὰν τροφὴν κατὰ προηγούμενον προσφερόμεθα[h] λόγον· τὴν δὲ ὑγρὰν κατὰ δεύτερον· ὥστε ὄχημα γενέσθαι τῇ ξηρᾷ[i], καὶ χειραγωγῆσαι αὐτὴν πρὸς τὴν ἀνάδοσιν, ὡς φησὶν Ἱπποκράτης· "ὑγρασίη[k] τροφῆς ὄχημα·" ἐσθῆτος δὲ πάλιν δεόμεθα, διὰ τὸ μηδεμίαν ἔχειν ἐκ φύσεως περιβολὴν ἰσχυράν· οἴκου δὲ, διὰ τὰς δυσκρασίας τοῦ περιέχοντος ἡμᾶς ἀέρος καὶ τὰ θηρία· θεραπείας δὲ, διὰ τὰς μεταβολὰς τῶν ποιοτήτων[l] καὶ τὴν αἴσθησιν τὴν ἐνδοθεῖσαν ἡμῶν[m] τῷ σώματι· εἰ γὰρ μὴ προσῆν

[s] παχυδέρμα C. [t] ταῖς B. [u] πτερὰ C. [v] καὶ διὰ τοῦτο ἀναγκ. B. [w] τῆς ἀναπλ. B. [x] ἐν ἡμῖν τοῦτο B.C. [y] ἐδωρ. τ. ἀλ. B. [z] καυμάτων B. [a] τῇ λύσει B. [b] οὐ δὲ γὰρ B. [c] τῶν ἀνθρώπων C. [d] πολλαὶ C. [e] αὐτῶν C. [f] ἐνεργεῖ C. [g] τοῦ B. διὰ τὸ C. [h] προφερόμεθα C. [i] τῆς ξηρᾶς C. [k] ὑγρασία B. ὑγράσιν C. [l] παντήτων C. [m] δοθεῖσαν ἡμῖν C.

ἡμῖν ἡ αἴσθησις, οὐκ ἂν ἠλγοῦμεν[n]· οὐδ' ἂν θεραπείας ἐδεήθημεν, μὴ ἀλγοῦντες· καὶ διεφθάρημεν ἄν, ἐν ἀγνωσίᾳ τοῦ κακοῦ τὸ πάθος οὐκ ἰώμενοι[o].

Διὰ δὲ τὰς τέχνας καὶ τὰς ἐπιστήμας, καὶ τὰς ἀπὸ τούτων χρείας ἀλλήλων δεόμεθα· διὰ δὲ τὸ δεῖσθαι ἀλλήλων εἰς ταυτὸ[p] πολλοὶ συνελθόντες, κοινωνοῦμεν ἀλλήλοις[q] κατὰ τὰς τοῦ βίου χρείας ἐν τοῖς συναλλάγμασιν[r]· ἥντινα[s] σύνοδον καὶ συνοικίαν[t] πόλιν ὠνόμασαν[u]· ἵνα ἐγγύθεν, καὶ μὴ πόῤῥωθεν τὰς[v] παρ' ἀλλήλων ὠφελείας καρπώμεθα· φύσει γὰρ συναγελαστικὸν καὶ πολιτικὸν ζῶον[w] γέγονεν ὁ ἄνθρωπος· εἷς γὰρ οὐδεὶς αὐτάρκης ἑαυτῷ πρὸς ἅπαντα[x]· δῆλον οὖν ὡς αἱ πόλεις διὰ τὰ συναλλάγματα καὶ τὰ μαθήματα συνέστησαν· ὁρίζονται γὰρ πόλιν[y], οὐ μόνον σύστημα ἱδρύμενον κατὰ[z] νόμον διοικούμενον[a], ἀλλὰ καὶ σύνοδον, καὶ συνοικίαν πολλῶν εἰς ὠφελείαν.

Δύο δὲ τῶν πρεσβείων τούτων ὁ ἄνθρωπος ἐξαιρέτων[b] ἔτυχεν ὑπὲρ πάντα τὰ ὄντα λογικά τε καὶ ἄλογα ζῶα· καὶ γὰρ οὗτος μόνος συγγνώμης[c] τυγχάνει μετανοῶν, καὶ[d] τὸ σῶμα τούτου θνητὸν ὂν[e] ἀπαθανατίζεται· καὶ τοῦ μὲν σωματικοῦ διὰ τὴν ψυχήν, τοῦ δὲ ψυχικοῦ, διὰ τὸ σῶμα τυγχάνει· μόνος γὰρ ὁ ἄνθρωπος τῶν λογικῶν ἐξαίρετον ἴδιον ἔσχηκεν, τὸ συγγνώμης ἐν τῷ μετανοεῖν ἀξιοῦσθαι[f]· ἐπειδὴ[g] γὰρ τὰ ἄλογα πάθη, ἐκ τῆς πρὸς τὴν ἄλογον[h] φύσιν συμπαθείας τε καὶ[i] συγγενείας τὰς ἀφορμὰς ἔχει· ἡ γὰρ τῶν παθημάτων συγγένεια κατὰ τὸ ἴσον ἡμῖν τε καὶ τοῖς ἀλόγοις ἐμφέρεται[k]· διπλὴν φέρει ὁ ἄνθρωπος πρὸς τὰ ἐναντία[l] τὴν τιμιότητα[m]· τῷ[n] μὲν θεοειδεῖ τοῦ νοῦ πρὸς τὸ θεῖον κάλλος μεταμορφούμενος[o]· ταῖς δὲ κατὰ

[n] ἠλγῶμεν C. [o] ὠκειούμενοι B. οἰκειούμενοι C. [p] τὸ αὐτὸ B. [q] ἀλλήλων C. [r] συναλγήμασιν A. συναλάγμασιν B.C. [s] ἣν δὴ C. [t] συνοίκησιν C. [u] ὠνομάσαμεν C. [v] τῆς C. [w] ζῶον om. B. [x] ἅπαντας C. [y] πολλοὶ A. πόλεις B. πόλιν C. [z] καὶ κατὰ C. [a] διοικούμεναι B. [b] ἐξαιρέτως B. [c] συγ. μόνον B. [d] καὶ μετανοίας B. [e] ὂν om. B. [f] verba a μόνος usque ad ἀξιοῦσθαι om. A. [g] ἐπεὶ C. [h] τὰ ἄλογα C. [i] συμπαθ. τε καὶ om. B.C. [k] ἐπιφαίνεται C. [l] δ. δὲ φέρει π. τὰ ἐν. ὁ ἄνθρ. B. [m] ὁμοιότητα A.C. [n] τῇ A.B. [o] μεταμορφούμενον C.

τὸ πάθος γινομέναις ὁρμαῖς πρὸς τὸ κτηνῶδες φέρων τὴν οἰκειότητα· πολλάκις δὲ καὶ ὅλος[p] ἀποκτηνοῦται διὰ τῆς πρὸς τὰ ἄλογα ῥοπῆς τε καὶ διαθέσεως· συγκαλύπτων τὸ κρεῖττον τῷ χείρονι· τούτου γοῦν χάριν ἐχαρίσατο τὸ ἐξαίρετον αὐτὸ ὁ Θεὸς προτέρημα[q], τὸ διὰ τῆς μετανοίας ἀπολύεσθαι τῶν προημαρτημένων αὐτῷ τὰς αἰτίας ἀποδυρόμενος[r]· καὶ γὰρ μόνῳ ἀνθρώπῳ τοῦτο[s] δεδώρηται, καὶ παντὶ, καὶ ἀεὶ, παρὰ τὸν καιρὸν τῆς ἐγκοσμίου ζωῆς· μετὰ δὲ θάνατον οὐκ ἔτι· καὶ ὥσπερ ἴδιον ἐστὶ τοῦ εἴδους[t] αὐτοῦ τὸ γελαστικὸν[u], ἐπειδὴ καὶ μόνῳ τούτῳ πρόσεστι, καὶ παντὶ, καὶ ἀεί· εἰ καὶ μὴ ἀεὶ κέχρηται αὐτῷ· οὕτως ἴδιον αὐτῷ καὶ ἐξαίρετον, καὶ μόνῳ[v] τῶν ἄλλων ζώων, τὸ μετὰ θάνατον ἀνίστασθαι, καὶ εἰς ἀθανασίαν χωρεῖν· τυγχάνει δὲ τούτου διὰ τὴν τῆς ψυχῆς ἀθανασίαν· ὥσπερ τοῦ θανάτου[w], διὰ τὴν τοῦ σώματος ἀσθένειάν τε καὶ πολυπάθειαν.

Ἴδια δὲ αὐτοῦ[x] καὶ τὰ τῶν τεχνῶν καὶ ἐπιστημῶν μαθήματα· καὶ αἱ κατὰ τὰς τέχνας πάσας ἐνέργειαί[y] τε καὶ ἐφευρέσεις πάσας· τρεῖς δὲ περὶ τὸ ζῶον τοῦτο τὸ λογικὸν[z] ἐνεργοῦσι δυνάμεις ἀεί· ψυχικαὶ, φυσικαὶ καὶ ζωτικαί· τουτέστιν ἡγεμονικαὶ, αἰσθητικαὶ καὶ κινητικαί· ψυχικαὶ[a] μὲν καὶ ἡγεμονικαὶ, φαντασία, λογισμὸς, μνήμη, δόξα, διάνοια[b]· αἵτε κατὰ μέρος αἰσθήσεις, καὶ αἱ κατὰ προαίρεσιν κινήσεις· ζωτικαὶ δὲ, οἷον ἀναπνευστικὴ καὶ σφυγμική· φυσικαὶ[c] δὲ, οἷον γεννητικὴ, θρεπτικὴ, αὐξητική· καὶ αἱ τούτων ὑπηρέτιδες, ἑλεγκτικὴ καὶ ἑλκτικὴ[d], ἀλλοιωτικὴ[e] καὶ ἀποκριτική· ἔτι[f] δὲ σὺν ταύταις καὶ τίς ἕτερα διακριτικὴ λεγομένη, ἥτις κατὰ πᾶν μόριον ἐνεργοῦσα, συνιστᾶ ταῦτα καὶ τρέφει, καὶ τὸ περιττὸν ἀπωθεῖται.

Χρὴ δὲ γινώσκειν ταύτας τὰς δυνάμεις ἐκ τριῶν ὁρμᾶσθαι μορίων· ἐκ κεφαλῆς μὲν, ᾗ λογιζόμεθα καὶ αἰσθανόμεθα καὶ

[p] ἐνίοτε δὲ καὶ ἄλλως C. [q] αὐτῷ ὁ Θεὸς τὸ ἐξ. πρ. τοῦτο B. [r] ἀποδυρόμενος om. A. [s] μόνῳ τούτῳ B. [t] τῆς οὐσίας B.C. [u] μᾶλλον τὸ εἶναι γελ. B. [v] μόνον B. [w] ὥσπερ ἐκείνου B.C. [x] αὐτῷ C. [y] πᾶσαι ἐνέργειαι C. [z] περὶ τὸ λογ. τ. ζῶον B.C. [a] καὶ εἰσὶ ψυχ. B.C. [b] μνήμη, νοῦς, διάνοια δόξα C. διάνοια δόξα B. [c] φυσικὴ C. [d] ἠλατικὴ καθεκτικὴ C. [e] verba καὶ αἱ τούτων usque ad ἀλλοιωτικὴ om. B. [f] ἔστι C.

μεμνήμεθα· καὶ τόπον ἐκ τόπου μετερχόμεθα· ἐκ καρδίας δὲ, ᾗ θυμούμεθα, καὶ διάθερμοι τυγχάνομεν ὄντες· ἔτι δὲ σφυγμὸν ἔχομεν αὐτῇ[g] τῇ καρδίᾳ· καὶ ἐξ αὐτῆς ἐν ἁπάσαις ταῖς ἀρτηρίαις· ἐξ ἥπατος δὲ, ᾧ[h] τρεφόμεθα καὶ αὐξανόμεθα, καὶ τὸ πᾶν ἡμῶν ἐπαρδεύεται σῶμα· ἑκάστη δὲ αὐτῶν τῶν δυνάμεων διὰ τοῦ νοὸς ἐνεργεῖται· ὅτι πᾶσα ἐνέργεια διανοίας[i] ἐστὶν ἀποτέλεσμα· αἱ δὲ ἐνέργειαι δυνάμεις εἰσὶ τοῦ νοός· ὁ δὲ νοῦς ἡγεμονικόν ἐστι τῆς ψυχῆς· εἰ γὰρ καὶ ἀθεώρητός ἐστιν ἡ τοῦ νοῦ[k] φύσις καθ' ἑαυτὴν, καὶ οὐδεὶς αὐτὴν τόπος ἐμπεριέχει τῷ σώματι[l] διὰ τὸ ἄϋλον καὶ ἀσώματον[m], ἀλλ' ὅμως πᾶσα[n] προαιρετικὴ κίνησις τούτου[o] ἔργον ἐστί· πάσης δὲ προαιρετικῆς κινήσεως προηγεῖται φαντασία· φαντασία δέ ἐστι τύπωσις τοῦ ἡγεμονικοῦ, δι' ἧς γίνεται τῶν ἀφανῶν καὶ ἀμελετήτων πραγμάτων ἐξ ἐπινοίας τινὸς[p] ἀμυδρὰ ἔλλαμψις[q]· διάνοια δέ ἐστι νοὸς οἰκεία κίνησις· ἡ δι' αὐτοῦ ἐνεργοῦσα, καὶ τὰ πράγματα[r] κρίνουσα· τοῦ διανοητικοῦ[s] δὲ εἰσὶν αἵ τε κρίσεις καὶ αἱ συγκαταθέσεις, καὶ ἀποφυγαὶ[t] τῶν κακῶν καὶ ὁρμαί· καὶ αἱ νοήσεις τῶν ὄντων· καὶ αἱ ἀρεταί· καὶ αἱ ἐπιστῆμαι· καὶ τῶν τεχνῶν οἱ λόγοι· καὶ τὸ βουλευτικόν[u]· ἡ μνήμη δέ ἐστι φυλακὴ τῶν ῥηθέντων[v], ἢ διανοηθέντων[w], ἢ ἐνεργηθέντων, ἢ ἀκουσθέντων· ἡ δόξα δὲ συντελεστικὴ[x] τούτων ὑπάρχουσα, διὰ τῶν αἰσθητηρίων ἀντιλαμβανομένη[y] τὰ φαντασθέντα καὶ διανοηθέντα, καὶ ἐνεργηθέντα, καὶ ἀκουσθέντα[z], διὰ τῆς τοῦ λογισμοῦ συγκαταθέσεως ἐκπληροῖ.

Ἔστι δὲ λογισμὸς νοῦς μετὰ ὀρθοῦ λόγου προτιμῶν τὸν σοφὸν[a] βίον· νοῦς δέ ἐστι φύσις ἐπινοητικὴ καὶ ἀποτελεστικὴ πάντων τῶν ὄντων, τεχνῶν[b] τε καὶ ἐπιστήμων· νοῦς δὲ παρὰ τὸ νέεσθαι· ὁ πάντοτε[c] κινούμενος, καὶ ἐπὶ παντὸς προϊὼν ἐν

[g] ἐν αὐτῇ B.C. [h] ἐξ ἅπαντος δὲ ᾧ A. ἐξ ἥπατος δὲ οὗ B.C. [i] δυνάμεως B. [k] νοὸς C. [l] τοῦ σώματος B. [m] ἧς ὑπάρχει ψυχῆς ὀφθαλμὸς B. [n] πᾶσα om. B. [o] τούτῳ B. [p] τινὸς om. A. [q] ἔλαμψις A. [r] πνεύματα C. [s] νοητοῦ C. [t] αἱ ἀποφ. B.C. [u] τῶν βουλευτικῶν C. [v] τηρηθέντων A. [w] ἢ ἐννοηθέντων add. B.C. [x] καὶ ἡ συντ. B. [y] ἀναλαμβανομένη C. [z] καὶ μνημονευθέντα add. B.C. [a] σοφίας B.C. [b] πασῶν τῶν τεχ. C. [c] ὁπόταν δηλονότι C.

ἡμῖν πράγματος· τί γὰρ ὁρμητικώτερον τοῦ νοῦ; καθὼς Ὅμηρος φησὶν[d],

ὡς δ' ὅταν ἀΐξῃ[e] νοὸς ἀνέρος· (Il. O. 80.)

καὶ ἀλλαχοῦ·

ὥστε[f] πτερὸν, ἠὲ[g] νόημα· (Od. H. 36.)

ἐκ νοὸς δὲ καὶ ὁ λόγος γεννᾶται· καὶ φωναῖς τυποῦται, καὶ γράμμασιν ὡσπερεὶ σωματοῦται[h]· ὁ γὰρ λόγος ὃν ἐκφέρομεν διὰ γλώσσης καὶ χειλέων, γέννημα ἐστὶ τοῦ νοῦ· γεννᾶται δὲ οὐκ ὄψει· οὐ πάθει[i]· οὐ πόνῳ· οὐ διαιρέσει· ἔστι γὰρ[k] ἀσώματος, ἀόρατος καὶ[l] ἀκράτητος· ἀκοῇ μόνον[m] παραδεχόμενος· οὐδεὶς εἶδεν[n] ὄψει λόγον· οὐδεὶς κατέχει χειρί· ἀλλ' ἔστιν ἀσώματος καὶ ἀκράτητος φύσις[o], ὑπὸ μιᾶς αἰσθήσεως κρατούμενος τῆς ἀκοῆς· καὶ οὐκ ἐκτείνασα[p] χεῖρας ἡ ἀκοὴ κατέχει αὐτόν· ἀλλ' αὐτὸς ὁ λόγος[q] εἰσελθὼν κρατεῖται, καὶ οὐ μερίζεται, καὶ[r] τοῦ νοῦ τοῦ γεννήσαντος αὐτὸν οὐκ ἀποσχίζεται[s]· ἀλλὰ καὶ πάντας πληροῖ τοὺς ἀκούοντας αὐτοῦ[t], καὶ τοῦ γεννήσαντος αὐτὸν οὐκ ἀφίσταται νοῦ· ἀπὸ δὲ τοῦ λόγου καταλαμβάνεται ἡ διάνοια καὶ ἡ βουλὴ τῆς ψυχῆς· διὸ φησὶν ὁ μέγας Βασίλειος[u]· "τοῦ λόγου τὴν χρῆσιν δέδωκεν ἡμῖν ὁ "κτίσας ἡμᾶς[v] Θεὸς, ἵνα τὰς βουλὰς τῶν καρδιῶν ἀλλήλοις "ἀποκαλύπτωμεν· καὶ διὰ τὸ κοινωνικὸν τῆς φύσεως ἕκαστος τῷ "πλησίον μεταδιδῶμεν[w]· ὥσπερ ἔκ τινων ταμιείων τῶν τῆς καρ"δίας κρυπτῶν προφέροντες[x] τὰ βουλεύματα. εἰ μὲν γὰρ[y] "γυμνῇ τῇ ψυχῇ διεζῶμεν, εὐθὺς ἂν ἀπὸ τῶν νοημάτων ἀλ"λήλοις συνεγινόμεθα[z]. Ἐπεὶ δὲ ὑπὸ παραπετάσματι τῇ "σαρκὶ ἡμῶν καλυπτομένη[a] ἡ ψυχὴ τὰς ἐννοίας ἐργάζε"ται, ῥημάτων δεῖται καὶ ὀνομάτων πρὸς τὸ δημοσιεύειν τὰ "ἐν τῷ βάθει κείμενα[b]." πλὴν πρότερον ὁ[c] ἀπὸ τῶν γραμ-

[d] φησὶν om. B. [e] ἀΐξει A.C. [f] καὶ ὥστε et mox ἐννόημα B. [g] ἰὼν C. [h] hæc om. A. [i] οὐ π. om. B. πόθῳ C. [k] δὲ B. [l] καὶ om. B. [m] μόνη B. [n] οἶδεν B. [o] φύσει C. [p] ἐκτείνουσα C. [q] ὅλος C. [r] καὶ om. B. [s] οὐ χωρίζεται add. B.C. [t] αὐτὸν C. [u] εὐαγγελίστης C. [v] ἡμᾶς om. A. [w] ἀποδίδωσιν C. [x] προσφέροντες C. [y] γὰρ om. B. [z] συνεγινώμεθα B. [a] καλ. ἡμῶν B.C. [b] καὶ ταῦτα μὲν ὁ θεῖος ἀνὴρ add. C. [c] ὁ om. B.

μάτων[d] *τύπος ἐγγίνεται τῇ νοήσει· ἔπειτα μετὰ τὸ φαντασιωθῆναι, ἀπὸ τῶν ὑποκειμένων τὰς οἰκείας καὶ προσφυεῖς ἑκάστου σημασίας ἐκλεγόμενος ἐξαγγέλλει*[e]. *εἶτα τῇ ὑπηρεσίᾳ τῶν φωνητικῶν ὀργάνων διαδιδοὺς*[f] *τὰ νοηθέντα, οὕτως*[g] *διὰ τῆς τοῦ ἀέρος τυπώσεως κατὰ τὴν ἔναρθρον τῆς φωνῆς κίνησιν τὸ ἐν τῷ*[h] *κρυπτῷ νόημα*[i] *σαφηνίζει.*

Καὶ *τοῦτο ἐν τῇ φύσει τοῦ λογικοῦ ζώου, τὸ*[j] *διὰ λόγου ἐκκαλύπτειν προφορικοῦ τὰ τῆς ψυχῆς ἀπόκρυφα· ἡ γὰρ νοερὰ τῶν ἀγγέλων οὐσία, ἐξ αὐτῶν τῶν νοημάτων ἀλλήλοις συγγίνονται*[k]. *τὸν λόγον δὲ τὸν ἀνθρώπινον τινὲς ἄγγελον ὡρίσαντο νοήματος· λέγεται δὲ, ὁ μὲν ἐνδιάθετος, ὁ δὲ προφορικός· καὶ ἐνδιάθετος μέν ἐστιν, ὁ ἐν καρδίᾳ λαλούμενος· ὁ δὲ ἐν τῇ προφορᾷ καὶ χρήσει*[l], *ῥῆμα*[m] *ἀπὸ διανοίας ἐκπεμπόμενον*[n] *μετὰ φωνῆς· φωνὴ δὲ οὐ πᾶς*[o] *λόγος λέγεται, ἀλλὰ πᾶν ὃ ψόφον δι' ἀκοῆς ἐμποιεῖ· ἐπὶ μὲν γὰρ*[p] *τῆς ἡμετέρας ψυχῆς διτταὶ εἰσὶν αἱ ἐνέργειαι· αἱ μὲν γνωστικαὶ, οἷον νοῦς, δόξα, φαντασία, αἴσθησις καὶ διάνοια, καθὼς προείπομεν· αἱ δὲ ζωτικαὶ καὶ ὀρεκτικαὶ, οἷον, βούλησις, θυμός, καὶ ἐπιθυμία· περὶ ὧν μετέπειτα ἐνσημάνομεν*[q].

Τὰς *δὲ*[r] *τοῦ νοὸς ἐνεργείας πάσας τινὲς κατὰ τὰς ἐν τῇ κεφαλῇ τοῦ ἐγκεφάλου κοιλίας*[s], *ἤγουν τὰς ἐμπροσθίους καὶ ὀπισθίους καὶ μέσας κοιλότητας, διαμένειν*[t] *εἶπον· διὰ τὸ ἐν νοσήμασι τοῖς*[u] *κατὰ παρατροπὴν*[v] *τινὰ γενομένοις ταύτας ἀπόλλυσθαι· ποτὲ μὲν γὰρ ὁμοῦ τὸ φανταστικὸν, καὶ τὸ διανοητικὸν, καὶ μνημονευτικὸν, καὶ τὸν λογισμὸν αὐτὸν διαφθείρονται*[w] *οἱ φρενητιάσαντες*[x], *ἢ παρακοπὴν πάσχοντες*[y]. *ποτὲ δὲ καθ' ἕκαστον*[z] *τούτων· πλὴν ἀλλ' ὁ μὲν νοῦς ἐπὶ τῶν κατὰ*

[d] *πραγμάτων* B.C. [e] *ἐξαγγέλει* B. [f] *παραδιδοὺς* B.C. [g] *οὕτω* B. [h] *τῷ* om. B. [i] *τὸ ἐν αὐτῇ κρυπτόμενον νόημα* C. [j] *τοῦ* C. [k] *συγγίνεται* C. [l] *προφορικὸς δὲ ὁ ἐν τῇ π. καὶ χρήσιμος* C. [m] *ῥεῦμα* B.C. [n] *ἐκπεμπόμενος* C. [o] *πᾶν* C. [p] *ἐπεὶ γὰρ* B. [q] *ἑξῆς εἴπωμεν* C. [r] *δὲ* om. B. [s] *κοιλὰς* B. [t] *διανέμουσι* B. mox *εἶπον* om. B. [u] *νοήμασι τισὶ* C. [v] *κατὰ ῥοπὴν* B. *περιτροπὴν* C. [w] *παραφθείρουσιν* B. *παραφθείρονται* C. [x] *φρενιτιάσαντες* A. [y] *πάσχουσι* B. [z] *καὶ καθ' ἕκ.* B.

φύσιν διακειμένων ἀνθρώπων, τὸ οἰκεῖον τῆς φρονήσεως ἔργῳ ἢ λόγῳ ἐνήργησεν· ἐπὶ δὲ τῶν ἀσθενῶς διακειμένων μορίων[a] δέξασθαι τὴν φυσικὴν αὐτοῦ δύναμιν ἢ κίνησιν, ἄπρακτος καὶ ἀνενέργητος ἔμεινεν· ἐπεὶ καὶ μουσικὸς ἔμπειρος δεῖξαι τὴν ἐπιστήμην ἀδυνατεῖ, εἰς τὰ τῷ χρόνῳ διεφθορότα[b] ἢ παραρηγμένα[c] ἐκ καταπτώσεως τῆς τεχνικῆς αὐτοῦ πράξεως ὄργανα.

Οὐ μόνον δὲ τῆς ψυχικῆς, καὶ ζωτικῆς, καὶ φυσικῆς δυνάμεως[d] ἐπιστατεῖν αὐτὸν οἴδαμεν, ἄλλα καὶ διὰ τῶν πεντὲ αἰσθήσεων ἐνεργεῖσθαι γινώσκομεν· ταῖς γὰρ αἰσθητικαῖς δυνάμεσιν ἑαυτὸν καταμερίζων καταλλήλως δι' ἑκάστης, τὴν τῶν ὄντων γνῶσιν ἀναλαμβάνει· οὗτος[e] γὰρ θεωρεῖ διὰ τῶν ὀφθαλμῶν τὸ φαινόμενον[f]· καὶ συνίησι διὰ τῆς ἀκοῆς τὸ λεγόμενον· καὶ διὰ τῆς γλώσσης διακρίνει τῶν γευστῶν τὰς ποιότητας· καὶ διὰ τῆς ὀσφρήσεως δοκιμάζει τὰς διαφορὰς τῶν ἀτμῶν· καὶ τῇ χειρὶ χρῆται[g] πρὸς ὃ βούλεται· τῇ τοῦ ὀργάνου συνεργίᾳ εἰς[h] ταῦτα χρώμενος· ὁ γὰρ περιεκτικὸς τοῦ ἐγκεφάλου ὑμὴν δι' αἰσθητικῶν ὀργάνων ἐξ ἑαυτοῦ[i] κινουμένων, τῇ ὁράσει, καὶ τῇ[k] ὀσφρήσει, καὶ τῇ[l] ἀκοῇ, καὶ τῇ γεύσει ἁρμοζόμενος[m], φυσικῶς διὰ τοῦ ψυχικοῦ πνεύματος τῶν αἰσθήσεων[n] ἀντιλαμβάνεται.

Τὰς δὲ ζωτικὰς δυνάμεις ἐκ καρδίας ὁρμᾶσθαι[o] μάθομεν· καὶ γὰρ τοῦ ἐν ἡμῖν ἐμφύτου θερμοῦ τῇ ἀεικινήτῳ ὁρμῇ[p], ὃν καὶ ζωτικὸν τόνον[q] τινὲς ὠνόμασαν, ἡ ψυχὴ ὡς ὀργάνῳ χρωμένη, πᾶσαν ἑαυτῆς ἐνέργειαν ἐπιτελεῖ· τὸ γὰρ ἐκεῖθεν πηγάζον ζωτικὸν πνεῦμα χορηγούμενον ἐπὶ τὸν ἐγκέφαλον, καὶ δι' αὐτοῦ ἐπὶ τὰ αἰσθητήρια, καὶ ἐπὶ τὰ πανταχοῦ τοῦ σώματος διήκοντα[r] νεῦρα δεχόμενοι[s], ζῶντες καὶ ἐνεργοῦντες δεικνυόμεθα[t]· ἐκ καρδίας γὰρ καὶ ἡ σφυγμικὴ ὁρμᾶται κίνησις·

[a] αὐτοῦ μορ. C. [b] διαφθαρέντα C. [c] ἢ παρ. om. B.C. [d] ψυχικαῖς κ. ζωτικαῖς κ. φυσικαῖς δυνάμεσιν A. mox om. quæ seq. usque ad ἑαυτ. καταμερ. A. ψυκικὰς κ. ζωτικὰς κ. φυσικὰς δυνάμεις B. [e] οὕτω C. [f] γινόμενον C. [g] χρᾶται C. [h] πρὸς C. [i] αὐτοῦ B. [k] τῇ om. B. [l] τῇ om. B. καὶ τῇ ἀφῇ ἐφαρ. C. [m] καὶ γεῦσιν ἐφαρμοζόμενος B. [n] τὰς αἰσθήσεις B. ἑκάστου τῶν αἰσθητῶν C. [o] ὁρμᾶσθαι om. C. [p] τὴν ἀεικίνητον ὁρμὴν B.C. [q] τὸν A. [r] διῆκον A. [s] δεχ. om. B.C. [t] δεικνύμεθα ζῶντας κ. ἐνεργοῦντας ἀποδείκνυσι τοὺς ἀνθρώπους B.

οὐδὲν γάρ ἐστι σφυγμὸς, ἢ κίνησις καρδίας[u] καὶ ἀρτηριῶν ὑπὸ ζωτικῆς δυνάμεως φυσικῶς γινομένη, κατὰ διαστολὴν καὶ συστολὴν τοῦ πνεύμονος[v], πρὸς ἐκφόρησιν τῶν λιγνυωδῶν περιττωμάτων, καὶ ἀντεισαγωγὴν τοῦ καθαροῦ ἀέρος, πρὸς τὸ ῥιπίζεσθαι καὶ ἀναζωπυρεῖν τὸν ζωτικὸν τόνον, ὅ ἐστι τὸ ἔμφυτον θερμὸν τὸ[w] ἐν τῇ καρδίᾳ.

Ἐξ ἥπατος δὲ αἱ φυσικαὶ δυνάμεις ὁρμῶνται· καὶ γὰρ διὰ τῆς ἐργασίας[x] αὐτοῦ τρέφεται ἡμῶν ἅπαν[y] τὸ σῶμα, καὶ αὐξανόμεθα· καὶ πάλιν[z] τροφῆς ὀρεγόμεθα· πέψει, καὶ ἀναδόσει, καὶ ἐξαιματώσει, καὶ προσθέσει, καὶ διακρίσει, καὶ ἀποκρίσει· αἱ γὰρ τρεῖς αὗται δυνάμεις· ἡ ἐκ καρδίας· ἡ ἐξ ἥπατος· καὶ ἡ ἐξ ἐγκεφάλου, πᾶσαν ἡμῶν διοικοῦσι ζωήν· διὸ καὶ τῆς ψυχῆς μέρη τινὲς ταῦτα ὡρίσαντο εἶναι[a]· τὸ γὰρ "τριμερὲς τῆς ψυχῆς ἐν ἀπαθείας[b] βυθῷ" τῶν σοφῶν τὶς "καταποντίζεσθαι" εὔχεται· καὶ θαυμαστὸν πῶς τριμερὴς ἡ ἀσώματος· πλὴν ἐνέργειαί τινες εἰσὶν, εἴτουν[c] δυνάμεις, τὸ θυμικὸν, τὸ ἐπιθυμητικὸν, καὶ τὸ λογιστικόν· ὁρμῶνται δὲ, τὸ θυμικὸν μὲν ἐκ καρδίας· τὸ δὲ ἐπιθυμητικὸν ἐξ ἥπατος· ἐξ ἐγκεφάλου δὲ τὸ λογιστικόν· καὶ ἐκ μὲν τοῦ θυμικοῦ ὁ θυμὸς γεννᾶται· ἔστι δὲ θυμὸς ζέσις τοῦ περικαρδίου[d] αἵματος πρὸς ὄρεξιν ἀντιλυπήσεως τῶν παροξυνάντων κινούμενος· παράγεται[e] δὲ παρὰ τὸ θύω τὸ ὁρμῶ· ἢ παρὰ τὸ θύειν αἷμα[f]· θυαιμός τις ὤν· ἢ ὁ θύειν, ἤγουν ὁρμᾶν αἷμα κινούμενος, καὶ[g] ὁρμώμενος ὑπὸ αἵματος. ἐκ δὲ τοῦ ἐπιθυμητικοῦ ἡ ἐπιθυμία κινεῖται· ἔστι δὲ ἡ ἐπιθυμία παντὸς ἐμψύχου ὁρμὴ πρωτὴ[h] πρός τι τῶν φιλουμένων· ἐκ τοῦ λογιστικοῦ δὲ ὁ λογισμὸς ἐφορμᾶται· λογισμὸς δέ ἐστι τὸ πρῶτον ἐν νοῒ ἀνελθὸν[i] νόημα· ἢ ἀόρατος κίνησις καὶ ταραχὴ πραγμάτων· ἢ αἰσθητῶν πραγμάτων συνισταμένη κατὰ διάνοιαν[k] εἰκών· μεθ' ἧς ὁ νοῦς κινούμενος λέγει τι ἢ πράττει

[u] ἐκ καρδ. C. [v] πνεύμωνος A. [w] τὸ om. C. [x] θερμασίας C. [y] ἅπαν om. C. [z] πάλιν om. C. [a] εἶναι om. B. [b] τὸ γὰρ τριμ. τ. ψυχ. ἐν ἀπ. om. B. [c] ἤτοι C. [d] περὶ καρδίαν C. [e] παραγίνεται C. [f] ἢ ὁ θύειν αἷμα A. ἢ παρὰ τὸ θ. αἷμα om. B. ὁ θύειν αἷμα κινούμενος C. [g] καὶ om. B. [h] πρώτη ὁρμὴ B. [i] ἀνελθὼν C. [k] καταδιάνοια C.

φανερῶς ἢ κρυπτῶς πρὸς τὰ μορφούμενα ὑπ' αὐτοῦ· καὶ τοῦ μὲν θυμικοῦ εἰσὶν ἀρεταὶ, ὑπομονὴ, καὶ[l] ἐγκράτεια καὶ ἀνδρεία· κακίαι[m] δὲ, ὀργὴ καὶ μανία, καὶ δειλία[n], καὶ ἀνανδρία· τοῦ[o] ἐπιθυμητικοῦ ἀρεταὶ μὲν, σωφροσύνη, καὶ ὄρεξις τῶν ἀθανάτων ἀγαθῶν· καὶ ἀγάπη Θεοῦ, καὶ τῶν[p] πλησίον· κακίαι δὲ, ἀσέλγεια, καὶ ἀκολασία, καὶ τῶν γηϊνῶν[q] ἀγαθῶν ἐπιθυμία· τοῦ λογιστικοῦ δὲ ἀρεταὶ μὲν, σύνεσις, καὶ[r] εὐσέβεια, καὶ φόβος Θεοῦ· κακίαι δὲ, πανουργία καὶ δολιότης, καὶ ἀφοβία Θεοῦ.

Ὁπηνίκα γὰρ ὁ Θεὸς τὸν ἄνθρωπον κατεσκεύαζε, τὰ πάθη αὐτῷ καὶ τὰ ἤθη περιεφύτευσε· μᾶλλον δὲ δεκτικὸν αὐτὸν τῶν[s] ἀμφοτέρων ἐποίησε, καὶ διὰ τῶν αἰσθητηρίων ἐνεθρόνισε[t] τὸν ἡγεμόνα νοῦν· καὶ τούτῳ νόμον δέδωκε αὐτεξούσιον[u], καθ' ὃν πολιτευσάμενος βασιλεύσει βασιλείαν σώφρονά τε καὶ δικαίαν, καὶ ἀγαθὴν καὶ ἀνδρείαν[v]· εἰ[w] τὸ κρεῖττον ἕληται· ἵν' ᾖ φησὶ[x] τὸ ἀγαθὸν οὐχ ἧττον ἢ τοῦ παρασχόντος Θεοῦ τὰ σπέρματα[y], σοφίας μείζονος γνώρισμα[z]· ἐν γὰρ τῇ ἀρετῇ, καὶ τὸ ἐφ' ἡμῖν[a] ἀνεμπόδιστον[b], καὶ ἡ σοφία τοῦ Θεοῦ καταφανὴς[c] ἡ ἐντεθεῖσα ἡμῖν ἐστί. τῆς δὲ σοφίας εἴδη τέσσαρα· ἅσπερ[d] καὶ γενικὰς ἀρετὰς τινὲς ὀνομάζουσι· φρόνησις, δικαιοσύνη, σωφροσύνη καὶ ἀνδρεία[e]· κυριωτάτη δὲ πασῶν ἡ φρόνησις· ἐξ ἧς τῶν παθῶν ὁ λογισμὸς ἐπικρατεῖ· σοφία τοίνυν ἐστὶ γνῶσις θείων καὶ ἀνθρωπίνων πραγμάτων· σωφροσύνη δὲ ἐπικρατεία τῶν ἐπιθυμιῶν[f]· ἢ οὕτως σωφροσύνη ἐστὶν ἀρετὴ τοῦ ἐπιθυμητικοῦ, καθ' ἣν κατέχουσι[g] τοῦ λογισμοῦ τὴν ἐπιθυμίαν ὁρμῶσαν ἐπὶ φαύλας ὁρμάς[h].

Τῶν δὲ ἐπιθυμιῶν, αἱ μὲν εἰσὶ ψυχικαί· αἱ δὲ σωματικαί·

[l] καὶ om. B. [m] κακία C. [n] δειλία καὶ μανία A. [o] τοῦ δὲ B. [p] τοῦ C. [q] ἡ τῶν γ. ἡδονῶν B. [r] καὶ om. B. [s] τὸν A. αὐτῶν τε καὶ τῶν ἐναντίων ἐπ. C. [t] ἐνεθρόησε C. [u] τὸ αὐτεξ. B. [v] ἀνδρίαν, mox καὶ τοῦ κρείττονος B. [w] ἂν C. [x] ἵν' ᾖ τοῦ ἐλομένου C. [y] τὰ σπερμ. Θεοῦ B. [z] τοῦτο τὸ γνώρ. C. [a] ὑφ' ἡμ. A. [b] ἀνεμποδίστως C. [c] καταφ. ἐστιν B. [d] ἅπερ B. [e] ἀνδρία κ. σωφρ. B. [f] τῶν παθῶν καὶ ἐπιθ. C. [g] κατέχουσα B. κατέχει ὁ λογισμὸς C. [h] ἡδονὰς B.

καὶ ἀμφοτέρων[i] ἐπικρατεῖν ὁ λογισμὸς φαίνεται· ὁ γὰρ λογισμὸς τῶν ἀρετῶν μὲν ἐστὶν ἡγεμὼν, τῶν δὲ παθῶν αὐτοκράτωρ· οὐχ ὥστε αὐτὰ καταλύσαι[k], ἀλλ' ὥστε αὐτοῖς[l] μὴ εἶξαι· οἷον, ἐπιθυμίαν τίς οὐ δύναται ἐκκόψαι ἡμῶν· ἀλλὰ τὸ μὴ δουλωθῆναι τῇ ἐπιθυμίᾳ δύναται ὁ λογισμὸς παρασχέσθαι· ὁμοίως θυμὸν τίς ἐκκόψαι οὐ δύναται, ἀλλὰ τὸ μὴ δουλωθῆναι τῷ θυμῷ δύναται[m] τῷ λογισμῷ βοηθῆσαι· οὐ γὰρ ἐκριζώτης[n] τῶν παθῶν ὁ λογισμός ἐστιν, ἀλλ' ἀνταγωνιστής· παθῶν δὲ φύσεις εἰσὶν αἱ περιεκτικώταται δύο[o], ἡδονή τε καὶ πόνος· τούτων δὲ ἑκάτερον[p] καὶ περὶ τὸ σῶμα καὶ περὶ τὴν ψυχὴν πέφυκεν· ἀκολουθίαι δὲ παθῶν πολλαὶ[q] περὶ τὰ ἀμφότερα· πρὸ μὲν οὖν τῆς ἡδονῆς ἐστιν ἐπιθυμία ἐκ τῆς ἡδονῆς[r] κινουμένη· μετὰ δὲ τὴν ἡδονὴν χαρὰ ἢ λύπη συνίσταται· εἰ μὲν γὰρ ἀγαθὰ τὰ τῆς ἡδονῆς τέλη, χαρά· εἰ δὲ φαῦλα, λύπη· πρὸ δὲ τοῦ πόνου, φόβος· μετὰ δὲ τὸν πόνον, λύπη ἕπεται· ὁ δὲ θυμὸς κοινὸν πάθος ἐστὶν ἡδονῆς καὶ πόνου· ὅτι δὲ τὰ τέλη τῆς ἡδονῆς ἀμφότερα συνιστᾶ χαρά τε καὶ λύπη[s], οὐδ' ὁ τυχὼν ἀγνοεῖ· καὶ γὰρ τὰ βρέφη μασθοῦ[t] μητρικοῦ ἐπιθυμήσαντα ἄττεί τε[u] καὶ μετὰ περιχαρείας ἀσπάζεται τοῦτον ἰδόντα[v]· καὶ στερηθέντα δέ τι τῶν ἡδονῆς[w] ἐμποιούντων λυποῦνται[x].

Τῶν δὲ ἡδονῶν, αἱ μὲν εἰσὶ ψυχικαὶ, αἱ δὲ σωματικαί· ψυχικαὶ μὲν, αἱ[y] τῆς ψυχῆς αὐτῆς καθ' ἑαυτήν· ὡς αἱ[z] περὶ τὰ μαθήματα καὶ τὴν[a] θεωρίαν· σωματικαὶ δὲ, αἱ μετὰ κοινωνίας τοῦ σώματος καὶ τῆς ψυχῆς γενόμεναι· ὡς αἱ[b] περὶ τὰς τροφὰς καὶ τὰς συνουσίας· μόνου δὲ τοῦ σώματος οὐκ ἂν εὕροι τις ἡδονάς· ἔτι τῶν ἡδονῶν, αἱ μὲν εἰσὶ ψευδεῖς[c], αἱ δὲ ἀληθεῖς κατὰ Πλάτωνα· ψευδεῖς μὲν, ὅσαι μετὰ αἰσθήσεως γίνονται καὶ δόξης οὐκ ἀληθοῦς· καὶ λύπας ἔχουσι συμπεπλεγμέ-

[i] τούτων δὲ ἀμφ. C. [k] καταλ. αὐτὰ B. [l] τούτοις C. [m] δύνατον C. [n] ἐκριζωτὴς B.C. [o] παθ. δὲ εἰσὶ περιεκτικώτερα C. [p] ἕκαστον B. ἑκάστων C. [q] πολλαὶ om. C. [r] ἐστ. ἐπιθ. ἐκ τ. ἡδ. om. B. [s] χαράντε κ. λύπην A.C. [t] μαστοῦ B.C. [u] ἄτει B. [v] εἶδοτα B. [w] παιδιὰν B. τινὸς τῶν ἡδέων C. [x] λυπῆται B. λυπεῖται C. [y] ὡς αἱ A. [z] ὅσαι C. [a] τὴν om. B. [b] αἱ om. B. ὅσαι C. [c] ψ. εἰσὶν B.

νας· ἀληθεῖς[d], ὅσαι τῆς ψυχῆς εἰσὶ μόνης, μετ' ἐπιστήμης καὶ νοῦ[e] καὶ φρονήσεως, καθαραὶ καὶ ἀνεπεμικτοὶ λύπης.

Τῶν δὲ σωματικῶν ἡδονῶν, αἱ μὲν εἰσὶν ἀναγκαῖαι ἅμα καὶ φυσικαί, ὧν χωρὶς ζῆν ἀδύνατον[f]· ὡς αἱ τροφαὶ καὶ τὰ ἐνδύματα· αἱ δὲ φυσικαὶ μὲν οὐκ ἀναγκαῖαι δέ, ὡς αἱ[g] κατὰ φύσιν καὶ κατὰ νόμον μίξεις· δυνατὸν γὰρ καὶ χωρὶς αὐτῶν ζῆν· αἱ δὲ οὔτε φυσικαί, οὔτε ἀναγκαῖαι, ἀλλὰ καὶ περιτταί· ὡς ἡ μέθη, καὶ ἡ λαγνεία, καὶ ἡ φιλαργυρία· αὗται γὰρ καὶ προσβλάπτουσι, καὶ διὰ τοῦτο καὶ[h] περιτταί.

Ἡδονὴ[i] ἐστὶ καὶ ἡ κακοήθης διάθεσις πολυτροπωτάτη πάντων οὖσα τῶν παθῶν· κατὰ μὲν ψυχὴν[k], ἀλαζονεία· φιλαργυρία· φιλοδοξία· φιλαρχία· φιλονεικία, καὶ βασκανία· κατὰ δὲ σῶμα[l]· παντοφαγία· λαιμαργία[m]· μονοφαγία· καὶ ὥσπερ τῶν γενικωτάτων ἀρετῶν, φρονήσεως καὶ δικαιοσύνης, ἀνδρείας καὶ σωφροσύνης, πολλαὶ εἰσὶν αἱ παραφυάδες, αἱ ἐπαινούμεναι[n]· ἥτε γὰρ εὐσέβεια καὶ εὐβουλία[o], καὶ καρτερία, μακροθυμία τε καὶ μετριοφροσύνη[p], πραότης καὶ εὐεργεσία, φιλοκαλία, εὐταξία, κοσμιότης, ἐγκρατεία καὶ[q] αἰδώς, καὶ ἄλλαι μυρίαι πρὸς ταύταις· οὕτως καὶ τῶν[r] περιεκτικῶν παθῶν, ἡδονῆς τε καὶ πόνου, ἥ τε ὀργὴ καὶ ὁ θόρυβος, καὶ ἡ μῆνις, καὶ ἡ ἀφροσύνη, ἡ ἀκολασία, ἡ ἀβουλία, ἡ ὑπερηφανία[s], ἀλαζονεία, ἔρις, μῖσος, ζῆλος, λύπη, λοιδορία καὶ μικροψυχία· ἐξ ὧν ἄλλαι πλείονες ἐπικλονούμεναι καὶ[t] ἐπισχιζόμεναι, στῖφος παθῶν συνιστῶσιν· ὧν ἑκάστην[u] περικαθαίρων ὁ παγγέωργος λογισμὸς καὶ ἀποκνίζων[v], καὶ περιπλέκων καὶ ἐπάρδων, καὶ πάντα τρόπον μετοχετεύων, ἐξημεροῖ τὰς τῶν ἠθῶν καὶ παθῶν[w] ὕλας.

Ὁ γὰρ λογισμὸς, καθὼς εἴρηται, τῶν μὲν ἀρετῶν ἐστὶν

[d] ἀλ. δὲ B. [e] νοὸς C. [f] ὧν ἀδύναντον ζῆν C. [g] αἱ om. B. [h] καὶ om. B. [i] ἡδ. δὲ B.C. [k] ψυχῆς B. καὶ τὰ μὲν τῆς ψυχῆς πάθη C. [l] τὸ σῶμα B. τὰ δὲ τοῦ σώματος C. [m] λαιμαργία om. C. [n] ἑπόμεναι C. [o] ἡ εὐβ. C. et sic articulum in reliq. [p] ταπεινοφροσύνη B.C. [q] καὶ om. B. [r] τῶν om. B. [s] ὑπερηφάνεια B. abest articul. ubique Cod. C. [t] ἐπικλ. καὶ om. C. [u] ἕκαστον B.C. [v] ὁ πανέωργος λογισμὸς περικαθ. καὶ ἀποκνίζων B. περικ. καὶ περιπλ. C. [w] παθ. καὶ ἠθῶν B.C.

ἡγεμὼν, τῶν δὲ παθῶν αὐτοκράτωρ· λήθης δὲ καὶ ἀγνοίας οὔπω δεσπόζει· οὐ γὰρ τῶν αὐτῶν[x] παθῶν ὁ λογισμὸς ἐπικρατεῖ· ἀλλὰ τῶν τῆς δικαιοσύνης, καὶ σωφροσύνης[y], καὶ ἀνδρείας[z], καὶ φρονήσεως ἐναντίων· οὐχ ὥστε αὐτὰ[a] κωλύσαι τοῦ μὴ γενέσθαι, ἀλλ' ὥστε αὐτοῖς μὴ ὑποταγῆναι· λήθη δὲ καὶ ἄγνοια, τοῦ λογισμοῦ εἰσὶ πάθη· τῆς γὰρ κατὰ γνῶσιν ἐνεργείας ἀναιρουμένης, συνίσταται ταῦτα· ἐπαναλαμβάνεται δὲ πάλιν διὰ μνήμης καὶ ἀναμνήσεως.

Ἔστι δὲ μνήμη, ὡς μὲν Ἀριστοτέλης, φαντασία ἐγκαταλελημμένη ἀπό τινος αἰσθήσεως τῆς κατ' ἐνεργείας φαινομένης[b]. ὡς δὲ Πλάτων[c], σωτηρία αἰσθήσεώς τε καὶ νοήσεως· ἡ γὰρ ψυχὴ, τῶν μὲν αἰσθητῶν διὰ τῶν αἰσθητηρίων ἀντιλαμβάνεται, καὶ γίνεται δόξα· τῶν δὲ νοητῶν διὰ τοῦ νοῦ, καὶ γίνεται νόησις· ὅταν οὖν τοὺς τύπους, ὧν τε ἐδόξασεν, ὧν τε ἐνόησε διασώζει[d] καὶ τηρεῖ[e], μνημονεύειν λέγεται· ἀνάμνησις δέ ἐστι μνήμης ἐξιτήλου γενομένης ἀνάκτησις[f]. γίνεται δὲ ἐξίτηλος[g], ὑπὸ τῆς λήθης· λήθη δέ ἐστι μνήμης ἀποβολή· ἀλλ' ἡ μὲν διηνεκὴς, ἡ δὲ ἐπὶ ποσόν· ἧς ἐστιν ἡ ἀνάμνησις ἔργον.

Πάντων δὲ γένεσις τῶν προειρημένων παθῶν τῶν ἐκ τῆς ἡδονῆς καὶ τοῦ πόνου· καὶ μέντοι καὶ τῶν αὐτοῖς[h] ἐναντίων, τουτέστι τῶν ἀρετῶν ἐκ τοῦ τριμεροῦς τῆς ψυχῆς καὶ τῶν[i] ἐφ' ἡμῖν· περὶ γὰρ ταῦτα καὶ αἱ γενικαὶ ἀρεταὶ διανέμονται· ἐν τῷ λογιστικῷ γάρ ἐστιν ἡ φρόνησις· ἐν τῷ ἐπιθυμητικῷ, ἡ σωφροσύνη· ἐν τῷ θυμικῷ, ἡ ἀνδρεία[k]. ἡ δὲ δικαιοσύνη, ἐν τοῖς τρισὶ διανέμεται, τοῦ ἐφ' ἡμῖν ἐνεργοῦντος· εἰ μὴ γὰρ τὸν τοῦ δικαίου τόπον φυλάξαί τις προαιρήσεται[l]. οὐ σωφρονεῖν, οὐκ ἀνδρίζεσθαι, κατὰ τῶν παθῶν, οὐ καλῶς ἐπιθυμεῖν θελήσει· τὸ δὲ προαιρεῖσθαι ἢ θέλειν τοῦ[m] ἐφ' ἡμῖν ἐστιν· ἐφ' ἡμῖν γάρ ἐστι[n] τὸ δικαίους εἶναι ἢ ἀδίκους, σπουδαίους ἢ ἀμαθεῖς,

x αὐτοῦ C. y σωφρ. om. C. z ἀνδρίας B. a αὐτὸν C. b κατὰ μὲν Ἀριστοτέλην φαντασία κατ' ἐνέργειαν φαινομένη B.C. ἐγκαταλελειμένη C. c κατὰ δὲ Πλάτωνα B. ὡς δὲ Πλ. φησὶ C. d διασώζῃ B. e καὶ τηρεῖ om. BC. f μν. ἐπιλελησμένης ἀνάκτισις C. g ἐπιλελησμένη C. h ἐν αὐτοῖς A. i τοῦ B.C. k ἀνδρία B. l προαιρήσηται C. m τῶν C. n ἐφ' ἡμῖν δὲ ἄρχειν ἐστὶ B.

συνετοὺς ἢ ἄφρονας· τὸ γὰρ μελετᾶν ἢ ἐπιγυμνάζεσθαι[o] παρὰ πᾶσιν ὡμολόγηται ὅτι ἐφ' ἡμῖν· οὐχ ὡς ἕξεις, ἀλλ' ὡς κύριαι τῶν ἕξεων· αἱ γὰρ μελέται κύριαι τῶν ἕξεων· τὸ δὲ ἔθος, φύσις ἐπίκτητος· ἡ δὲ[p] κύρια τῆς ἕξεως ἐστὶν ἡ μελέτη[q]· ἐφ' ἡμῖν δὲ ἡ μελέτη, ἐφ' ἡμῖν[r] καὶ ἡ ἕξις· ὧν δὲ ἐφ' ἡμῖν αἱ ἕξεις, τούτων ἐφ' ἡμῖν καὶ αἱ πράξεις, αἱ κατὰ τὰς ἕξεις· ταῖς γὰρ ἕξεσι[s] αἱ πράξεις πρόσφοροι· ὁ ἄρα δικαίαν ἕξιν ἔχων[t] δίκαια πράξει· καὶ ὁ ἄδικον τὸ ἀνάπαλιν· τῶν γὰρ ἐπίσης ἐνδεχομένων, ἡμεῖς κύριοι τῷ[u] ἐνεργεῖν· ἐπίσης δέ ἐστιν ἐνδεχόμενον, ὃ αὐτό τε δυνάμεθα[v] ποιεῖν, καὶ τὸ ἀντικείμενον αὐτῷ[w]· ποιεῖται[x] δὲ τούτων[y] τὴν αἵρεσιν ὁ νοῦς ὁ ἡμέτερος· οὗτος γάρ ἐστιν ἀρχὴ πράξεων· καὶ ἡ βουλὴ[z] τῶν ἐφ' ἡμῖν ἐστιν ὥσπερ καὶ ἡ προαίρεσις· ὁρίζονται γὰρ τὴν προαίρεσιν ὄρεξιν βουλευτικὴν[a] τῶν ἐφ' ἡμῖν· καὶ ταῦτα μὲν περὶ τοῦ τριμεροῦς[b], ὅσον μαθεῖν ἐξ ὀλίγου πόθεν ἡ τούτων ὁρμή.

Αἱ δὲ φυσικαὶ[c] δυνάμεις καὶ ζωτικαὶ ἐκ τούτων τῶν τριῶν[d] ἐφορμῶνται· ἐν τῇ καρδίᾳ γάρ ἐστι τὸ ἔμφυτον θερμόν· ἐν τῷ ἥπατι δὲ[e] γεννᾶται τὸ αἷμα· καὶ ἐξ ἐγκεφάλου ἡ προαιρετικὴ κίνησις[f] ἐνεργεῖται· ὅθεν ἡ μὲν διαθάλπει[g] τὸ πᾶν τῇ θερμότητι· ἡ δὲ τὸ θερμαῖνον[h] τῇ ἰκμάδι ὑπονοτίζει· ὡς ἂν τῇ ἰσοκρατίᾳ τῆς τῶν ἐναντίων ποιότητος ἐπὶ τοῦ μέσου[i] συντήροιτο[k] τὸ ζῶον· μήτε τοῦ ὑγροῦ καταφρυγομένου[l] τῷ πλεονασμῷ τῆς θερμότητος, μήτε τοῦ θερμοῦ σβεννυμένου τῇ ἐπικρατήσει τοῦ καθυγραίνοντος· ἡ δὲ τρίτη δύναμις συνέχει δι' αὐτῆς[m] κατά τινα συμβολήν τε καὶ ἁρμονίαν τὰ διακεκριμένα[n] τῶν ἄρθρων, τοῖς παρ' ἑαυτῆς συνδέσμοις[o] ἁρμόζουσα· καὶ πᾶσιν[p] ἐπιπέμπουσα τὴν αὐτοκίνητον καὶ προαιρετικὴν δύναμιν· ἧς ἐπιλει-

[o] ἐπί τι γυμνάζεσθαι C. [p] εἰ δὲ B. [q] ἡ μελ. δὲ κυρία τῆς ἕξ. C. [r] ἐφ' ἡμῖν δὲ A. [s] ἕξεις A. [t] ἔχων ἕξιν B. [u] τοῦ C. [v] αὐτὸ ὁ δυν. C. [w] αὐτὸ B. [x] ποιεῖ B. [y] τούτου C. [z] βουλὴ δὲ B. [a] ὄρεξις βουλευτικὴ A. [b] τὸ τριμερὲς A.C. [c] καὶ φ. δὲ B. [d] καὶ ἐκ τ. τῶν αἰτίων B. [e] δὲ om. B. [f] δύναμις C. [g] θάλπει C. [h] τὸ θερμαινόμενον C. [i] ἐπὶ τ. cum hiatu C. [k] συντηροῖ B. [l] καταφλεγομένου B. [m] δι' ἑαυτῆς C. [n] διακεκρυμμένα A.C. [o] τ. παρ' ἑαυτοῖς δεσμοῖς C. [p] πᾶσαν C.

πούσης[q] *πάρετον γίνεται καὶ νεκρῶδες τὸ σῶμα, τοῦ προαιρετικοῦ πνεύματος ἀμοιρῆσαν· καὶ γὰρ ἀναισθήτων ὄντων φύσει τῶν ὀστῶν, αἰσθητικοῖς αὐτὰ νεύροις ἡ φύσις προσήρμοσέ τε καὶ ἥνωσε· μᾶλλον δὲ ὁ δεσπότης τῆς φύσεως καὶ δημιουργός· καὶ διὰ τῆς προσφυοῦς ἑνώσεώς τε καὶ ἁρμονίας τὰς συμβολὰς αὐτῶν ἐπισφίγξας*[r]*, διὰ τῶν συνδεσμῶν τὴν δεκτικὴν τῶν αἰσθήσεων αὐτοῖς περιεφύτευσε*[s] *σάρκα· ἄλλην τε δυσπαθεστέραν καὶ εὐτονωτέραν*[t] *δίχα*[u] *μυῶν, ἢ σὺν αὐτοῖς*[v]*, πρὸ τῆς ἐπιφανείας ἐνείλησεν*[w]*· εἶτα μετ' ἐκείνην τὸ δέρμα.*

Ταύτῃ τοίνυν τῇ στεῤῥᾷ τῶν ὀστέων φύσει, οἷον στύλοις τισὶν ἀχθοφόροις ὅλον[x] τοῦ σώματος ἐπιθεὶς[y] τὸ βάρος, οὐκ ἀδιαίρετον ἐνέφυσε τῷ παντὶ[z] τὸ ὀστέον· ἀκίνητος γὰρ ἂν καὶ ἀνέργητος[a] ἔμεινεν, εἰ οὕτω κατασκευῆς[b] ἄνθρωπος εἶχε, καθάπερ τι δένδρον ἐφ' ἑνὸς τόπου μένων[c]· μήτε τῆς τῶν σκελῶν διαδοχῆς ἐπὶ τὸ[d] πρόσω προαγούσης[e] τὴν κίνησιν· μήτε τῆς τῶν χειρῶν ὑπουργίας χρησίμης οὔσης[f] τῷ βίῳ, ἀλλ' εἰς μηρὸν, καὶ γόνυ, καὶ ἐπιγονατίδα[g], καὶ σκέλος, καὶ ἀστράγαλον, καὶ δακτύλους, τὸν πόδα καταμερίσας[h], καὶ διὰ τῶν ἐξ ὀστῶν συνδέσμων πάλιν τεχνικῶς συνδήσας καὶ ἐναρμόσας, μεταβατικὸν εἶναι καὶ πρακτικὸν τὸ ὄργανον τῆς ψυχῆς διὰ τῆς ἐπινοίας ταύτης ἐμηχανήσατο· τοῦτο καὶ ἐπὶ τῶν χειρῶν, καὶ αὐχένος[i], καὶ στέρνου, καὶ ῥάχεως, καὶ ἐπὶ πάντων τῶν τοῦ σώματος μορίων εἰργάσατο· τῷ προαιρετικῷ πνεύματι κατά τινα φύσεως οἰκονομίαν ἐν τοῖς καθ' ἕκαστον τῶν ἁρμονιῶν ἐνεργουμένην[k].

Καὶ θέα μοι[l] τέχνην ἐντέχνου[m] δημιουργοῦ· τὰ[n] μὲν γὰρ τῶν ὀστῶν ἐκοίλανε· τὰ[o] δὲ οὔ· καὶ τὰ μὲν μεγάλα, τὰ δὲ σμικρὰ ἐποίησε[p]· καὶ τοῖς μὲν μυελὸν ἐνέκλεισε· τοῖς δὲ σκλη-

[q] ἐπιλιπούσης C. [r] ἐπισφίξας B. [s] περιέφυσε C. [t] εὐτονοτέραν B. [u] διὰ A.C. [v] ἢ καὶ B. ἣν σὺν αὐτ. C. [w] ἐνείληφεν C. [x] ὅλον om. B. [y] ἐπιθεῖσα B. [z] τοῦ παντὸς C. [a] ἀνενέργητος B. [b] κατασκευασθεὶς mox ὁ ἄνθρ. εἶχεν B. [c] μένον B. [d] τὰ B. [e] ἀγούσης C. [f] χρησιμευούσης B.C. [g] ἐπιγονοτίδα B. [h] καταμ. τ. ποδ. C. [i] καὶ αὐτοῦ τοῦ αὐχ. C. [k] ἐνεργουμένης C. [l] θέμενοι B. [m] ἐντέχνως B. [n] τοῖς B. [o] τοῖς B. [p] πεποίηκε C.

ράν τε καὶ στερεὰν φύσιν ἔθηκε· τοῖς δὲ χαύνην καὶ ἀσθενῆ· καὶ τὰ μὲν ἐπιφύσεις[q] κατὰ τὸ πέρας ἔχουσι, τὰ δὲ[r] αὐχένας· καὶ τὰ μὲν ἥνωται, τὰ δὲ σύγκειται· τὰ δὲ συνήρθρωται, τὰ δὲ διήρθρωται[s]· τὰ δὲ συνήρμοσται, τὰ δὲ συντέθειται· καὶ τὰ μὲν κατὰ ῥαφὴν, τὰ δὲ κατὰ ἁρμονίαν, τὰ δὲ κατὰ γόμφωσιν, τὰ δὲ κατὰ γυγγλυσμόν[t]· καὶ τὰ μὲν κατὰ συγχόνδρωσιν, τὰ δὲ κατὰ συνεύρωσιν, τὰ δὲ κατὰ συσάρκωσιν[u].

Ἡ μὲν οὖν ὅλη σύνταξις τῶν ὀστῶν, ὀνομάζεται σκελετός· σκελετὸς δὲ λέγεται[v] ὁ ἀπεξηραμένος[w] τόπος· καθὼς *Ὅμηρος[x],

ῥύπῳ δέ οἱ αὐαλέος[y] χρὼς
ἐσκλήκει.

Τί δὲ τούτων ἕκαστον ἐστὶ τῶν συνθέσεων[z] ἢ διαρθρώσεων, ἢ[a] ὀνομάτων, παρὰ τῶν ἰατρῶν μάθοις· πλὴν ἵνα μὴ ἀσαφῆ σοι καταλειφθῇ τὰ πολλὰ, ἴσθι ὅτι ἡ μὲν ἐγγόμφωσις[b] συνάρθρωσίς τις[c] κατὰ σύμπηξιν, καὶ[d] ἐπὶ τῶν ὀδόντων· ἡ δὲ ῥαφὴ[e] σύνθεσις ὡς ἐπὶ τῶν τῆς κεφαλῆς ὀστῶν· ὁ δὲ γυγγλυσμὸς[f], σύνθεσις ὡς ἐπὶ τῶν τῆς ῥάχεως σπονδύλων, καὶ τῆς τοῦ πήχεως[g] πρὸς τὸν βραχίονα διαρθρώσεως· καὶ τὸ μὲν ἄρθρον, σύνταξις ἐστὶ φυσική· ἡ δὲ σύμφυσις, ἕνωσις ὀστῶν φυσικῶν[h]· καὶ ἡ μὲν ἐπίφυσις, ἕνωσις ἐστὶν ἑτέρου ὀστοῦ κατὰ ἕτερον· ἡ δὲ ἀπόφυσις, τοῦ σύμπαντος ὀστοῦ μέρος ὑπάρχει.

Ἔστι δὲ ὀστοῦν σῶμα γεωδέστερον καὶ ἀντίτυπον, ἀναίσθητόν τε καὶ σκληρόν· καὶ οἷον ἐπιστήριγμα τῶν λοιπῶν μελῶν τοῦ σώματος[i]· κινεῖται δὲ ταῦτα ὑπὸ μυῶν καὶ νεύρων· ἐξ ἐγκεφάλου ταύτην τὴν κινητικὴν δύναμιν καὶ ταῦτα δεχόμενα: ῥίζα γὰρ καὶ ἀρχὴ τῆς τούτων κινήσεως ὁ τὸν ἐγκέφαλον περιέχων ἐστὶν ὑμήν[k]· εἴρηται δὲ ὑμὴν παρὰ τὸ ὡς ὕφασμα εἶναι λεπτόν· οὗτινος διακειμένου καλῶς[l], πᾶσα ἡ τοῦ σώματος

* Apoll. Argon. II. 200.

[q] καὶ ταῖς μὲν αἱ φύσεις B. [r] ταῖς δὲ B. [s] τὰ δὲ διήρθ. om. A.C. [t] γυγλυσμὸν C. [u] συνάρμωσιν B. [v] ὅπερ λέγεται B. [w] ἀποξηραμένος B. ὁ ἐξηράμενος C. [x] καθ. καὶ Ὅμ. B. [y] αἰολέως A. αὐλέως B. [z] συνθέτων C. [a] ἢ om. B. [b] γόμφωσις B.C. [c] συνάρθρ. ἐστι B. [d] ὡς B.C. [e] γραφὴ A. [f] γυγλυσμὸς C. [g] πήχεος B. [h] φυσικὴ B.C. [i] σώμ. ὅλου B. [k] νευρώδης ἐστὶν ὑμήν B.C. [l] οὗ καλ. διακ. C.

κίνησις ἀνεμποδίστως ἐπιτελεῖται, καὶ[m] κατὰ λόγον. καὶ γὰρ εἰ καὶ σκυταλὶς[n] δακτύλου[o] ἐν ποδὶ κινοῖτο[p], παρὰ[q] τούτου κεκίνηται· εἰ δὲ τρῶσιν[r] ἢ ῥῆξιν πάθοι[s] ἐκ νοσήματος τινὸς τυχὸν[t] ἢ καὶ πλήξεως, εὐθὺς ἐπηκολούθησε τῷ πάθει ὁ θάνατος· οὐδὲ πρὸς βραχὺ τῆς φύσεως ἀντισχούσης· ἀλλ᾿ ὥσπερ θεμελίου τινὸς ὑποσπασθέντος, ὅλον τὸ οἰκοδόμημα συγκατεσπάσθη τῷ μέρει, οὕτως τῶν περὶ τῶν[u] κρανίων μηνίγγων τρωθέντων, ἐν οἷς ὁ εἰρημένος ὑμὴν ὑφήπλωται[v], ἡ ψυχὴ τοῦ σώματος ἀπανίσταται.

Ταύταις οὖν ταῖς τρισὶ δυνάμεσιν ἔξωθεν ἐπεισάγεται τὸ κατάλληλον τῆς δυνάμεως. διὰ μὲν γὰρ τῆς τροφῆς, αἱ τοῦ αἵματος πηγαὶ ἐξ ἥπατος βρύουσι· τὸ δὲ ἐγκάρδιον πνεῦμα διὰ τοῦ γείτονος ἐπεισάγεται σπλάγχνου· ὃ[w] καλεῖται μὲν πνεύμων, ἔστι δὲ τοῦ[x] ἀέρος δοχεῖον διὰ τῆς ἐγκειμένης αὐτῷ ἀρτηρίας, τῆς ἐπὶ τὸ στόμα ἀγούσης, τὸ ἔξωθεν πνεῦμα τὸ ἐν ταῖς ἀναπνοαῖς ἐφελκόμενον· κατὰ τὸ μέσον δὲ αὐτῶν[y] ἡ καρδία ἐνειλημμένη, κατὰ μίμησιν τῆς τοῦ ἀεικινήτου πυρὸς ἐνεργείας ἀδιαλείπτως καὶ αὐτὴ κινουμένη, ἕλκει πρὸς ἑαυτὴν ἐκ τοῦ παρακειμένου τῷ πνεύμονι[z] πνεῦμα πληροῦσθαι[a] τῇ διαστολῇ τὰς κοιλότητας· καὶ τὸ πυρῶδες αὐτῆς[b] ἐκριπίζουσα, ταῖς ἐχομέναις ἀρτηρίαις ἐμπνεῖ, καὶ τοῦτο ποιοῦσα οὐ διαλείπει· τὸ μὲν ἔξωθεν διὰ τῆς διαστολῆς εἰς τὰς ἰδίας κοιλότητας ἕλκουσα, τὸ δὲ παρ᾿ ἑαυτῆς[c] διὰ τῆς συστολῆς ταῖς ἀρτηρίαις ἐκκρίνουσα[d]· ὅ μοι δοκεῖ καὶ τῆς αὐτομάτου αὐτῆς[e] ἀναπνοῆς αἴτιον ἡμῖν γίνεσθαι· πολλάκις γὰρ ὁ μὲν νοῦς ἄσχολός ἐστι[f] πρὸς ἑτέρους[g], ἢ καὶ παντάπασιν ἠρεμεῖ[h], λυθέντος ἐν τῷ ὕπνῳ τοῦ[i] σώματος· ἡ δὲ ἀναπνοὴ τοῦ ἀέρος οὐ διαλείπει μηδ᾿ ὁτιοῦν[k], συνεργούσης εἰς τοῦτο τῆς προαιρέσεως· ἀραιὸς[l] τίς ὢν ὁ πνεύ-

[m] καὶ om. B. [n] μέρος τι ὀλίγον B. post hæc deest unum aut alterum fol. in Cod. B. [o] δάκτυλος C. [p] κινεῖτο A. [q] περὶ C. [r] τινὰ τρῶσιν C. [s] ὁ περὶ αὐτὸν ὑμὴν πάθοι C. [t] τυχὸν om. C. [u] τῶν om. C. [v] ἐφήπλωται C. [w] ὃ om. C. [x] τοῦ om. C. [y] Sic C. αὐτὸν A. [z] παρακ. πνεύμονος C. [a] πληροῦσα C. [b] ἑαυτῆς C. [c] παρ᾿ ἑαυτοῖς C. [d] εἰσκρίνουσα C. [e] ταύτης C. [f] ἀσχολεῖται C. [g] ἕτερα C. [h] ἠρεμμεῖ A. [i] τῷ A. [k] οὔτιοῦν A. [l] ἀρεὸς C.

μων καὶ πολύπορος[m], καὶ πάσας τὰς ἐν αὐτῷ κοιλότητας πρὸς τὸν πυθμένα τῆς τραχείας ἀρτηρίας ἀνισταμένας[n] ἔχει· περιείληπται δὲ ἡ καρδία αὐτῷ[o], καὶ προσπέφυκε κατὰ ὀπίσθιον[p] μέρος αὐτῆς· συστελλόμενος[q] δὲ καὶ συμπίπτων, τὸ ἐναποκρατηθὲν αὐτοῦ[r] ταῖς κοιλότησι πνεῦμα ἐκπιέζων[s] προΐεται· ὑποχωρῶν δὲ καὶ ἀνοιγόμενος, ἐπισπᾶται διὰ τῆς ὁλκῆς τὸν ἀέρα· καὶ αὕτη ἐστὶν ὡς εἴρηται τῆς ἀπροαιρέτου ἀναπνοῆς ἡ αἰτία· διὸ καὶ παρὰ φύσιν ἐπιταθέντος ποτὲ[t] τοῦ τῆς καρδίας πυρώδους[u], ἐκ φλεγμονῆς τυχὸν, ἢ τινὸς πόνου, τὸ ἄσθμα τῶν ἀλγούντων συνεχέστερον γίνεται, καὶ τοῦ κατὰ φύσιν μικρότερον καὶ πυκνότερον[v]· καὶ μικρότερον μὲν, ἵνα μὴ σφοδρότερον πλήττῃ τί καὶ ὀδυνᾶται· πυκνότερον δὲ, ἵνα τὸ λεῖψαν κατὰ μέγεθος ἡ πυκνότης ἀναπληρώσῃ· ὥσπερ ἐπειγομένης τῆς καρδίας τὸν ἐμπέσοντα ταυτὴ φλογμὸν τῷ νεαρωτέρῳ καὶ ψυχροτέρῳ[w] πνεύματι κατασβέσαι.

Τινὲς δὲ φυσικὴν μόνον ἐνόμισαν τὴν ἀναπνοὴν εἶναι· οὐκ ἔστι δέ· ἀλλὰ καὶ ψυχικὴ καὶ φυσική· συνεπλάκη γὰρ τῷ ψυχικῷ τὸ φυσικόν· ἡ μὲν γὰρ κινοῦσα τὰ ὄργανα δύναμις, ψυχική· ἡ δὲ ἀρτηρία, δι' ἧς ἡ ἐνέργεια τελεῖται, ὄργανόν ἐστι φυσικὸν, καὶ[x] ἀεὶ κινούμενον· πάντα δὲ τὰ ὀργανικὰ λεγόμενα μόρια, καὶ ὅσα διὰ νεύρων καὶ μυῶν κινεῖται, ψυχικά τέ ἐστι καὶ κατὰ προαίρεσιν ἀποτελεῖται· πλὴν τῆς ἀναπνοῆς· αὕτη γὰρ μικτή τέ ἐστιν, ὡς ἐδείξαμεν, καὶ ἀπροαιρέτως ἀποτελεῖται[y]· ἀπροαιρέτως δὲ καὶ ἡ αὐξητικὴ καὶ ἡ θρεπτικὴ τοῦ σώματος δύναμις[z], φυσικαὶ οὖσαι· ἀλλὰ[a] καὶ ἡ σφυγμικὴ, ζωτικὴ οὖσα· ἡ δὲ καθ' ὁρμὴν κίνησις καὶ ἡ αἴσθησις, ψυχικαί.

Πόσα[b] δὲ ὄργανα τῆς ἀναπνοῆς, καὶ πόσα αἴτια[c], καὶ πόσαι ταύτης διαφοραὶ, οὐ νῦν ἐστὶ λέγειν· πλὴν ἀλλ' ἡ καρδία κατόπιν τὸν πνεύμονα ἔχουσα, οὕτως ἀεὶ κινεῖσθαι παρασκευά-

[m] πολύπειρος C. [n] ἀνεστομωμένας C. [o] αὐτῷ om. C. [p] κεφαλὴ τὸ ὀπ. C. [q] συστελλομένη C. [r] αὐτῷ C. [s] ἐκπιέζον (ων superscr.) A. [t] ποτὸν C. [u] πυρώδης C. [v] πυκνοτ. κ. μικροτ. A. [w] τὸ νεαρώτερον κ. ψυχρότερον A. [x] καὶ om. C. [y] verba πλὴν τ. ἀναπν. usque ad ἀποτελεῖται om. C. [z] δύσις C. [a] ἀλλὰ om. C. [b] καὶ πόσα C. [c] πόσαι αἰτίαι C.

ζει, ὡς μικρῷ πρόσθεν εἴρηται· ἔμπροσθεν δὲ αὐτῆς[d] τῷ χωρίσματι[e] τῆς ἄνω γαστρὸς ἐμφυεῖσα[f], ἔνθερμον αὐτὴν, καὶ πρὸς τὰς ἰδίας ἐνεργείας κινουμένην ποιεῖ· οὐκ εἰς πνεύματος ὁλκὴν τὴν γαστέρα ὡς τὸν πνεύμονα διεγείρουσα, ἀλλ' εἰς ὑποδοχὴν τῆς καταλλήλου τροφῆς.

Μέση γὰρ ἡ καρδία τοῦ πνεύμονος καὶ τῆς γαστρὸς ἐγκειμένη, τῷ μὲν πρὸς τὴν ἀναπνοὴν, τῇ[g] δὲ πρὸς τὴν τροφὴν τὰς δυνάμεις[h] ἐντίθησι· τῶν δὲ ἀμφοτέρων οἱ πόροι, ἐξίσης[i] κατὰ τὸ στόμα[k] συναπαρτίζονται· καλοῦμεν δὲ τὸν μὲν τοῦ πνεύματος[l] πόρον, τραχεῖαν ἀρτηρίαν· τὸν δὲ τῆς γαστρὸς, οἰσοφάγον[m]. ἐπειδὴ ἡ γαστὴρ ὄργανόν ἐστι πέψεως· ἐν αὐτῇ γὰρ χυλοποιεῖται τὰ ἐσθιόμενα· μᾶλλον δὲ διὰ παραδείγματος τὸ ἐν αὐτῇ γινόμενον εἴπωμεν· ὅτι ὥσπερ τὸν σῖτον λαμβάνοντες ἐν ταῖς μύλαις καταλεαίνομεν, ποιοῦντες ἄλευρον· εἶτα μιγνύντες ὕδατι[n] φυροῦμεν, καὶ παραπέμπομεν[o] τῇ καμίνῳ εἰς ὄπτησιν· μετὰ δὲ τὴν ὄπτησιν χρώμεθα καὶ ἡμεῖς, καὶ ἑτέρῳ[oo] μεταδίδομεν[p]· οὕτως καὶ ἐν τῷ ἡμετέρῳ σώματι ἔστιν ἰδεῖν· τὴν γὰρ τροφὴν μασσόμεθα[q] καὶ καταλεαίνομεν διὰ τῶν ὀδόντων· εἶτα πόματι μίξαντες, παραπέμπομεν[r] τῇ γαστρί.

Ἐπειδὴ[s] δέεται αὕτη[t] θερμασίας πλείονος εἰς τὸ ταῦτα ἑψῆσαι, ὥσπερ τὸν ἄρτον ὁ κλίβανος, ἔχει τὴν μὲν καρδίαν ὑπερκειμένην αὐτῇ καθ' ὃν εἴρηται τρόπον· ὥστε ἄφθονον αὐτῇ τὴν θερμασίαν παρέχεσθαι· ἔχει δὲ καὶ τὸ ἧπαρ διάθερμον, ὡς αἵματος πηγὰς ἀναβρύον· ἔχει δὲ καὶ τὸν σπλῆνα, οὐχ ὡς θερμόν· ψυχρὸν γὰρ τοῦτο φύσει τὸ σπλάγχνον· ἀλλὰ διὰ τῶν ἐν αὐτῷ φλεβῶν τε καὶ ἀρτηριῶν, οὐδὲν ἧττον τῶν ἄλλων καὶ ἐξ ἐκείνου παραπολαύει θερμότητος· ἀλλὰ καὶ τὸ ἔπιπλον ἔχει, ὅπερ ἐστὶ πιμελώδης χιτὼν πανταχόθεν αὐτῇ περικείμενος, χάριν τοῦ μὴ διαπνεῖσθαι καὶ σκεδάννυσθαι τὸ ἔμφυτον θερμόν[u],

[d] αὐτῶν C. [e] χωρήματι C. [f] προσφυεῖσα C. [g] τῷ C. [h] δύσεις C. [i] ἐπίσης C. [k] σῶμα C. [l] πνεύμονος A. [m] ἰσοφάγον A. ὑσωφάγον B. [n] ὕδασι B. [o] παραδίδομεν B. [oo] ἑτέροις B.C. [p] μεταδιδόαμεν C. [q] μασώμεθα A.C. [r] πέμπομεν B. [s] ἐπεὶ δὲ B. [t] αὐτὴ B. [u] τὸ ἐμφ. θ. καὶ σκεδ. B.

τὸ κατεργαζόμενον ἐν αὐτῇ τὰς τροφάς· τούτου χάριν καὶ τὸ λεγόμενον περιτόναιον, αὐτῇ τε καὶ[v] τοῖς ἐντέροις περιτέταται, περισφίγγον αὐτὴν καὶ διαθερμαῖνον· ὅσῳ[w] γὰρ διάπυρος ἡ γαστὴρ διὰ τῆς γείτονος γίνεται θερμασίας, τοσούτῳ[x] μᾶλλον ἐφέλκεται τὰ τὸ θερμὸν τρέφοντα.

Ἄμφω δὲ ἡ γαστὴρ καὶ τὸ ἧπαρ κοινοεργοῦσι[y]· τὴν γοῦν ὕλην ἡ μὲν χυλοποιεῖται[z], τὸ δὲ ἐξαιματοῖ[a]· καὶ οὕτως διὰ τῶν φλεβῶν ἐπὶ τὸ ὅλον ἀποπέμπει σῶμα· καὶ καθάπερ ἐν χωνευτηρίῳ σύντηξιν τῆς ἐπεισελθούσης ὕλης ἡ ἀλλοιωτικὴ δύναμις διὰ τῆς αὐτῆς ἐνεργείας ποιήσασα, καὶ διαλύσασα τὰ συνεστῶτα πάντα, κἂν διαφόρων φύσεων ὄντα τύχῃ εἰς τὴν γαστέρα φερόμενα, εἰς μίαν ἰδέαν τρέπει τὴν τοῦ χυλοῦ. λευκὸς δὲ ὅλος αὐτὸς[b] ἐστὶ, διὰ τὸ τὴν γαστέρα λευκὴν εἶναι νευρώδη οὖσαν φύσει.

Χυλὸς δέ ἐστιν ὁ τοιοῦτος, καὶ οὐ χυμός· ὅτι δὲ διαφέρει χυλὸς χυμοῦ οὐκ ἄδηλον[c]· τὸ γὰρ ἐν πέψει καὶ ἑψήσει γεγονὸς λέγεται χυμός· τὸ δὲ ἄπεπτον καὶ ἀνέψητον[d] χυλός.

Τοῦτον οὖν τὸν χυλὸν διὰ τῶν μεσαρέων καὶ παρακειμένων φλεβῶν ἡ θρεπτικὴ δύναμις[e] ἀνελοῦσα[f], καὶ δι' αὐτῶν ἀναμαξαμένη[g], καθάπερ ἐκ χώνης τινὸς πρὸς τοὺς ἑξῆς πόρους μετοχετεύει· καὶ τὸ παχυμερέστερον τοῦ εἰλικρινοῦς διακρίνασα, τὸ μὲν λεπτὸν ἤδη καὶ καθαρώτερον[h] ἐπὶ τὰς τοῦ ἥπατος ἄγει πύλας, ἤτοι παραπέμπει τῷ ἥπατι διὰ τῆς[i] ἀορτῆς τῆς καλουμένης ἀρτηρίας· ἥτις ἐστι πρώτη τῶν ἀρτηριῶν ἀπὸ καρδίας βλάστησις.

Παρὰ τὴν εἴσοδον οὖν τῶν ἤδη δοθέντων ὑγρῶν τῷ ἥπατι συνεστομωμένη[k] ἡ καρδία διὰ[l] τὴν ὑγρασίαν, διὰ τῆς θερμότητος αὐτῆς ἀναζέσασα[m], πλείονα θερμασίαν τῷ χυλῷ καὶ ἑψη-

[v] αὐτῇ δὲ καὶ B. καὶ om. A. mox ἑτέροις. [w] ὅσον B.C. [x] τοσοῦτο B. τοσοῦτον C. [y] κοινοεργοῦσιν ἡ γ. καὶ τὸ ἧπ. B. [z] χυλοποιεῖ B.C. [a] ἐξηματοῖ A. [b] οὗτος B. [c] οὐκ ἄδηλον om. B.C. [d] ἀνεψ. κ. ἄπεπτον B. [e] δύσις C. [f] ἀναχέασα B.C. [g] ἀνιμαξαμένη B. [h] καθαρότερον B. [i] καὶ διὰ τ. B. [k] Sic B. et C. συναισθομένου A. [l] ἡ καρδία διὰ om. B.C. [m] ἀναζέασα (ου) C.

σιν δίδωσιν ἐκ τῆς ἐνούσης αὐτῇ τοῦ ἐμφύτου πυρὸς συγγενείας· εἶτα αὐτὸ τὸ ἧπαρ διὰ τῶν ἐν αὐτῷ φλεβῶν ὅλον τὸν εἰλικρινέστερον χυλὸν[n] διαθερμανθέντα ἐκ τῆς ἀορτῆς ἀνιμάμενον, καὶ τῇ πυροειδεῖ[o] αὐτοῦ[p] χροιᾷ[q] καταχρῶσαν[r], ἐρυθρὸν ἀποδεικνύει τὸν πρὶν λευκὸν καὶ ἀνέψητον, καὶ γίνεται[s] αἷμα παρὰ τὸ ἔναμμα[t] εἶναι καὶ δεσμὸν τῷ σώματι· καὶ οὕτως ἐπὶ τὸ πᾶν σῶμα διὰ τῶν φλεβῶν ἐπιπέμπει εἰς οἰκείαν τροφὴν κατακρατοῦν τὸ ἀρκοῦν· αὕτη[u] ἐστὶν ἡ τοῦ αἵματος γένεσις.

αἷμα γὰρ ἀνθρώποισι περικάρδιόν ἐστιν ἄημα[v].

Τοῦ αἵματος οὖν κατασκευασθέντος καθ' ὃν εἴρηται τρόπον, διηθεῖται αὖθις καὶ διακρίνεται· καὶ ὅσον μὲν κοῦφον καὶ ἀνωφερές, ὅπερ καὶ ξανθοχολικὸν[w] περίττωμα πέφυκεν εἶναι, λαμβάνει αὐτὸ ἡ χοληδόχος κύστις πλησίον κειμένη τοῦ ἥπατος· τὸ δὲ γεῶδες καὶ οἷον τρὺξ[x] τοῦ αἵματος, ἕλκει ὁ σπλὴν διὰ τοῦ αὐτοῦ πόρου οἰκείαν τροφὴν τοῦτο ποιούμενος· κατάλληλον γὰρ τὴν τροφὴν ἕκαστον ἐπιδέχεται τῶν μορίων· εἶτα[y] κατὰ βραχὺ[z] πέττον καὶ ἀλλοιοῦν καὶ ἐξομοιοῦν, προστίθησι τῇ αὐτοῦ[a] οὐσίᾳ· καὶ οὕτω τρέφονται, τὰ μὲν ἐκ σπέρματος, τὰ δὲ ἐξ αἵματος· ἐπεὶ οὖν[b] ἐκ τρυγώδους αἵματος ὁ σπλὴν τρέφεται, ἕλκει τὸ τρυγῶδες αἷμα ἀπὸ τοῦ ἥπατος· καταλείπεται[c] οὖν τὸ ὀῤῥῶδες[d] τοῦ αἵματος, καὶ διὰ τῆς ἑλκτικῆς δυνάμεως αὐτῶν, οἱ νεφροὶ τοῦτο λαμβάνοντες, τὴν ἐνοῦσαν ἐν αὐτῷ μικρὰν ἰκμάδα τοῦ αἵματος εἰς τροφὴν ἀνιμάμενοι, τὸ ὑδατῶδες διόλου περίττωμα εἰδοποιοῦσιν εἰς οὔρων σύστασιν[e].

Τί δέ ἐστιν οὖρον, καὶ πόσαι τούτου διαφοραί, καὶ τίς[f] ἡ τῶν οὐρημάτων ἐναλλαγή, καὶ ποῖον τῶν νοσούντων ἢ ὑγιαινόντων, ἄλλης ἐστὶ πραγματείας· πλὴν οὕτως μὲν ἐν τοῖς νεφροῖς

[n] καὶ B.C. [o] πυροειδῆ A. [p] αὐτὸν C. [q] χρόα B. [r] καταχροΐσασαν B. [s] λέγεται B. [t] ἅμα A. ἄναμμα B. [u] αὕτη δὲ C. hæc verba post citationem habet B. [v] Sic A. ἄναμμα B. νόημα C. quocum facit Latina versio "intellectus" (p. 34, 15). Cf. Sturz. ad Empedocl. p. 633. [w] ξανθολικὸν B. ξανθὴ χολὴ C. [x] τρὺξ ὂν B. τρυγῶδες τοῦ αἵμ. C. [y] ἦν C. [z] κατὰ βραχὺ A.C. [a] αὐτῶν B. [b] γοῦν B. [c] καταλιμπάνεται C. [d] ὀρῶδες B. [e] στάσιν A. [f] τίς ἐστιν ἡ τῶν χρωμάτων his usque ad πραγματείας caret C.

τὸ οὖρον ἡ διακριτικὴ δύναμις εἰδοποιοῦσα, διὰ τῆς ἀποκριτικῆς ἀπωθεῖται δυνάμεως.

Τὴν δέ γε παντελῶς ἰλυώδη[g] καὶ σκυβαλώδη τῆς τροφῆς ὑποστάθμην[h] εἰς τοὺς εὐρυχωροτέρους[i] τῶν ἐντέρων πόρους ἡ φύσις ἀπώσατο· καὶ τοῖς πολυτρόποις αὐτῶν ἑλιγμοῖς ἀναστρέφουσα, χρόνῳ παρακατέχει τὴν τροφὴν ἐν αὐτοῖς· διατί; ἵνα μὴ δι' εὐθέως τοῦ πόρου ῥαδίως ἀποβαλλομένη ἡ κόπρος, εὐθὺς ἀνακινοῖτο τὸ ζῶον πρὸς ὄρεξιν, καὶ μηδέποτε παύοιτο τῆς τοιαύτης ἀσχολίας κατὰ τὴν τῶν[k] ἀλόγων φύσιν ὁ ἄνθρωπος· περίττωμα δὲ τῆς μὲν τροφῆς[l] τὰ σκύβαλα[m], οἱονεὶ κυσίβαλον τὸ τοῖς κυσὶ βαλλόμενον[n]· τὸ δὲ οὖρον[o] τοῦ πότου τὸ περιττόν· ἢ τῆς συμπάσης τροφῆς ὄρος· περίττωμα δὲ λέγεται τὸ περισσεῦον ἀπὸ τῶν τρεφόντων τὸ σῶμα, καὶ εἰς οὐδὲν ἡμῖν ὠφέλιμον ὄν.

Καὶ ὅρα πάλιν ἐνταῦθα προμήθειαν τοῦ δημιουργοῦ· πῶς τὰ τῆς φύσεως ἔργα, τοῖς ψυχικοῖς συνέπλεξέ τε καὶ ἥρμοσεν[p]· ἐπειδὴ γὰρ ἡ ἔκκρισις τῶν εἰρημένων περιττωμάτων τῆς ἀποκριτικῆς ἐστὶ δυνάμεως, ἥτις μία τῶν φυσικῶν ἐστὶ δυνάμεων, ἵνα μὴ ἀπροαιρέτως ἀσχημονῶμεν ἔνθα οὐ δεῖ, καὶ ὅτε οὐ δεῖ, καὶ ἐφ' ὧν οὐ δεῖ προϊέμενοι, πυλωροὺς τινὰς ἐπέστησε ταῖς ἐκκρίσεσι τοὺς μῦας, ἵνα τὰς ἐκκρίσεις ἐπέσχειν δυνώμεθα[q], καὶ πολλάκις καὶ ἐπιπολὺ, ἄνευ γήρως ἐσχάτου καὶ νοσημάτων τινῶν.

Ἐπὰν δὲ οὕτω ταῦτα γένηται, ἤγουν ἡ τοῦ αἵματος γένεσις καὶ διασπορὰ ἐφ' ἅπαν τὸ σῶμα, καὶ ἡ τῶν λοιπῶν τῶν εἰρημένων διοίκησις, δίδυμοι τινὲς ὀχετοὶ ἐκ καρδίας ἀφορμηθέντες καὶ ἥπατος, ἥτε στελέχεια[r] φλὲψ καὶ ἡ ἀορτὴ ἀρτηρία, τὸ οἰκεῖον ἑκάστη σωληνοειδῶς περιέχουσαι[s], αἷμα τε καὶ πνεῦμα διὰ τὸ εὐπόρευτον εἶναι τὸ ὑγρὸν τῇ τοῦ θερμοῦ κινήσει συμ-

[g] ὑλώδη A. [h] ὑπὸ στάθμων A. [i] εὐρυχορωτέρους B. εὐρυχόρους τόπους τῷ ἐντέρῳ C. [k] τῶν om. B. [l] μὲν τῆς τροφῆς B. [m] τὸ σκύβαλον B. [n] τὰ κυσὶ βαλλόμενα δηλόνοτι C. [o] τὸ δὲ οὖρον om. B. [p] ἔμιξεν B.C. [q] δυνάμεθα A. δυναίμεθα C. [r] στελεχία B. ἥτις στελεχιαία B. [s] περιέχουσα B.C.

παροδεῦον καὶ κουφιζόμενον ἐφ' ἅπαν τὸ σῶμα πολυσχιδῶς κατασπείρονται, εἰς μυρίας ἀρχὰς καὶ διαχύσεις[t], κατὰ πᾶν μέρος τοῦ σώματος ἔσωθεν καὶ ἔξωθεν κληματηδὸν[u] φλέβας καὶ ἀρτηρίας ἐπαφιεῖσαι.

Καὶ γὰρ παχέος[v] ὄντος φύσει τοῦ αἵματος, καὶ μὴ δυναμένου μόνου[w] τὰς στενὰς ὁδοὺς τοῦ σώματος ἀκωλύτως διαπερᾶν, ὅτι εἰσὶ τριχοειδῆ φλεβία λεπτὰ[x] κατὰ τὰ μόρια[y] κείμενα, ἐδεήθη συμπαρεῖναι αὐτῷ τὸ ὑδατῶδες περίττωμα, ἵνα τῇ λεπτότητι τοῦ ὑδατώδους περιττώματος εὐκόλως διοδεύηται τὸ αἷμα, πρός τε τὰ λεπτὰ τῶν ἀγγείων[z] καὶ πρὸς ἅπαν τὸ σῶμα διὰ τῶν τριχοειδῶν φλεβίων[a], ὡς εἴρηται· μιχθεῖσαι δὲ πρὸς ἀλλήλας τῶν ζωτικῶν δυνάμεων αἱ δύο ἀρχαί· ἥτε τὸ θερμὸν ἀπὸ καρδίας πανταχῇ ἐπὶ[b] τὸ σῶμα ἐκπέμπουσα, καὶ ἡ τὸ ὑγρὸν χορηγοῦσα ἐξ ἥπατος τῇ ἀρχικωτέρᾳ τῆς ζωτικῆς δυνάμεως οἰκονομίᾳ, δωροφοροῦσι[c]. τοῦ τε γὰρ θερμοῦ τὸ καθαρώτερον, καὶ τοῦ ὑγροῦ τὸ λεπτότερον, παρ' ἑκατέρας δυνάμεως διά τινος μίξεως καὶ ἀνακράσεως ἑνωθέντα, τρέφει καὶ συνίστησι τὸν ἐγκέφαλον διὰ τῶν ἀτμῶν· ἀφ' οὗ πάλιν ἐκλεπτυνομένη ἀνάδοσις ἀπ' ἐκείνου[d] ὑπαλείφει τὸν περιεκτικὸν τοῦ ἐγκεφάλου ὑμένα, τὸν δεχόμενον τὴν ψυχικὴν ἐνέργειαν· ὃν καὶ δικτυῶδες[e] πλέγμα καλοῦσιν οἱ ἰατροί.

Ἡ γὰρ ψυχὴ αὐτὴ μὲν καθ' ἑαυτὴν θεία τίς ἐστι καὶ ἀσώματος· λάμπει[f] δὲ εἰς τὸ σῶμα τοῦτο οὐκ ἀμέσως, ἀλλὰ κεχρημένη ὀργάνῳ τινὶ τῷ καλουμένῳ πνεύματι ψυχικῷ· τοῦτο δὲ ἐκπέμπεται μὲν ἐκ καρδίας διὰ τῆς ἀορτῆς ἀρτηρίας, καὶ φερόμενον[g] παρὰ τὸ εἰρημένον δικτυῶδες[h] πλέγμα, ἐκεῖσε πέττεται καὶ λεπτύνεται, καὶ αἰθέριόν τε[i] καὶ αὐγοειδὲς γίνεται· ὡς ἐπιτήδειον εἶναι δέξασθαι ψυχῆς ἔλλαμψιν[k].

Εἰ τοίνυν τοῦτο παχύτερον αὐτοῦ εἴη καὶ τεθολωμένον, ἡ μὲν

[t] διαφύσεις B. [u] κλημακηδὸν B. κληματοειδῶς C. [v] παχέου B. [w] μόνον A. [x] μικρὰ B. [y] μήρια A. [z] ἀναγκείων B. [a] ἀγγείων B.C. [b] κατὰ B.C. [c] δοροφοροῦσι B. δορυφοροῦσι C. [d] ἀπ' ἐκείνου om. A. [e] δυκτιῶδες B. [f] ἐκλάμπει B.C. [g] φερομένη A. [h] δικτυοειδὲς A. δυκτιῶδες B. [i] ἀθαίριόν τε B. [k] ἔλαμψιν A.

τῆς ψυχῆς οὐσία οὐδὲν ἐξ αὐτοῦ παραβλάπτεται· τὸ δὲ σῶμα διὰ τὴν τοῦ πνεύματος κακίαν οὐ σαφῶς ἢ καταλάμπεται ἢ ἐνεργεῖ· εἰ δὲ εἴη λεπτομερὲς, ἀνεμποδίστως καὶ τὸ σῶμα τῶν ψυχικῶν ἐνεργειῶν ἀπολαύει· διὰ ταύτην τοίνυν τὴν αἰτίαν ἀπέριττοι μένοντες κάλλιον λογιζόμεθα, καὶ τὰς ἡγεμονικὰς ἐνεργείας ἐπιτελοῦμεν· περιττωματικοὶ δὲ, καὶ μάλιστα μετὰ τὰς ἀπεψίας, οὐδεμίαν τῶν δεόντων ἐνεργειῶν ἐπιτελεῖν δυνάμεθα.

Ἐκ τοῦ οὖν εἰρημένου μυὸς πᾶσα μὲν ἄρθρου κίνησις· πᾶσα δὲ μυῶν συνολκή· πᾶν δὲ προαιρετικὸν πνεῦμα τοῖς πᾶσι μορίοις τοῦ σώματος ἡμῶν ἐπιπεμπόμενον, τὸν γήϊνον ἡμῶν ἀνδρίαντα ἐκ μηχανῆς τινὸς κινούμενον[l] δείκνυσι· αὐλοειδῶς γὰρ ἄνωθεν[m] διήκων ἐπὶ τὸ βάθος, διὰ τῶν καθεξῆς σπονδύλων τῆς ῥάχεως οὗτος ὁ μὺς, τῶν ῥαφῶν τε καὶ τῶν ἐγκειμένων αὐτῇ μυελῶν[n], τῇ βάσει ἐναπολήγει τῆς ῥάχεως· πάσαις[o] ὀστέων καὶ ἁρμονιῶν συμβολαῖς, καὶ μυῶν ἀρχαῖς· οἷόν τις ἡνίοχος αὐτὸ[p] ἐνδιδοὺς τῆς καθ' ἕκαστον κινήσεως τὴν ὁρμὴν καὶ τὴν δύναμιν· διὰ τοῦτο μοι δοκεῖ καὶ ἀσφαλεστέρας φρουρᾶς ἠξιῶσθαι· κατὰ μὲν τὴν κεφαλὴν, διπλαῖς ὀστέων περιβολαῖς ἐν κύκλῳ διειλημμένος· κατὰ δὲ τὴν ῥάχιν, ταῖς τῶν ἀκανθῶν ἐκφύσεσι, καὶ ταῖς πολυτρόποις κατὰ τὸ σχῆμα διαπλοκαῖς· δι' ὧν ἐν ἀπαθείᾳ πάσῃ φυλάσσοιτο, διὰ τῆς περιεχούσης τὸν ὑμένα φρουρᾶς[q], ὁ ἐγκέφαλος.

Ὁμοίως δὲ καὶ περὶ τῆς καρδίας ἄν τις καταστοχάσαιτο, ὅτι καθάπέρ τις οἶκος ἀσφαλὴς αὕτη διὰ τῶν στεῤῥοτέρων περιηρμόσθη, ταῖς[r] τῶν ὀστέων κύκλῳ περιοχαῖς ὠχυρωμένη[s]· κάτοπιν μὲν γάρ ἐστιν ἡ ῥάχις ταῖς ὠμοπλατικαῖς ἀσφαλείαις συνδεδεμένη· καθ' ἑκάτερον δὲ πλάγιον ἡ τῶν πλευρῶν φύσις περιπτύσσουσα τὸ μέσον, δυσπαθὲς ἀπεργάζεται· ἐν δὲ τοῖς ἔμπροσθεν, τό τε στέρνον, καὶ ἡ τῆς κλειδὸς συζυγία προβέβληται· ὡς ἂν ἁπανταχόθεν αὐτὴ τὸ ἀσφαλὲς ἀπὸ τῶν ἔξωθεν

[l] κινοῦν B. [m] ἄνω B. mox διῆκον. [n] ὁ ὑμὴν οὗτος ἑαυτόν τε καὶ τὸν ἐγκείμενον σὺν αὐτῷ μυελὸν B. [o] πόσαῖς A. [p] αὐτὸ A. [q] φρουρᾶς om. B. [r] ταῖς τε B. [s] ὀχυρωμένη B.

διοχλούντων φυλάσσοιτο· ἔνδοθεν δὲ ὁ πνεύμων, ὥσπερ στρῶμα ἁπαλὸν τοῖς ἅλμασιν αὐτῆς[t] ἐναποδεχόμενος, ἄπληγον αὐτὴν διατηρεῖ[u] καὶ ἀβλαβῆ· ἀφρώδους γὰρ ὢν ὁ πνεύμων οὐσίας, καὶ ἁπαλωτέρας σαρκὸς, μέσην τὴν καρδίαν περιλαμβάνει· ὡς ἂν καὶ τοὺς παλμοὺς αὐτῆς δέχηται, καὶ μὴ ἀντιτυπῶν αὐτῇ ὀδυνᾷ[v]· καὶ δεομένην περιψύξεως διὰ τῆς ἀναπνοῆς παραμυθεῖται[x] μετρίως.

Ἐπεὶ δὲ καὶ ἀνέσεως αἱ ζωτικαὶ τοῦ σώματος ἐνέργειαι δέονται, ἵνα μὴ τῷ συντόνῳ κόπῳ ἡ τοῦ σώματος ἕξις ἀμβλύνηται, τοῦ ὕπνου ἡ χρεία ἐπενοήθη τῇ φύσει· ὅτε[y] καὶ ἡ τοῦ ἥπατος ἐξαιμάτωσις ἀνεμποδίστως ἐπιτελεῖται[z], καὶ ἡ ἐξ αὐτοῦ τῆς τροφῆς χορηγία πρὸς ἅπαν μόριον ἀποκρινομένη μηδάμοθεν κωλύεται· ὅθεν μετὰ τὴν τροφὴν, συνευούσης καὶ[a] συνωθουμένης ἐν τῷ βάθει τῆς φύσεως περὶ τὴν τῆς τροφῆς ἐργασίαν, καὶ τοῦ ἐμφύτου θερμοῦ ἐκεῖσε συντρέχοντος, ἀτμοὶ τινὲς χρηστοὶ ἐν τῇ τῶν σιτίων ζυμώσει καὶ τῇ πέψει[b] γίνονται[c]· εἰώθει γὰρ τὰ ἑψόμενα ἄνω πέμπειν τὴν τῶν ἀτμῶν ὑγρασίαν[d]· ἐπὶ τὸν ἐγκέφαλον οὖν[e] ἄνεισι τὰ ἤδη ἐξατμηθέντα[f] ἐκ τῆς ἑψήσεως ὑγρὰ, καὶ καθυγραίνουσιν[g] αὐτὸν ἱκανῶς, καὶ τὰς κοιλότητας αὐτοῦ ἐμφράττουσι[h] τῇ περιουσίᾳ[i] τῆς ὁμιχλώδους παχύτητος· τοῦ γοῦν χορηγουμένου[k] ἐπὶ τὰ αἰσθητήρια, καὶ ἐπὶ τὰ πανταχῇ[l] διήκοντα νεῦρα τοῦ σώματος ζωτικοῦ πνεύματος ἀμβλυνομένου[m] ἐνεργεῖν, ἀνενέργητος ὁ ἄνθρωπος γίνεται νεκρῷ παραπλήσιος[n]· ὅθεν καὶ ἡ καταλαμβάνουσα τὸ ζῶον διάθεσις ὕπνος λέγεται, παρὰ τὸ τὰς φρένας ὑπονοστεῖν, ἤγουν ὑποχωρεῖν· ἐν τῷ ὕπνῳ γὰρ αἱ τοῦ ἀνθρώπου αἰσθήσεις ὑποχωροῦσι καθ' ὃν εἴρηται τρόπον· ἐν τῷ ὕπνῳ καὶ αἱ φυσικαὶ

t αὐτῆς B.C. αὐτοῦ A. u διατηροίη B.C. v καὶ ἀντιτ. αὐτὴν μὴ ᾗ ὀδ. B. αὐτὴν C. x παραμυθεῖται A. αὐτὴν παραμ. C. y ὥστε B. ἵνα C. z ἐπιτελεῖσθαι B. a συνευούσης καὶ om. C. b πέμψει C. c γινόμενοι B. d ἐργασίαν A. e οὖν om. B. f ἐξατμισθέντα B.C. g καθυγραίνοντες B. καθυγραίνει C. h ἐμφράττοντες B. i τῇ οὐσίᾳ A. k τὸ χορηγούμενον B. καὶ τοῦ χορηγουμένου C. l πανταχοῦ B.C. m ζωτικὸν πνεῦμα ἀμβλυνόμενον B. ἀναβλυνομένου C. n καὶ ν. π. C. κ. ν. παραπλ. om. B.

ἐνέργειαι γίνονται, καὶ αἱ πέψεις καὶ ἐξαιματώσεις[o] καὶ ἀναδόσεις[p] τῆς τροφῆς πρὸς πάντα τὰ μόρια ἀνεμποδίστως ἐπιτελοῦνται, ἐκ τῆς κατὰ φύσιν κινήσεως ἀπρακτοῦντος τοῦ ζώου· ἡσυχία γάρ ἐστι καὶ παῦλα[q] τῶν φυσικῶν ἐνεργειῶν ὁ ὕπνος.

Εἰ δέ ποτε στενοχωροῖτο μὲν ὑπὸ τῆς ἔνδοθεν ἀναθυμιάσεως ἡ περὶ τὰ αἰσθητήρια διασκευή· κωλύοιτο δὲ κατά τινα χρείαν[r] ὁ ὕπνος, πλῆρες γενόμενον τῶν ἀτμῶν τὸ νευρῶδες αὐτὸ ὑφ᾽ ἑαυτοῦ φυσικῶς διατείνεται· εἰώθεσαν[s] γὰρ οἱ μῦες καὶ τὰ νεῦρα θερμαινόμενα διΐστασθαι· ὅπερ[t] διὰ τῆς ἐντάσεως ἢ διαστάσεως τὸ παχυνθὲν ὑπὸ τῶν ἀτμῶν μέρος ἐκλεπτυνθῇ· οἷον τί ποιοῦσιν οἱ διὰ τῆς σφοδροτέρας στρεβλώσεως τὸ ὕδωρ τῶν ἱματίων ἐκθλίβοντες· καὶ ἐπειδὴ κυκλοτερῆ τὰ περὶ τὸν φάρυγγα μέρη· πλεονάζει δὲ τὸ νευρῶδες ἐν τούτοις· ὅταν καὶ ἀπὸ τούτων ἐξωσθῆναι δεῖ τὴν ἀτμῶν παχυμέρειαν· διατείνονται[u] οἱ μύες τοῦ στόματος[v], καὶ διΐστανται· καὶ τῶν ἐντὸς πάντων εἰς κύκλου σχῆμα διαταθέντων, ἡ λιγνυώδης ἐκείνη παχύτης ἡ ἐναπειλημμένη[w] τοῖς μέρεσι τούτοις συνδιαπνεῖται τῇ διεξόδῳ τοῦ πνεύματος· πολλάκις δὲ καὶ μετὰ τὸν ὕπνον οἶδε τὸ τοιοῦτον συμβαίνειν· ὅταν τι τῶν ἀτμῶν ἐκείνων περιλειφθείη τοῖς τόποις, ἄπνευστον καὶ ἀδιάπεπτον[x]· οὐ μόνον δὲ αἱ πέψεις καὶ ἐξαιματώσεις καὶ ἀναδόσεις κατὰ τὸν καιρὸν τοῦ ὕπνου τελοῦνται, ἀλλὰ καὶ[y] τὰ λοιπὰ περιττώματα, τὰ μὲν παχέα λεπτύνεται, τὰ δὲ λεπτὰ καὶ δριμέα παχύνεται συμμέτρως· καὶ εὐκρατοῦται[z] καὶ μεταβάλλεται· καὶ τὰ περιττὰ πρὸς ἔκκρισιν κατεπείγεται· καὶ μάρτυς ἡ πεῖρα τοῦ χρόνου· εὐθὺς γὰρ ἀνισταμένων ἡμῶν ἐξ ὕπνου, πρὸς οὔρησιν καὶ τὴν τῶν στεῤῥῶν ἀποπάτησιν τρέχομεν.

Οἶδε δὲ[a] ὁ ὕπνος καὶ νοσημάτων σφοδρότητας ἀμβλύνειν, καὶ ψυχικὰς ἀγωνίας καὶ λύπας παραμυθεῖσθαι, καὶ χαρὰν

[o] αἱ ἐξαιμ. B. [p] αἱ ἀναδ. B. [q] ἀνάπαυλα B. [r] χροίης A. [s] εἰώθεισαν A.C. [t] ὅπως B. usque ad παχυνθὲν om. C. [u] διατ. οὖν B. [v] τοῦ στόμ. om. B. τοῦ σώματος C. [w] ἐναπειλημμένη B. [x] ἄπεπτόν τε καὶ ἀδιάπνευστον B.C. [y] ἀλλὰ γὰρ καὶ B. [z] οὐ κρατεῖται A. [a] γὰρ B.

ἐμποιεῖν· ἡ γὰρ ἐκ χαλεπῆς ἀῤῥωστίας πρὸς ὑγείαν[b] γενομένη κρίσις ἐπ' ἀγαθῷ[c], καὶ φίλων καὶ συγγενῶν καὶ οἰκείων, καὶ αὐτοῦ τοῦ κάμνοντος[d] ὑπάρχει χαρά· λύπη δὲ καὶ χαρὰ[e], οὐκ ἐκ προαιρέσεως, ἀλλ' ἐκ τῆς τῶν συμβαινόντων ἀκολουθίας[f] συνίστανται· ὁ γὰρ κατὰ τὸν βίον εὐθηνούμενος[g], ἀκούων τε καὶ βλέπων τὰ αὐτῷ καταθύμια, τῶν δυσκόλων δέ τι μὴ προσδοκῶν αὐτῷ γενήσεσθαι[h], χαίρει· ὁ δὲ πενόμενος, ἢ τυπτόμενος, ἢ ζημιούμενος, ἤ τι τῶν οὐκ[i] ἀγαθῶν ἀεὶ προσδοκῶν, ἀνάγκη λυπεῖσθαι.

Τίκτεται[k] οὖν, ἐκ μὲν τῆς χαρᾶς, διάχυσις καὶ γέλως· ἐκ δὲ τῆς λύπης, στεναγμοί τε καὶ δάκρυα· ἔστι δὲ λύπη διάθεσις ψυχῆς ἡδονῶν ἐστερημένη[l]· παράγεται δὲ λύπη παρὰ τὸ λύειν τοὺς ὦπας εἰς δάκρυα[m], καὶ λυμαίνεσθαι τούτους· λυώπη[n] τίς οὖσα· λύσις γὰρ τῆς ψυχῆς ἐστὶ τὸ πάθος τὸ λυπηρόν· χαρὰν δὲ ὁρίζονται τὴν τῶν καταθυμίων ἐκπλήρωσιν· τὸ δὲ δάκρυον οἷον τί δακνυόν ἐστι[o]· δακνομένης[p] γὰρ τῆς ψυχῆς[q] ἐξέρχεται τὸ δάκρυον· ἡ δὲ γένεσις αὐτοῦ τοιάδε· τῆς ἐπελθούσης ἀνίας τῷ ἀνθρώπῳ[r] τὴν ψυχὴν συστελλούσης, βρασμώδης στενοχωρία τοῖς ἔνδοθεν ἐπιγίνεται σπλάγχνοις· ἐξ ἧς ἀναθυμίασις πλείστη ὑγρῶν πρὸς τὸν ἐγκέφαλον γίνεται· ὅταν δὲ αὐτοῦ τὰ κοῖλα τῶν ἐκ τῆς λύπης ἀναθυμιάσεων πληρωθῶσι, πρὸς τοὺς ὀφθαλμῶν[s] ἀπωθεῖται χιτῶνας τὴν ὑγρασίαν· καὶ τῇ τοῦ ἀβουλήτου[t] δήξει[u] τοῦ ὑγροῦ ἀποσκευαζόμενον τὸ βάρος καταφέρεται, ὥσπερ νέφος εἰς ψεκάδα, οὕτως τοῦ πάχους[v] τῶν ἀτμῶν διαλυθέντος εἰς δάκρυον· "ἔνθα καὶ ἡδόνη τις ἐστὶ," φησὶν ὁ μέγας Βασίλειος, "τοῖς λυπουμένοις περὶ τὸν θρῆνον· λανθανόντως διὰ τοῦ κλαίειν κενουμένου αὐτοῖς τοῦ βαρύνοντος."

[b] ὑγιείαν B. [c] ἐπ' ἀγαθῶν C. [d] κ. α. τοῦ κάμνοντος om. B. [e] λ. δὲ καὶ χ. om. B.C. [f] ἀκολ. om. B. mox συνίσταται. [g] ἐνευθηνούμενος B. εὐθυνούμενος C. [h] αὐτῷ τοῦ γεν. B. [i] οὐκ om. A. [k] τήκεται A. τίκτεται μὲν οὖν B. τίκτεται δὲ C. [l] hæc om. A. [m] εἰς δ. τοὺς ὦπας B. [n] λυόπη B. [o] τί δάκνιον τί ἐστι A. οἷον δάκνυον ἐστι B. οἷόν τι δάκνυον C. [p] δακνωμένης A. [q] καρδίας B.C. [r] τὸν ἄνθρωπον B. [s] τῶν ὀφθ. B.C. [t] ἀβουλίτου C. [u] δόξῃ B. [v] τὸ πάχος B. mox διαλυθέν.

Ἐκ δὲ τῆς εἰρημένης τῶν σπλάγχνων στενοχωρίας καὶ τῆς πολλῆς ἀναθυμιάσεως, καὶ τῶν ἀναπνευστικῶν στενοχωρουμένων ὀργάνων[w], βιαιοτέρα πολλάκις ἡ ὁλκὴ τοῦ πνεύματος γίνεται, ὑπὸ τῆς φύσεως πρὸς τὴν τῶν συμπεπτωκότων[x] διαστολὴν τὸ στενωθὲν εὐρυνούσης· τὸ δὲ τοιοῦτον σύμπτωμα λύπης ἐστί· διὸ στεναγμὸν αὐτὸ καὶ ἀποπιεσμὸν[y] ὀνομάζομεν· ἀνακτᾶται γὰρ ἐν τούτῳ τῷ στεναγμῷ οἷον ἑαυτὴν ἡ ψυχὴ, τῇ ἀποκρίσει τῆς παχυνθείσης ἐν τῇ καρδίᾳ διὰ τῆς λύπης[z] αἰθάλης, καὶ τῇ ἀντεισαγωγῇ τοῦ καθαροῦ ἀέρος[a]. οὕτως μὲν τὸ δάκρυον καὶ ὁ στεναγμὸς συνίστανται[b] ἐν ἡμῖν.

Ἡ δὲ χαρὰ οἷον σκίρτημα τί ἐστι τῆς ψυχῆς ἐπαλλομένης[c] ἐν τοῖς κατὰ γνώμην αὐτῆς ἀπαντῶσιν· ὡς γὰρ ἐν τῇ θλίψει μύουσιν αἱ λεπταὶ καὶ ἄδηλοι τῶν πόρων διαπνοαὶ, καὶ ἀτμὸς[d] ἀνιῶν σκοτοῖ τὸν ἐγκέφαλον, καὶ ἡ ψυχὴ συστέλλεται καὶ κατηφιᾷ· οὕτως ἐν τῇ χαρᾷ διαχέονταί πως καὶ διαλύονται οἱ τοῦ σώματος πόροι· καὶ πλέον τοῦ συνήθους εὐρυνομένων αὐτῶν εἰσέλκεται[e] πνεῦμα ἐπὶ τὸ βάθος θερμόν· ἐκεῖσε δὲ πάλιν θερμαινόμενον ἐπὶ πλεῖον, οὐκ ἔτι στέγει τὰ σπλάγχνα τὸ πλῆθος τοῦ πνεύματος, καὶ τὸ θερμὸν αὐτοῦ. ὅθεν εὐκολίαν τινὰ τῇ διεξόδῳ τοῦ πνεύματος μηχανωμένη[f] ἡ φύσις, οὐκ ἔτι ἐπὶ τὸν ἐγκέφαλον ἀναπέμπει ἀτμοὺς, ἀλλ' εὐρύνει[g] τὸν πόρον τοῦ στόματος, καὶ τὸ τοιοῦτον πνεῦμα συνεξωθεῖ διά τινος κλόνου βρασμώδους τοῦ ἥπατος καὶ κινήσεως· ὄνομα δὲ τῷ γενομένῳ[h] γέλως ἐστίν· οὕτως γὰρ καὶ αὐτὸν ὁρίζονται· βρασμώδη[i] κίνησιν τῶν περὶ τὸ πρόσωπον μυῶν[k], ἤτοι τοῦ μυώδους πλατύσματος ἐκ τῶν ἔνδοθεν σπλάγχνων τοῦ κινουμένου[l] πνεύματος ὠθουμένου· παρὰ τὸ γελῶ[m] γέλως ἐκλήθη· τὸ δὲ γελῶ παρὰ τὸ ἕλη, ὃ σημαίνει τὴν θερμασίαν· οἱ γὰρ θερμοὶ πολλὰ γελῶσιν.

[w] τὰ ἀναπνευστικὰ στενοχωρούμενα ὄργανα B. [x] πεπτωκότων A. [y] ποτνιασμὸν A. ἀποπνειασμὸν B. [z] δ. τ. λύπης om. B. ὑπὸ τ. λ. C. [a] τοῦ ἀέρος ἐν αὐτῇ καθ. B.C. [b] συνίσταται B. [c] ἀγαλλομένης B. ἐπαγαλλομένης C. [d] ὁ ἀτμὸς B. [e] εἰσέρχεται B.C. [f] μηχανομένη B. [g] ἀνευρύνει B.C. [h] γεννωμένῳ B. τῶν γινομένων C. [i] σπασμώδη B.C. [k] τὰ πρόσω μυῶν B. [l] κινοῦντος B.C. [m] παρὰ δὲ τοῦτο γέλως B.

Ἐπεὶ οὖν[n] λύπη καὶ χαρὰ διαφέρει, καὶ τὰ περὶ τὸ σῶμα ἐκ τούτων γινόμενα συμπτώματα διενήνοχε· τοῖς μὲν γὰρ λυπουμένοις[o] ὕπωχρος καὶ πελιδνὸς καὶ κατεψυγμένος ὁ ὄγκος τοῦ σώματος διαφαίνεται· τοῖς δὲ φαιδρυνομένοις ἐξανθοῦσα καὶ ὑπέρυθρος ἡ τοῦ σώματος ἕξις· μονονουχὶ πηδώσης τῆς ψυχῆς καὶ προωθουμένης ὑφ᾽ ἡδονῆς εἰς τὸ ἔξω τὴν ἔνδοθεν αὐτὴν[p] ἐπικυκλοῦσαν χαράν.

Πῶς οὖν γεννᾶται τοῦτο τὸ ζῶον, καὶ πῶς ἀνατρέφεται· καὶ πῶς αἱ ζωτικαὶ καὶ αἱ φυσικαὶ[q] δυνάμεις ἐν αὐτῷ ἐνεργοῦσι· καὶ πῶς ὁ νοῦς διὰ τῶν αἰσθήσεων ἐνεργεῖ· καὶ[r] τί τὸ τριμερὲς τῆς ψυχῆς· καὶ πόσαι γενικαὶ ἀρεταί· καὶ τίνα τὰ ἐξ αὐτῶν γενόμενα γένη τῆς κακίας ἢ ἀρετῆς· καὶ πῶς χαρὰ καὶ λύπη συνίστανται· καὶ πῶς γέλως καὶ δάκρυα καὶ ὕπνος συνείλεκται ἤδη, καὶ ὡς ἐνὸν διηγόρευται[s]. λοιπὸν ἴδωμεν καὶ τὰ τοῦ σώματος μόρια· τά τε ἁπλᾶ καὶ πρῶτα[t] λεγόμενα, καὶ τὰ ἐκ τούτων συγκείμενα, καὶ ὀργανικὰ προσαγορευόμενα· πῶς τε καλοῦνται[u], καὶ πῶς συνδέδενται, καὶ διατί οὕτως κατονομάζονται.

Ἔσται καὶ ἐν τούτῳ[v] εὐχὴ παρὰ Κυρίου Θεοῦ τοῦ βοηθῆσαι ἡμῖν τοῖς διανοήμασιν ἐπὶ ταύτῃ τῇ σκέψει· ὅπως μὴ πληθυνθῶσιν αἱ ἄγνοιαί μου, καὶ αἱ ἀσυνεσίαι μου πλεονάσωσιν, ἔργα σοφίας αὐτοῦ[w] ἀνάγνως καὶ ἀμαθῶς ἐρευνῶντι· οἱ γὰρ τῶν ὑπὲρ δύναμιν ἐφιέμενοι καὶ τῶν μετρίων ἀποτυγχάνουσι· πλὴν οὐκ ἀποκνητέον οὐδὲ ἀπογνωστέον τῆς ἐγχειρήσεως· αὐτὸς γάρ ἐστιν ὁ[x] "πᾶς ὁ αἰτῶν λαμβάνει" εἰπών· "καὶ ὁ ζητῶν εὑρήσει, καὶ τῷ κρούοντι ἀνοιγήσεται."

Τῶν ἐν τοῖς σώμασιν ἡμῶν μερῶν, τὰ μὲν ὁμοιομερῆ λέγεται, τὰ δὲ ἀνομοιομερῆ· ὁμοιομερῆ μὲν τὰ ἁπλᾶ καὶ πρῶτα· οἷον, αἷμα, φλέγμα, χολὴ μέλαινα καὶ ξανθή[y]· ἃ δὲ στοιχεῖα[z] τοῦ σώματός εἰσιν, ἐξ ὧν καὶ μεθ᾽ ὧν[a] ἐγκέφαλος· μήνιγγες·

[n] γοῦν B. [o] τοὺς μ. γ. λυπουμένους B. [p] αὐτῇ B. τὴν ἔνδοθεν χαράν. C. [q] καὶ ψυχικαὶ add. B. [r] καὶ ἐνεργειῶν B. [s] διαγορεύεται A. [t] τὰ πρ. B. [u] πῶς τελοῦνται B. quibus nominibus censeantur L.V. [v] δὲ ἐν τ. B. [w] αὐτοῦ om. A. [x] ὁ εἰπὼν B. [y] ξ. καὶ μέλ. B. [z] καὶ στ. B. [a] μεθ᾽ ἃ A.

μῦες· νεῦρα· μυελὸς ὁ ἐν τοῖς ὀστέοις· αὐτὰ τὰ ὀστᾶ· χόνδρος· ἀδένες· σύνδεσμοι· ὑμένες· ἶνες· τρίχες· ὄνυχες· σάρκες· φλέβες· ἀρτηρίαι· πόροι· πιμελή· δέρμα· τένοντες[b]· σύνθετοι δὲ οὗτοι ὥσπερ καὶ οἱ μῦες, ἔκ τε συνδέσμων καὶ νευρωδῶν ἰνῶν[c] συγκείμενοι· ταῦτα μὲν οὖν τὰ ὁμοιομερῆ καὶ πρῶτα, ἐξ ὧν τὰ ἀνομοιομερῆ καὶ ὀργανικὰ συνετέθησαν[d]· οἷον, κεφαλή· θώραξ· χεῖρες· πόδες· καὶ ὅσα ἐκ τῶν ὁμοιομερῶν συνέστη· πᾶν γὰρ ἀνομοιομερὲς ἐξ ὁμοιομερῶν συνέστηκεν· ἐκ τούτων δὲ τὸ σύμμετρον ἢ ἀσύμμετρον σῶμα· τῆς[e] συμμετρίας ἐν τέτρασι τούτοις θεωρουμένης[f]· ἐν σχήματι· ἐν ἀριθμῷ· ἐν μεγέθει· ἐν θέσει· ὁμοίως καὶ τῆς ἀσυμμετρίας ἐν τοῖς ἀνάπαλιν· τὸ γὰρ κάλλος τοῦ σώματος εὐρυθμία ἐστὶ μελῶν, μετ' εὐχροίας· τοῦτο δὲ γίνεται εὐκράτως μὲν τῶν ὁμοιομερῶν, συμμέτρως δὲ τῶν ὀργανικῶν ἐχόντων· ἀρεταὶ γὰρ σώματος ὑγεία ἐστὶ καὶ ῥώμη· κάλλος καὶ ἀρτιότης, ἤγουν ὁλοκληρία· ἀρεταὶ δὲ ψυχῆς, φρόνησις· σωφροσύνη· ἀνδρεία[g] καὶ δικαιοσύνη.

Ἀναλογεῖ[h] οὖν ἡ τοῦ σώματος ῥώμη πρὸς τὴν τῆς ψυχῆς ἀνδρείαν[i]· ἡ μὲν γὰρ ῥώμη εὐτονία ἐστὶ σώματος, καὶ ἰσχὺς δυσανταγώνιστος τοῖς νοσάζουσι[k] τὸ σῶμα δυναμένοις· ἡ δὲ ἀνδρεία[l] ῥώμη ψυχῆς καὶ ἰσχὺς πρὸς τὰς ὑπομονὰς τῶν ἰσχυρῶν φαντασιῶν· θανάτου· πόνου· ταλαιπωρίας· ἡδονῶν· καὶ πάντων τῶν δεινῶν τὲ καὶ φοβερῶν εἶναι νομιζομένων· τῷ δὲ κάλλει ἡ[m] δικαιοσύνη προσέοικε· τὸ γὰρ[n] κάλλος ἐν συμμετρίᾳ σώματος[o] μετ' εὐχροίας νοεῖται· ἡ δὲ δικαιοσύνη ἐν τῇ διανομῇ τῶν κατ' ἀξίαν ἑκάστῳ[p]· τῇ δὲ φρονήσει ἡ ἀρτιότης· πλήρωσις[q] γάρ ἐστιν ἡ φρόνησις τῶν τῆς ψυχῆς ὀρθῶν καταλήψεων, ὥσπερ ἡ ἀρτιότης τῶν τοῦ σώματος μελῶν· τῇ δὲ ὑγείᾳ ἡ σωφροσύνη[r].

Ὑγεία δέ ἐστιν εὐεξία σύμμετρος· ἡ δὲ εὐεξία ὑγεία ἐπιτεταμμένη· παρέπεται δὲ τῇ ὑγείᾳ, κάλλος· εὐεξία· ἀρτιότης·

[b] τένεντες A. [c] ἰνῶν om. A. [d] συνετέθη B. [e] τοῦ B. [f] θεωρουμένου B. [g] ἀνδρία B. [h] ἀναλογεῖται B. [i] ἀνδρίαν B. [k] νοσοῦσι B. νοσίζειν C. [l] ἀνδρία B. [m] ἡ om. B. [n] τὸ μὲν γὰρ B. [o] μελῶν B.C. [p] ἑκάστου B. [q] συμπλήρωσις B. [r] hæc om. B.C.

κάλλος, οὐ τὸ ἀπὸ κομμωτικῶν[s], ἢ τὸ δι' ἐπιχρισμάτων[t] προσώπων[u] καὶ βαφῆς τριχῶν, ἀλλὰ τὸ κατ' ἐπακολούθησιν τῆς ὑγείας[v] συνιστάμενον· κατ' εὐκρασίαν τοῦ ἐμφύτου θερμοῦ, τῶν τε ὁμοιομερῶν καὶ τῶν ὀργανικῶν μελῶν καὶ μορίων· ἡ γὰρ ὑγεία εὐκρασία ἐστὶ τῶν ἐν ἡμῖν χυμῶν· καὶ τῶν φυσικῶν καὶ ψυχικῶν καὶ ζωτικῶν δυνάμεων ἀπαρεμπόδιστος[w] ἐνέργεια τοῦ ἤθους τῆς ψυχῆς καὶ τοῦ σώματος καλῶς διαφαινομένου.

Ἔστι δὲ ψυχῆς μὲν ἦθος ποιότης[x] τοιάδε ἀπεσκιῤῥωμένη καὶ δυσαπόβλητος, τουτέστι παγία καὶ εἰς ἕξιν ἐλθοῦσα· σώματος δέ ἐστιν ἦθος ὁ ἑκάστου κόσμος, ἤγουν τελειότης ἡ διὰ τῆς τῶν ἄκρων στερήσεως τῆς τε ὑπεροχῆς καὶ ἐνδείας θεωρουμένη[y]· ἀκοσμία δὲ ὅ τε πλεονασμὸς καὶ ἡ ἔλλειψις· ὁ γὰρ πλεονάζων τινὸς μορίου, ὥς τινες εἰσὶν ἑξαδάκτυλοι, ἢ λειπόμενοι[z] χειρὸς ἢ ποδὸς, ἢ ὀφθαλμοῦ, ἢ τινὸς ἄλλου μορίου, ἄκοσμός ἐστι καὶ ἀσύμμετρος· καὶ ἐστὶ τοῦτο παρὰ τὸν ἀριθμὸν σφάλμα· ἀλλὰ καὶ ὁ παρὰ τὸ σχῆμα τί ἔχων· οἷον διαστρόφους τοὺς ὀφθαλμοὺς ἢ τοὺς πόδας, ἢ τὴν χεῖρα μείζονα τῆς ἑτέρας· ἐσφάλθαι δὲ λέγεται[a] καὶ ὁ παρὰ τὴν θέσιν· οἷον ἔντερα ἐν ἰσχίῳ, ἢ μηρὸν ἔξω κοτύλης, ἢ τὴν χεῖρα[b] συμφυεῖσαν τῇ ὠμοπλάτῃ[c], ἢ τί τοιοῦτον· ὁμοίως καὶ ὁ παρὰ τὸ μέγεθος, ὡς ἔχειν κεφαλὴν[d] ὑπερμεγέθη, ἢ μικρότεραν τοῦ κατὰ φύσιν· ἢ ῥῖνα ἢ ὀφθαλμόν[e]· ἢ καὶ αὐτὸ ἅπαν τὸ σῶμα, ὡς οἱ γίγαντες ἢ ἀνθρωπίσκοι[f].

Τῶν γὰρ ἐν ἡμῖν μελῶν, τὰ μὲν πρὸς τὸ ζῆν, τὰ δὲ πρὸς τὸ εὖ ζῆν ἐστὶν ἐπιτήδεια· τὰ μὲν οὖν[g] πρὸς τὸ ζῆν γεγονότα κύρια τυγχάνει· οἷον, ἐγκέφαλος· καρδία· γαστήρ· καὶ[h] ἧπαρ καὶ πνεύμων· ὧν παθόντων τελευτᾷ τὸ ζῶον· τὰ δὲ πρὸς τὸ εὖ ζῆν, ὀφθαλμοὶ εἰσὶ, καὶ πόδες καὶ χεῖρες, καὶ τὰ ἄλλα μόρια· τούτων γὰρ παθόντων, ζῇ μὲν τὸ ζῶον, ζῇ δὲ οὐ καλῶς.

[s] κομμιτικῶν A. κομμυτικῶν C. [t] τὸ δι' ἐπὶ χρωμάτων A. τὸ om. B.C. [u] προσώπου B. [v] κατεπακολουθῆσαν καὶ ὑπὸ τῆς ὑγ. B. [w] ἀπαρεμποδίστως B. [x] ψυχῆς B. [y] θεωρ. ἀρτιότης B. [z] λειπόμενος B. [a] ἐσφάλθη λέγεται A. [b] ἢ χεῖραν B. [c] τῷ ὠμοπλάτει B. [d] π. τὸ μεγ. ἔχων κεφ. mox om. ὑπερμεγ. B. [e] ὀφθαλμοὺς B. [f] ἢ οἱ ἀνθ. B. [g] οὖν om. B. καὶ τὰ μὲν C. [h] καὶ γαστὴρ B.

Διὰ τοῦτο γὰρ καὶ τὰ αἰσθητήρια δι' ὑπερβάλλουσαν κηδεμονίαν, διπλᾶ πεποίηκεν[i] ὁ Θεός· ἵνα τοῦ ἑτέρου παθόντος, τὸ περιλειπόμενον σώζῃ τὴν αἴσθησιν· δύο γὰρ ὀφθαλμοὶ καὶ ὦτα δύο· δύο πόρους τῆς ὀσφρήσεως[j] ἐν τῇ ῥίνι πεποίηκεν, καὶ δύο γλώττας πᾶσι τοῖς ζώοις ἐνέφυσεν· ἀλλὰ τοῖς μὲν διῃρημένας, ὡς τοῖς ὄφεσι, τοῖς δὲ συνημμένας[k] καὶ συνηνωμένας, ὡς τοῖς ἀνθρώποις· ἀλλὰ τῶν μὲν[l] πλείστων αἰσθητηρίων διαφθειρομένων οὐδὲν εἰς αὐτὴν τὴν ζωὴν καταβλάπτεται τὸ ζῶον· ἁφῆς δὲ ἀπολλυμένης, συναπόλλυται καὶ[m] τὸ ζῶον· πᾶν γὰρ ζῶον ἁφὴν ἔχει, τὰς δὲ ἄλλας αἰσθήσεις οὐ πάντα πάσας[n], ἀλλ' ἐνίας ἔνια· πάσας δὲ ἔχει τὰ τελεώτερα[o]· ὁ δὲ ἄνθρωπος τῇ ἁφῇ καὶ τῇ γεύσει πλέον ἔχει τῶν ἄλλων ζώων, καὶ ἀκριβεστάτως[p], καί τοι ταῖς ἄλλαις τρισὶν ἡττώμενος· ἄλλο μὲν γὰρ ζῶον κατ' ἄλλην καὶ ἄλλην[q] αἴσθησιν ἐκ τῶν τριῶν πλεονεκτεῖ τὸν ἄνθρωπον[r]· ὁ δὲ κύων ἐν ταῖς τρισὶν ἅμα· ὀξύτερον γὰρ καὶ ἀκούει[s], καὶ βλέπει, καὶ ὀσφραίνεται, ὡς δῆλον ἐκ τῶν ἰχνευόντων.

Οὐ μόνον δὲ διπλᾶ δέδωκεν ἡμῖν τὰ αἰσθητήρια ὁ δημιουργός, ἀλλὰ καὶ αὐτὰς ἐποίησε διπλᾶς ἔχειν τὰς αἰσθήσεις[t]· τὴν μὲν τῶν ἰδίων αἰσθητῶν, τὴν δὲ ἧς ἁφῆς· ὡς ἡ ὄψις· καὶ γὰρ τὰ χρώματα διακρίνει· καὶ τῶν θερμῶν καὶ ψυχρῶν[u] ἀντιλαμβάνεται· ἀλλὰ τούτων μὲν, ὡς σῶμα· τῶν δὲ χρωμάτων καὶ τῶν αὐγοειδῶν, ὡς ὄψις· καὶ μέντοι καὶ τῷ γεωδεστάτῳ[v] καὶ σωματικωτάτῳ τῶν αἰσθητηρίων, ὅπέρ ἐστιν ἡ ἁφὴ, τῆς γεώδους φύσεως αἰσθάνεται· τῷ δὲ ἀεροειδεῖ, τῶν τοῦ ἀέρος παθημάτων διὰ τῆς ἀκοῆς· καὶ τῷ σπογγοειδεῖ[w] τῆς γλώττης, καὶ τῷ ὑδατοειδεῖ τῷ[x] κατὰ τὴν γεῦσιν, τῶν χυμῶν ἀντιλαμβάνεται· ἕκαστον γὰρ τῶν αἰσθητῶν διὰ τῶν οἰκείων αἰσθητηρίων γνωρίζεσθαι πέφυκεν.

[i] ἐποίησεν B.C. [j] δύο τῆς ὀσφρ. πορ. B. [k] συνημένας B. [l] καὶ τῶν μὲν B. [m] καὶ om. B. [n] πάντως πάσας B. πάντας πάσας C. [o] τελειότερα B. [p] ἀκριβεστάτας B.C. [q] καὶ ἄλλην om. B.C. [r] τοῦ ἀνθρώπου B. [s] καὶ ὀξύτερον ἀκ. B. [t] διπλ. ἐποίησεν ὁ Θεὸς ἔχ. τὰς αἰσθ. B. [u] τῶν ψυχρ. B. [v] γεωδεστάτω (ου above) A. [w] ἐν τῷ σπ. B. [x] τὸ B.

Ἔδει τοίνυν κατὰ τοῦτον τὸν λόγον, ἐπειδὴ τέσσαρα στοιχεῖα εἰσὶ, τέσσαρας εἶναι καὶ τὰς αἰσθήσεις· ἀλλ' ἐπειδήπερ ὁ ἀτμὸς καὶ τὸ τῶν ὀδμῶν γένος μεταξὺ τὴν φύσιν[y] εἰσὶν ἀέρος καὶ ὕδατος· ἀέρος μὲν γάρ ἐστι παχυμερέστερος[z], ὕδατος δὲ λεπτομερέστερος[a], τούτου χάριν ἡ ὄσφρησις πέμπτον ἐδόθη ἡμῖν[b] αἰσθητήριον.

Ὅτι δὲ ἡ τῶν ἀτμῶν καὶ ὀδμῶν φύσις παχυτέρα ἐστὶ τοῦ ἀέρος δῆλον ἐκ τῶν κόρυζαν ἢ κατάῤῥουν ἐχόντων[c]· ἕλκοντες γὰρ τὸν ἀέρα τῶν ἀτμῶν οὐκ ἀντιλαμβάνονται διὰ τὴν ἔμφραξιν, ἀλλὰ διαρκοῦσιν ἐπὶ πολὺ ἀναίσθητον τὴν αἴσθησιν φέροντες[d]· ἔστι δὲ ἡ αἴσθησις οὐκ ἀλλοίωσις, ἀλλὰ διάγνωσις ἀλλοιώσεως· ἀλλοιοῦται μὲν γὰρ τὰ αἰσθητήρια, διακρίνει δὲ τὴν ἀλλοίωσιν ἡ αἴσθησις.

Ἔστι δὲ αἰσθητήρια μὲν πέντε· αἴσθησις δὲ μία ἡ ψυχικὴ, ἡ γνωρίζουσα διὰ τῶν αἰσθητηρίων τὰ ἐν αὐτῇ[e] γενόμενα πάθη· ὅταν γὰρ λευκὸν ἴδωμεν ἐγγινεταί τι πάθος τῇ ψυχῇ ἐκ τῆς λήψεως αὐτοῦ διὰ τῆς αἰσθήσεως· ὁμοίως καὶ ἐπὶ τῶν λοιπῶν αἰσθητηρίων· ἄλλο δέ ἐστιν αἴσθησις, καὶ ἄλλο αἰσθητήριον· καὶ ἄλλο αἰσθητὸν, καὶ ἄλλο αἰσθητικόν[f].

Αἴσθησις μὲν οὖν ἐστὶν ἡ ἐνεργοῦσα ψυχικὴ δύναμις, διὸ καὶ οὕτως αὐτὴν ὁρίζονται· πνεῦμα νοερὸν ἀπὸ τοῦ ἡγεμονικοῦ ἐπὶ τὰ ὄργανα τεταμένον[g]· ἢ οὕτως· δύναμις ψυχῆς ἀντιληπτικὴ τῶν αἰσθητῶν· ὁ δὲ Πλάτων τὴν αἴσθησιν δυνάμεως καὶ ὀργάνου κοινωνίαν πρὸς τὰ ἐκτὸς ὁρίζεται· τουτέστι ψυχῆς καὶ σώματος· ἡ γὰρ δύναμις ψυχῆς, τὸ δὲ ὄργανον σώματος· ἄμφω δὲ διὰ φαντασίας ἀντιληπτικὰ τῶν ἔξωθεν.

Αἰσθητήριον δέ ἐστιν ὄργανον τῆς ἀντιλήψεως τῶν αἰσθητῶν, ἢ τὸ αἴσθησιν τινὰ ἐμπεπιστευμένον ὄργανον[h]· αἰσθητὸν δὲ τὸ αἰσθήσει ὑποπίπτον· αἰσθητικὸν δὲ, αὐτὸ τὸ αἰσθανόμενον ζῶον· αἴσθησις μὲν οὖν, οἷον ὅρασις, ὄσφρησις, ἀκοὴ, γεῦσις, καὶ

[y] τῇ φύσει B. τῆς φύσεως C. [z] παχυμερέστερα B. [a] λεπτομερέστερα B. [b] ἡμῖν om. B. [c] κορ. ἐχόντων ἢ κατάρ. B. [d] περιφέροντες B. [e] αὐτοῖς B. [f] καὶ ἄλλο αἰσθητικὸν om. B. [g] τεταγμένον B. [h] hæc om. B.

ἀφή· αἰσθητήριον δὲ, ἤτοι ὁ ὀφθαλμὸς, ἡ[i] ῥὶς, ἡ γλῶσσα καὶ τὰ χείλη[k], ἃ καὶ ὄργανα αἰσθητικὰ προσαγορεύεται· αἰσθητὸν δὲ ὁ λίθος, τὸ ξύλον, καὶ πάντα τὰ αἰσθήσει[l] ὑποπίπτοντα· αἰσθητικὸν δὲ ὁ Στέφανος, ὁ Πέτρος[m], ὁ Μελέτιος, καὶ πάντα ὅσα ἄλλα αἰσθάνεται ζῶα· "ἔγνω γὰρ," φησὶ, "βοῦς τὸν κτη-" "σάμενον[n] καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ." εἰ δὲ κατὰ τὴν αἴσθησιν τὰ ἄλογα τοῖς λογικοῖς ἀνθρωποῖς κοινωνεῖ, καλῶς τινὲς τῶν ἀνατομικῶς ἱστορησάντων μὴ δὲ κατὰ τὴν τοῦ σώματος πολὺ διαφέρειν ἔνια τῶν ζώων σύνταξιν καὶ ἁρμονίαν τῶν ὀστῶν, καὶ τὴν τῶν ἐγκάτων σύνθεσιν ἔγραψαν· καὶ μᾶλλον τῶν ἄλλων ζώων τὸν ὗν· ὅτι καὶ ἐκ τῶν αὐτῶν στοιχείων τὰ τούτων σώματα συνεστάθη, ἐξ ὧν καὶ τὰ τῶν ἀνθρώπων· τὰ γὰρ ὁμοιομερῆ οὐδὲν διαφέρει τῶν ἀμφοτέρων παρὰ μικρόν· εἰ καὶ τὰ τῆς διοργανώσεως ἐνήλλακται, καὶ τὰ τῆς γεύσεως· ὁ γὰρ[o] Θεὸς ἔθετο τὰ μέλη ἓν ἕκαστον αὐτῶν ἐν τῷ σώματι καθὼς ἠθέλησε.

Τὸ *σῶμα δὲ τοῦ ἀνθρώπου οὐκ ἔστιν ἓν μέλος ἀλλὰ πολλά· ὅτι καὶ εἰς κεφαλὴν διαιρεῖται, καὶ εἰς στέρνον καὶ ἐπιγάστριον καὶ ὑπογάστριον, καὶ ῥάχιν καὶ ὀσφὺν, καὶ χεῖρας καὶ πόδας· καὶ ἡ μὲν κεφαλὴ περιέχει ἐγκέφαλον, ὀφθαλμοὺς, ῥῖνα, ὦτα, στόμα καὶ τὰ ἔσω τοῦ στόματος· γλῶτταν[p] λέγω, καὶ ὀδόντας, καὶ φάρυγγα, καὶ τὰ κατὰ μέρος· τὸ δὲ στέρνον, πνεύμονα καὶ καρδίαν· ὁ τράχηλος, κατακλεῖδα· αἱ πλευραὶ, τὸν ὑπεζωκότα· ἡ ῥάχις, σπονδύλους καὶ μυελόν[q]· ἡ δὲ ὀσφὺς, νεφροὺς καὶ τὰ οὐρηδόχα[r] ἀγγεῖα· τὸ δὲ ἐπιγάστριον, στόμαχον, ἧπαρ, σπλῆνα, καὶ τὴν ἄνω γαστέρα· τὸ δὲ ὑπογάστριον, ἔντερα, πιμελὴν, περιττώματα, καὶ τὰ κατὰ τὴν ἥβην· αἱ χεῖρες, βραχίονας, ὤμους, πήχεις, καρποὺς, δακτύλους· οἱ πόδες, μηροὺς, γόνατα, σφυρὰ, δακτύλους.*

Ταῦτα *δὲ πάντα καὶ ἄλλα πλείονα, καὶ μέλη λέγονται καὶ μέρη, καὶ μόρια, καὶ τόποι, κατ' αὐτὸ τὲ καὶ συνωνύμως· πλὴν*

[i] ἡ om. B. [k] *καὶ τὰ λοιπὰ* B. [l] *τῇ αἰσθ.* B. [m] ὁ Π. ὁ Στέφ. B. [n] *κτισάμενον* B. [o] *ὅτι γὰρ* A. [p] *γλῶσσαν* B. [q] *μυελούς.* B. [r] *οὐροδόχα* B.C.

κατὰ μείζονα μὲν καὶ ὁλοσχερεστέραν περιγραφὴν τὰ μέλη λαμβάνομεν· κατὰ δὲ ἐλάττονα τὰ μέρη· δύναται δὲ καὶ μέρος τὸ αὐτὸ λέγεσθαι καὶ μέλος· οἷον, μέλος τοῦ σώματος ἡ κεφαλὴ, ἀλλὰ καὶ μέρος· μέρος[s] δὲ τῆς κεφαλῆς τὸ ἠνίον· καὶ μέρος αὐτῆς ὁ ὀφθαλμός· καὶ μέλος τοῦ σώματος ἡ χεὶρ, μέρος δὲ τῆς χειρὸς ὁ δάκτυλος· οὕτως οὖν καὶ ἐπὶ τῶν ἄλλων· εἴρηται δὲ μέρη μὲν ἀπὸ τοῦ μεμερίσθαι[t], καὶ ἄλλο ἄλλου διαφέρειν· μέλη δὲ ὅτι μετὰ ἁρμονίας δοκεῖ συνεστάναι τὸ σῶμα ἡμῶν ἐκ μεταφορᾶς τῶν κατὰ τὴν μουσικὴν μελῶν, κιθάρας τυχὸν ἢ αὐλοῦ· καὶ αὐτὰ γὰρ μετὰ ἁρμονίας συνίσταται[u]· τὰ δὲ μόρια, οἷον[v] ὅρια τινὰ ὄντα, ὡς διωρισμένα[w], ἢ τὰ μέρους μέρη.

Ἕκαστον οὖν τῶν μελῶν ἐκ σαρκὸς καὶ δέρματος, ὀστῶν καὶ ὑμένων, νεύρων καὶ μυῶν, φλεβῶν καὶ ἀρτηριῶν συνίστανται[x]· τρεφόμενα τῇ καταλλήλων[y] τροφῇ, ὡς ἤδη εἴρηται· ἔχει δὲ τὸ σῶμα ἡμῶν διαστάσεις τρεῖς· μῆκος· βάθος· πλάτος· τὸ δὲ συνέχον καὶ συνάπτον[z] αὐτὸ, ἐπιφάνεια λέγεται, παρὰ τὸ ἐπιφαίνεσθαι· καὶ ταῦτα μὲν ὡς ἐν συνόψει εἰρήσθω· κατὰ μέρος δὲ περὶ ἑκάστου λεχθήσεται μορίου, καὶ κρᾶσις, καὶ ἐνέργεια, καὶ χρεία.

ΚΕΦ. Α.

Περὶ τῆς Κεφαλῆς καὶ τῶν ταύτης ὀστῶν καὶ ῥαφῶν· καὶ περὶ Ἐγκεφάλου.

Ἐπεὶ δὲ πρώτη τῶν ἐν ἡμῖν μελῶν ἡ κεφαλὴ ἐστὶν, ὡς τῶν αἰσθήσεων ἐργαστήριον[a], καὶ τὸ ὑψηλότατον καὶ ὑπερεξέχον[b] μέρος τοῦ σώματος, καὶ τὸ τιμιώτατόν τε καὶ κυριώτατον ἐν ᾗ τὸ ἡγεμονικὸν τῆς ψυχῆς βασιλεύει, ἀναγκαῖον κατ' αὐτῆς[c] ἄρξασθαι, καὶ τὴν δύναμιν, μᾶλλον δὲ σύνεσιν καὶ σόφιαν τοῦ δημιουργοῦ καὶ Θεοῦ ἡμῶν κατασκέψασθαι, καὶ εἰπεῖν[d]· "Μέγας

[s] μέλος A. [t] μεμερεῖσθαι B. [u] συνίστανται B. [v] οἷον om. B. [w] διορισμένα B. [x] συνίσταται B. [y] καταλλήλῳ B.C. [z] συνάπτων B. [a] τῶν αἰσθ. ὂν ἐργ. B. [b] ὑπερέχον B.C. [c] ἐκ ταύτης B.C. [d] πεῖν A.

" ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ, καὶ τῆς συν- " έσεως αὐτοῦ οὐκ ἔστιν ἀριθμός."

Ἀρχὴν δὲ τὸν τοῦ θαυμασίου πατρὸς ἡμῶν Βασιλείου ποιησώμεθα λόγον· φησὶ γὰρ ἐκεῖνος[e]· "Τὴν κεφαλὴν ἐπὶ τὸν " ὑψηλότατον θεὶς τοῦ σώματος τόπον[f] ἐν αὐτῇ τὰς πλείστων " ἀξίας τῶν αἰσθήσεων καθιδρύσατο· ἐκεῖ ὄψις, καὶ ἀκοὴ, καὶ " γεῦσις, καὶ ὄσφρησις· πᾶσαι ἐγγὺς ἀλλήλων κατῳκισμέναι· " καὶ οὕτω περὶ βραχὺ χώριον στενοχωρούμεναι, οὐδὲν ἑκάστη " παρεμποδίζει τῇ ἐνεργείᾳ τῆς γείτονος[g]."

Εἴρηται δὲ κεφαλὴ παρὰ τὸ κάρφεσθαι, ὅ ἐστι ξηραίνεσθαι· ξηρὰ γὰρ καὶ ὀστώδης ἐστί· τινὲς δὲ κελυφὴν αὐτὴν λέγουσι, διὰ τὸ σκέπειν καὶ καλύπτειν τὸν ἐγκέφαλον· οἱ δὲ ἀπὸ τῆς κυφότητος· τὸ γὰρ περιαγὲς[h] καὶ περιφερὲς κῦφον λέγεται· οἱ δὲ κάραν λέγουσιν, οἷον κέρα, ἀπὸ τοῦ τετριχῶσθαι· κέρα[i] γὰρ ἡ θρίξ· ἢ κράτα ἀπὸ τοῦ κράτος, ὡς[k] ἐνταῦθα τοῦ ἡγεμονικοῦ τυγχάνοντος· ἢ κράνιον παρὰ τὸ κραίνειν καὶ βασιλεύειν τοῦ ἄλλου σώματος· ἢ διὰ τὸ κρέμασθαι[l] ἐκεῖ τὸν ἐγκέφαλον.

Ἔστι δὲ ὁ ἐγκέφαλος λευκὸς, μαλθακὸς, ὥσπερ ἐξ ἀφροῦ τινὸς πεπηγὼς[m], ὑγρὸς, καὶ ψυχρός· λέγεται δὲ ἐγκέφαλος παρὰ τὸ ἐγκεῖσθαι τῇ κεφαλῇ καὶ τῇ κάρᾳ· ἢ οἷον ἔγκρανος[n], διὰ τὸ ἐγκεῖσθαι ἰδιώτερον τῷ κρανίῳ[o]· ἔστι δὲ ἄναιμος παντέλως καὶ ἄφλεψ· ἥδεται δὲ ταῖς θερμαῖς καταστάσεσι μᾶλλον ἢ ταῖς ψυχραῖς· ἐν αἷς καὶ διυγραινόμενος τὰς μύξας διὰ τῶν ῥινῶν ἀποκρίνει· μύξα γάρ ἐστιν ἀποκάθαρμα τοῦ ἐγκεφάλου[p], ὅπερ[q] κουφίζεται τὸ ἡγεμονικὸν τῆς ψυχῆς μέρος· ἐν αὐτῷ γὰρ ἱδρύσθαι φασί· μύξα δὲ εἴρηται παρὰ τὸ ἐκ μυκτῆρος[r] ἀποκρίνεσθαι· λέγεται δὲ ὁ ἐγκέφαλος καὶ μυελὸς, οἷον μυχελὸς, ἀπὸ τοῦ ἐν μυχῷ εἰλῆσθαι, ὅ ἐστιν αὐλίζεσθαι· ἢ διὰ

[e] hic C. primi cap. divisionem ponit A.B. nullam. [f] τόπων B.C. [g] τὴν ἐνέργειαν τοῦ γ. B. [h] περιεργὲς A. hæc om. C. [i] κέρας B.C. [k] ὡς om. B. [l] κρέμεσθαι A. [m] πεπηγὸς B. [n] ἔγγρανος B. [o] his caret C. [p] τοῦ ἐγ. ἀποκ. B. [q] ὥσπερ A. κουφίζει C. [r] ἐκ τοῦ μ. B.

τὸ λεῖος εἶναι, ἢ ἐν μεμυκότι ὀστέῳ τυγχάνειν· οἱ δὲ σκέποντες τοῦτον ὑμένες μήνιγγες λέγονται, διὰ τὸ μένειν ἐν αὐταῖς τὸν ἐγκέφαλον.

Ἔχει δὲ ἡ κεφαλὴ σχήματα δύο· τό τε κατὰ φύσιν, καὶ τὸ φοξόν· καὶ τὸ μὲν κατὰ φύσιν προμήκει μάλιστα σφαίρᾳ προσέοικεν[s]· προπετέστερον δὲ ὑπάρχει εἴς τε τὸ πρόσω[t] καὶ τοὐπίσω, τρεῖς ἔχει τὰς πάσας ἐν αὐτῷ[u] ῥαφάς· τὴν στεφανιαίαν· τὴν λαμβδοειδῆ[v]· καὶ τὴν κατὰ μῆκος· αὐτὸ δὲ τὸ τῶν τριῶν ῥαφῶν σχῆμα τῷ η ὡμοίωται[w] γράμματι· τὸ δὲ φοξὸν, τῆς μὲν ὄπισθεν ἀπολλυμένης ἐξοχῆς, καὶ ἡ λαμβδοειδὴς[x] ῥαφὴ συναπόλλυται· τῆς δὲ ἔμπροσθεν, ἡ στεφανιαία διασώζεται· ὥστε τὸ τῶν σωζομένων ῥαφῶν σχῆμα τῷ ταῦ γράμματι παραπλήσιον εἶναι· καὶ ταῦτα μὲν ἐπὶ τῶν ἀῤῥένων· τὸ δὲ θῆλυ, μίαν ἔχει καὶ μόνην ῥαφὴν κυκλοτερῶς περιαγομένην, καὶ περιγράφουσαν τὸ κρανίον· ἐκ τούτου γὰρ τοῦ σημείου ἐν τοῖς τάφοις τὰ τῶν ἀνδρῶν καὶ γυναικῶν διακρίνεται[y] κρανία.

Εἴρηται δὲ τισὶ τῶν πατέρων, ὅτι αἱ τρεῖς ῥαφαὶ τῆς κεφαλῆς τοῦ ἄῤῥενος τὴν τρισυπόστατον δηλοῦσι θεότητα, Πατρός· Υἱοῦ· καὶ Ἁγίου Πνεύματος· ὑφ᾽ ὧν, ἐνσυμφυΐα καὶ ταυτοβουλία διεπλάσθη, καὶ πρὸς τὰ ἄνω βλέπειν κατεσκευάσθη[z]· τὸ δὲ πρὸς ἓν συνάπτεσθαι πάλιν τὰς τρεῖς[a], τὴν οὐσιώδη καὶ φυσικὴν ἑνότητα, καὶ τὸ ἓν κράτος ἐξεικονίζει τῆς μιᾶς κυριότητος· ἡ δὲ ἐπὶ τῆς κεφαλῆς τοῦ θήλεος μία ῥαφὴ κυκλικὴ, τὴν περιεκτικὴν καὶ συνεκτικὴν τοῦ παντὸς κυκλοτεροῦς κόσμου μοναδικὴν δεσποτείαν· καὶ τῆς μιᾶς καὶ θεοπρεποῦς δυνάμεως ἀπειρίαν συμβολικῶς παρεμφαίνει καὶ παραδείκνυσι· καὶ καθάπερ ἐπὶ τῆς νοητῆς φύσεως τοῦ ἀνθρώπου τρία καθ᾽ ἑκατέραν εὕρηνται διοργάνωσιν, τοῦ ἄῤῥενος λέγω καὶ τῆς[b] θήλεος· νοῦς, λόγος, καὶ πνεῦμα· οὕτως καὶ ἐπὶ τῆς αἰσθητῆς αὐτοῦ φύσεως.

[s] προμ. σφαίρᾳ προσ. μαλ. B. [t] τὸ πρόσωπον A. [u] ἑαυτῷ A. [v] λαμβοειδῆ B. λεμβοειδῆ C. [w] ὁμοίωται B. ὁμοιοῦται C. [x] λαμβοειδὴς B. λεμβοειδὴς C. [y] διακρίνονται B. [z] ὑφ᾽ ὧν ἐνσυμφ. πρὸς ἓν συνάπτεσθαι· καὶ πάλιν A. [a] τὰ τρία B. [b] τοῦ B.

Τῆς οὖν κεφαλῆς τὸ μὲν ἔμπροσθεν αὐτῆς μέτωπον λέγεται· οἷον ὑπέρωπον, τὸ ὑπεράνω τῶν ὠπῶν, ἤγουν τῶν ὀφθαλμῶν· τὸ δὲ μικρὸν ἀνωτέρω, βρέγμα[c]· ὅτι δίυγρος καὶ ἁπαλός ἐστιν ὁ κατ' ἐκεῖνο τὸ μέρος ἕως πολύ[d]· τὸ δὲ μέσον κορυφὴ, ὅτι τοῦ κάρα ἐστὶν ὀροφή· τὸ δὲ ὄπισθεν ἰνίον[e], ἀπὸ τοῦ ἐν τῇ καταβάσει τῆς κορυφῆς[f] κάτω ἰέναι· ἢ ἀπὸ τοῦ ἐντεῦθεν ἄρχεσθαι τὰς ἶνας, ἤγουν τὰ νεῦρα· αἱ δὲ ἶνες τοῦ εἶναι τὲ καὶ συνεστάναι παρέχουσι τῷ σώματι[g]· ἐπειδήπερ ἵενται διὰ τοῦ σώματος· τοιοῦτον δέ ἐστι καὶ τὸ,

οὐ γὰρ ἔτι σαρκές τε καὶ ὀστέα ἶνας ἔχουσι. (Od. Λ. 218.)

Τὰ δὲ πρὸς μήνιγγας ἔνθεν κακεῖθεν κρόταφοι λέγονται, ὅτι κρούουσι τὴν ἀφὴν βαλλόμενοι[h], οἷον κρούταφοι· ἢ ὅτι τῆς κόρσεως ἅπτονται· κόρσις δὲ ἡ κεφαλὴ, παρὰ τὸ κορυφοῦσθαι· ἢ ἀπὸ τοῦ κείρεσθαι, ἐξ οὗ καὶ κορσωτὴρ, ὁ τὰς τριχὰς ἀποκείρων.

Τὸ δὲ περὶ τὴν κεφαλὴν ἅπαν ὀστοῦν διηρημένον ἐστὶν ὑπὸ ἐμβολίμων ῥαφῶν καθ' ὃν εἴρηται τρόπον· δι' ὧν τὰ περὶ τὸν ἐγκέφαλον διαχωρίζονται διπλοσύνθετα ὀστᾶ, καὶ ἡ παρεγκεφαλὶς[i], ἣν καὶ παρακρανίδα[k] καλοῦσιν· ἣν μόνην ἔχειν τὸν ἄνθρωπον λέγουσιν ὑπὲρ πάντα τὰ ζῶα· ὡς εἶναι ἓξ ὀστᾶ τῆς κεφαλῆς χωρὶς τοῦ σφηνοειδοῦς· πρόσω μὲν τὸ μέτωπον, ὄπισθεν δὲ τὸ ἰνίον· ἑτέρωθεν[l] δὲ τῶν ὤτων τὰ δύο λιθοειδῆ λεγόμενα· εἰς δὲ τὸ ὑψηλότερον μέρος τὰ δύο βρέγματα, ἅπερ ἔχουσι κοινὴν ῥαφὴν τὴν κατὰ μῆκος εὐθεῖαν· τούτων δὲ τῶν ἓξ ὀστῶν, τὰ μὲν τοῦ βρέγματος χαυνότατά τε[m] καὶ ἀσθενέστατα εἰσί· πυκνότατον δὲ καὶ ἰσχυρότατον τὸ κατ' ἰνίον[n] μέσον δὲ ἀμφοῖν, τὸ κατὰ μέτωπον· τῶν δὲ λιθοειδῶν ὀστῶν τὸ μέν τι[o] μέρος λιθοειδές ἐστι, τὸ δὲ ὀστῶδες μανόν· ἡ δὲ παρεγκεφαλὶς ὁμοφυής ἐστι καὶ ὁμόχροια· ἄλλη δὲ ῥαφὴ ἡ ἐπάνω τοῦ βρέγματος διερχομένη, καὶ πρὸς τὰ πεταλώδη ὀστᾶ

[c] βέγμα A. [d] πολλοῦ C. [e] ἰνίον B.C. ἠνίον A. [f] τῇ ἀπὸ τῆς κορυφῆς B. [g] τοῖς σώμασι παρέχ. B. [h] λαβόμενοι B. τὴν κεφαλὴν παλλόμενοι C. [i] παραγκεφ· καὶ ἣν A. (αλ) [k] παρεγκρανίδα C. [l] ἑκατέρωθεν B. ἑκάτερον C. [m] ἐστι B. [n] τὸ ἰνίον B. [o] μέντοι B.

τῶν κατὰ τὰ ὦτα κειμένων ἀποτελευτῶσα, καὶ πρὸς τὴν κορυφὴν ἐπισχιζομένη, σταυροειδῶς ἐκεῖσε διατυποῦται· αἱ δὲ τοιαῦται ῥαφαὶ τὰς κάτωθεν ἀνερχομένας ἐκ στομάχου καὶ γαστρὸς ἐξατμίζουσιν ἀναθυμιάσεις[p].

Περιείληπται δὲ ὁ ἐγκέφαλος ὑπὸ δύο ὑμένων· ὁ μὲν γὰρ ὑπέστρωται αὐτῷ[q], ὁ δὲ ἐπίκειται· ὃ καὶ δικτυῶδες[r] πλέγμα παρὰ τῶν ἰατρῶν λέγεται· περιπλέκεται οὖν τὸ ὀστοῦν ἅπαν ὁ περικράνιος[s] λεγόμενος μῦς· τούτους δὲ τοὺς μῦας[t] καὶ μήνιγγας καλοῦσι.

Καὶ ὅρα ὧδε σοφίαν δημιουργοῦ, διατί[u] μὴ διὰ μιᾶς μήνιγγος τὸν ἐγκέφαλον περιεφύλαξεν, ἀλλὰ διὰ δύο· καὶ τούτων ἐνηλλαγμένων ἐχουσῶν[v] τὴν οἰκείαν διάθεσιν· ἡ μὲν γάρ ἐστι παχεῖα, ἡ δὲ λεπτή· εἰ γὰρ μὴ οὕτως αὐτὸν ἐν ταύταις ἐνείλησέ[w] τε καὶ περιέσφιγξε, καὶ οἷον διεσπαργάνωσεν, ἔμελλεν ἀνιᾶσθαι ὑπὸ τῆς τοῦ ὀστοῦ προσψαύσεως, τραχυτέρου[x] ὄντος καὶ σκληροτέρου· διὰ τοῦτο μεταξὺ[y] τοῦ ὀστοῦ καὶ τοῦ ἐγκεφάλου τὴν λεπτὴν ἔθηκε μήνιγγα· ἀλλὰ αὐτὴ[z] ἡ μήνιγξ τῆς μὲν τοῦ ἐγκεφάλου οὐσίας[a] ὀλίγον ἐστὶ σκληροτέρα, τοῦ δὲ ὀστοῦ ὑπάρχει μαλακωτέρα· ἔμελλεν οὖν καὶ αὐτὴ πάσχουσά τι ὑπὸ τῶν ἔξωθεν, ἄγειν τὸν ἐγκέφαλον εἰς συμπάθειαν.

Διὰ τοῦτο ἐποίησεν ἐν τῷ μέσῳ ἄλλην μήνιγγα παχυτέραν· τοῦ μὲν ἐγκεφάλου κατὰ πολὺ ὑπάρχουσαν σκληροτέραν, τοῦ δὲ ὀστοῦ πάλιν μαλακωτέραν· ὥς τε τὸν ἐγκέφαλον μεσολαβεῖσθαι ὑπὸ τῆς λεπτῆς καὶ παχείας μήνιγγος· ὁμιλεῖν δὲ τὴν μὲν λεπτὴν τῷ ἐγκεφάλῳ, τὴν δὲ παχεῖαν τῷ ὀστῷ· ὥστε ἧττον ὑπ᾽ αὐτοῦ πάσχειν· ἡ δὲ λεπτὴ μῆνιγξ περιλαμβάνει τὸν ἐγκέφαλον οὐ μόνον ὅλον, ἀλλὰ καὶ τὰ μέσα αὐτοῦ· καὶ ἐν τῷ παντὶ μεσολαβοῦσα περικρατεῖ τὴν οὐσίαν αὐτοῦ· ὥς τε μὴ διολισθαίνειν καὶ διαῤῥεῖν διὰ τὴν φυσικὴν ὑγρότητα· καθ-

p hic Cod. C. orditur secundum caput. περὶ ἐγκεφάλου καὶ μηνίγγων καὶ διατί σφαιροειδὴς ἡ κεφαλὴ κεφαλαῖον β^ον^. q αὐτοῦ B. r δυκτιῶδες B. s ὅπερ κράνιος A. t ὑμένας B. u διατί γὰρ B. v ταύταις ἐνηλλαγμέναις ἐχούσαις A. ταύτας ἐνηλλαγμένας ἐχούσας B. w ἐνείλισε B. x παχυτέρου A. y καὶ μέσου ἤτοι μεταξὺ B. z καὶ αὐτὴ B. a οὐσίας τοῦ ἐγκεφ. B.

ἅπερ γὰρ ὁρῶμεν ὅτι καὶ ἐπὶ τῶν ῥοιῶν ὑμένες διαφράττουσι τοὺς κόκκους, καὶ ὅλην αὐτὴν περιλαμβάνουσι[b] τὴν ῥοιὰν, οὕτως καὶ ἐπὶ τοῦ ἐγκεφάλου καὶ τῆς εἰρημένης μήνιγγος ἔστιν ἰδεῖν· τοῦτο καὶ ἐπὶ τοῦ λεγομένου κρανίου ἔστι[c] σκοπῆσαι· ὀστοῦν δέ ἐστι τοῦτο, τὴν τοῦ πολεμικοῦ κρανίου ἀπομιμούμενον θέσιν τὲ καὶ χρείαν· ὥσπερ γὰρ ἐκεῖνο κυκλοτερές τέ ἐστι, καὶ τὴν ὅλην ἀσφαλίζεται κεφαλὴν, οὕτως καὶ τὸ κρανίον καὶ αὐτὸ κυκλοτερὲς ὂν, τὸν ἐγκέφαλον ἀσφαλίζεται· ὅθεν καὶ αὐτῆς τῆς προσηγορίας[d] ἔτυχεν.

Οὐδὲ τοῦτο οὖν ἐξ ἑνὸς ὀστοῦ κατεσκεύασεν, ἀλλ' ἐκ διαφόρων ὀστῶν, καὶ οὐ κεχωρισμένων ἀλλήλων, ἀλλὰ συνημμένων, καὶ οἷον κεκρηπιδωμένων[e]. εἰ ἦν γάρ[f] ἐξ ἑνὸς ὀστοῦ, πρῶτον μὲν συνέβαινε τοῦ ἑνὸς αὐτοῦ μέρους πάσχοντος, εἰς ὅλην τὴν κεφαλὴν διαδοθῆναι τὴν βλάβην, διὰ τὴν συνεχείαν τοῦ ὀστοῦ[g]· ἔπειτα καὶ τὰς τοῦ ὅλου σώματος ἀναθυμιάσεις ἐπὶ τὴν κεφαλὴν ἀναφερομένας, ὡς ἐν ὑψηλοτάτῳ κειμένην[h] τόπῳ, συνέβαινε μὴ διαφορεῖσθαι· καὶ εἰργομένων αὐτῶν, καὶ προτιθεμένων τῇ κεφαλῇ τῶν περιττωμάτων, πλείστων νόσων αἰτίαν[i] γίνεσθαι τῷ ἐγκεφάλῳ τὰς ἀναθυμιάσεις· διὰ ταῦτα συνημμένων τῶν ὀστῶν ὄντων, ἐγένοντο αἱ ῥαφαὶ, καθὼς πρότερον εἴρηται, τὰ περιττὰ ἐξωθοῦσαι, καὶ τὴν κεφαλὴν σὺν τῷ ἐγκεφάλῳ διατηροῦσαι ἀπήμονα.

Ἡ μὲν οὖν μικρὰ κεφαλὴ, μοχθηρᾶς ἐγκεφάλῳ[k] κατασκευῆς ἴδιον σημεῖον· οἱ γὰρ τὰς μικρὰς ἔχοντες κεφαλὰς οὐ δύνανται τὰς αὐτὰς[l] ἐπιτελεῖν ἐνεργείας, ἃς ἐπιτελοῦσιν οἱ μεγάλας ἔχοντες· ἐπειδὴ γὰρ ὁ ἐγκέφαλος πάσας ποιεῖται τὰς ἐνεργείας τοῦ σώματος, αὐτὸς γάρ ἐστιν ὁ διὰ τῶν αἰσθήσεων ἐνεργῶν, ὥσπερ εἴπομεν ἀνωτέρω· αὐτὸς ὁ κινῶν πάντα τὰ τοῦ σώματος μόρια· καὶ γὰρ εἰ καὶ δακτύλου ἄκρον ἐν ποσὶ κινοῖτο[m], ὁ ἐγκέφαλος τοῦτο ἐκίνησε· ποιεῖται γὰρ[n] ταῦτα διὰ

[b] περιλαμβάνει B. [c] ἔνεστι B. [d] ταύτης ἔτυχε τῆς προσηγ. B. [e] κρηπιδωμένων B. [f] εἰ γὰρ ἦν B. [g] τ. ὀστ. συνεχ. B. [h] κειμένη B. [i] αἰτίας B.C. [k] ἐγκεφάλου B.C. [l] αὐτῶν B. [m] ἐν τῷ ποδὶ κινεῖται B. [n] δὲ B.C.

τοῦ ψυχικοῦ πνεύματος, δεῖται δηλονότι[o] πολὺ τούτου· πολὺ δὲ οὐκ ἂν χωρήσειεν εἰς μικρότατον ὄργανον· ἀλλ' ἀνάγκη σμικρὰν οὖσαν τὴν τῆς κεφαλῆς εὐρυχωρίαν, καταπνίγεσθαι καὶ κατασβέννυσθαι τὸ ψυχικὸν πνεῦμα, καὶ σὺν τούτῳ τὰς[p] ὑπ' αὐτοῦ γινομένας ἐνεργείας· πλὴν ἡ μὲν μικρὰ κεφαλὴ ἀεὶ μοχθηρὰ, ἡ δὲ μεγάλη οὐκ ἀεὶ ἀγαθή· ἀλλὰ ποτὲ μὲν χρηστὴ, ποτὲ δὲ οὐ χρηστή· φύσει λέγω, ἀλλ' οὐκ ἐκ νόσου ἐπερχομένη[q]· εἰ μὲν οὖν ἐγένετο διὰ πλῆθος[r] ὕλης χρηστῆς καὶ ῥωμὴν[s] τῆς ἐγχωρίου δυνάμεως, ἡ τοιαύτη εὖ ἔχει κατὰ φύσιν· εἰ δὲ διὰ πλῆθος ὕλης ἐνίκησε τὴν μικρὰν, τηνικαῦτα ἔσται μοχθηρὰ καὶ νοσώδης, καὶ ταῦτα διὰ τὸν ἐγκέφαλον γεγοννῖα· πρὸς γὰρ τὸ περιεχόμενον καὶ ἡ τοῦ περιέχοντος φύσις[t] κατεσκευάσθη.

Καὶ ὅρα κηδεμονίαν δημιουργοῦ, καὶ μάλιστα ὧδε πρὸς τὸν ἐγκέφαλον· καὶ ὅσην αὐτῷ ἐχαρίσατο τὴν ἀσφάλειαν· οὐ γὰρ ἠρκέσθη τῇ τῶν εἰρημένων μυῶν, ἤγουν[u] μηνίγγων περιοχῇ καὶ σπαργανώσει, καὶ τῇ τοῦ λεγομένου κρανίου ὀστοῦ[v] περιβολῇ τὸν ἐγκέφαλον περιφρουρεῖσθαι[w] καὶ περισκέπεσθαι, ἀλλὰ καὶ δέρματι[x] ἔξωθεν μετὰ τῶν τριχῶν διεσκέπασεν· ἵνα μὴ ἐν ταῖς μεταβολαῖς τῶν ἀέρων βλάπτηται καὶ ἀνιᾶται· ταῖς θριξὶ γὰρ ὠρόφωται[y] ἡ κεφαλή· καὶ ἐκροὰς ὅτι πλείστας ὡς κυρίως ἐποίησεν ἔχειν, ἵνα μὴ τὰ περιττώματα γενόμενα[z] πλείστων αὐτῷ συμπτωμάτων αἴτια γένηται[a].

Ὥσπερ τοίνυν ἐπὶ τῆς γαστρὸς βλέπομεν, καὶ διαγινώσκομεν τὴν ἐνέργειαν αὐτῆς ἐκ τῶν περιττωμάτων· καὶ εἰ μὲν πεπεμμένα[b] ἐστὶ τὰ διαχωρήματα, λέγομεν τὴν γαστέρα καλῶς πέττειν· οὕτως καὶ ἐπὶ τοῦ ἐγκεφάλου ἐκ τῶν περιττωμάτων αὐτοῦ τὰς ἐνεργείας γνωρίζομεν· πρὸς γὰρ ταῖς ἀνωτέρω εἰρημέναις ῥαφαῖς, καθαίρεσθαι αὐτὸν καὶ διὰ μυκτήρων καὶ

[o] δῆλον ὅτι A. [p] καὶ τὰς B. [q] ἐπερχομένης B.C. [r] πλήθους A. [s] ῥωμῆς B. [t] θέσις B. om. C. [u] καὶ B. [v] ὀστ. κραν. B. [w] φρουρεῖσθαι B. [x] δέρμασιν αὐτὸν B. [y] διὰ τοῦτο ὀρόφωται B. διὸ καὶ τ. θριξὶν ὀροφοῦται C. [z] στεγόμενα B. συστελλόμενα C. [a] γίνηται B. γίνονται C. [b] πεπεμένα B.

ὤτων καὶ ὀφθαλμῶν, καὶ τοῦ λεγομένου τρήματος, ὃ χώνην τινὲς ὠνόμασαν ἀπὸ τῆς πρὸς ἐκείνην ὁμοιώσεως, ὁ τῆς φύσεως ἐμηχανήσατο κύριος· χώνην δὲ τὸ τρῆμα λέγουσιν, ἐπειδὴ ἀπὸ εὐρυτέρας βάσεως ἀρχόμενον, εἰς στενοχωρότερον τελευτᾶ πόρον.

Ἐπεὶ δὲ καὶ μύες πολλοὶ κατὰ τὴν κεφαλὴν καὶ κατὰ τὸν ἐγκέφαλον εἰσὶ, μᾶλλον δὲ καὶ κατὰ παντὸς τοῦ σώματος, εἴπωμεν τὴν τούτου[c] ἐνέργειαν καὶ χρείαν[d] οἵαν τῷ ἡνιόχῳ ὁ χαλινὸς ἐν τῷ ἅρματι· ὥσπερ γὰρ ἐπ᾽ ἐκεῖνο ἐστὶ μὲν ὁ ἡνίοχος, εἰσὶ δὲ καὶ ἡνίαι, καὶ μετὰ τὰς ἡνίας ὁ χαλινὸς, ἠρτημένος[e] μὲν ἀπὸ τῶν ἡνίων, συνδεδεμένος δὲ τοῖς ἵπποις· εἰσὶ δὲ καὶ αὐτοὶ οἱ ἵπποι· οὕτως καὶ ἐπὶ τοῦ ἡμετέρου σώματος· ἡνιοχεῖ μὲν αὐτὸ ὁ ἐγκέφαλος, ἡνίαι[f] δὲ αὐτοῦ τὰ νεῦρα· χαλινοὶ δὲ αὐτοῦ οἱ μύες· ἵπποι δὲ τὰ λοιπὰ μόρια· καὶ ὁ μὲν ἐγκέφαλος πρῶτος ταῖς ἡνίαις χρώμενος, ἢ παράγει[g] τὸ σῶμα παρὰ τὰ πλάγια, ἢ εἰς τουπίσω ἀναχαιτίζει, ἢ πρόσω ἐπιτρέπει φέρεσθαι· ὁ δὲ χαλινὸς ἑπόμενος ταῖς ἡνίαις, κατὰ συμβεβηκὸς ἕπεσθαι ποιεῖ τὰ μόρια τῷ πρώτῳ πρῶτον κινοῦντι[h]· οὐκοῦν οἱ μύες χρείαν χαλινοῦ τῷ ἐγκεφάλῳ παρέχουσιν· ἐνέργειαν δὲ ποιοῦνται τὴν κινητικήν.

Ὁ δὲ νωτιαῖος λεγόμενος μυελὸς, ἀπόῤῥοια τίς ἐστι τοῦ ἐγκεφάλου· καὶ οἷον ἀπὸ πηγῆς τινὸς ῥύακα μιμεῖται προϊόντα· τῆς μὲν πηγῆς αὐτῆς εἰ τύχοι περιφερὲς ἐχούσης σχῆμα[i], τοῦ δὲ ῥύακος εἰς μῆκος ἐκτεινομένου· ἐπεὶ οὖν[k] ὁ νωτιαῖος οὗτος τοῦ ἐγκεφάλου μοῖρα τίς ἐστι, περιέχεται δὲ ἐν ὀστοῖς, ἤγουν ἐν τοῖς σπονδύλοις τῆς ῥάχεως, ἀνάγκη καὶ τοὺς σπονδύλους τοιούτους ἀπὸ τῆς φύσεως γεγενῆσθαι, οἷος καὶ ὁ μυελός· καὶ διὰ τοῦτο καὶ κοινωνίας μετέχειν αὐτὸν φυσικῆς μετὰ τῶν ὀστῶν· πρὸς γὰρ τὴν τοῦ περιεχομένου φύσιν, καὶ τὸ περιέχον αὐτὸ[l] δημιουργεῖται.

[c] τούτων B. [d] οἷον μετὰ τοῦ ἐγκεφάλου ποιοῦνται· τοιαύτην γὰρ χρείαν τῷ ἐγκεφάλῳ παρέχουσιν B.C. [e] ἠρτιμένος B. [f] ἡνία B. [g] περιάγει B.C. [h] τῷ πρώτως κιν. B. τῷ πρῶτος κιν. C. [i] τὸ σχ. B.C. [k] γοῦν B. ἐπειδὴ C. [l] αὐτὸ om. B.

Καὶ ὅρα πῶς ἅπαντα τὰ τοῦ σώματος ὀστᾶ πρὸς τοῦτον ἔχει τὴν οἰκειότητα· τῶν γὰρ σπονδύλων ἁπάντων ἡ σύνοδος, τὴν ἀρχὴν ἐκ τῆς ῥάχεως ἐποιήσατο· ἥτις τὴν αὐτὴν ἀναλογίαν τῷ ἡμετέρῳ σώματι φυλάττει, ὁποίαν καὶ ἡ τρόπις τῆς νηὸς πρὸς τὰ εἰς αὐτὴν ἐμβαλλόμενα ξύλα· ὥσπερ γὰρ πρὸς ἐκείνην ἀνάγκη πάντα τὰ ξύλα εἶναι· καὶ εἰ μὲν ἡ τρόπις μεγάλη εἴη, μεγάλα καὶ τὰ ξύλα· εἰ δὲ μικρὰ, ὁμοίως καὶ τὰ ξύλα· οὕτως ἔχει καὶ κατὰ τὴν ῥάχιν· καὶ[m] ὡς ἂν ἔχῃ αὐτὴ, καὶ αἱ πρὸς αὐτὴν διηρθρωμέναι πλευραὶ ἕξουσι, καὶ αἱ[n] ὠμοπλάται· πρὸς δὲ τὰς[o] ὠμοπλάτας βραχίων τὲ, καὶ πῆχυς, καὶ κερκὶς, καὶ τὰ τῆς ἄκρας χειρὸς ὀστέα· καὶ πάλιν πρὸς τὴν ῥάχιν ἐστὶ τὰ τῆς λαγόνος ὀστᾶ, πρὸς ἃ διήρθρωται ὁ μηρός· καὶ πρὸς ἐκεῖνον ἡ κνήμη τε καὶ ἡ περόνη· καὶ πρὸς ταύτας[p] τὰ τοῦ ποδὸς ὀστέα· ἐντεῦθεν αὐτοῖς καὶ ἡ κίνησις δίδοται διὰ νεύρων καὶ μυῶν ἐξ ἐγκεφάλου· καὶ τούτων κινουμένων κατὰ τὴν μεγάλην βουλὴν τοῦ Θεοῦ[q] καὶ πρόνοιαν.

Μῦες δὲ λέγονται παρὰ τὸ μύειν ἐν ταῖς οἰκείαις ἐνεργείαις· συστελλόμενοι γὰρ, καὶ ἐπὶ τὴν οἰκείαν ἀρχὴν ἀνατρέχοντες, διὰ τῆς συστολῆς κινοῦσι τὰ ὑπ' αὐτῶν κινούμενα μόρια· τινὲς δὲ λέγουσιν, ὅτι μυοειδεῖς εἰσὶ, καὶ εἰς λεπτὰ[r] ἀποτελευτῶσιν· ὡς ἐμφερείαν ἔχειν πρὸς τὴν οὐρὰν τοῦ ζώου[s] τοὺς μύας[t]· καὶ γὰρ τὰ νεῦρα τὴν ὀνομασίαν ἔσχε παρὰ τοῦ νεύειν πρὸς ἑαυτά· τὸν αὐτὸν δὲ τρόπον καὶ αὐτὰ τοῖς μυσὶν ἐνεργεῖ· μᾶλλον δὲ οἱ μύες τῶν νεύρων· παρὰ οὖν τὸ νεύειν νεῦρον, καὶ παρὰ τὸ μύειν μύες· οὐκ ἔστι δὲ ἁπλῆ ἡ τῶν μυῶν οὐσία, ἀλλὰ σύνθετος ἔκ τε ἰνῶν καὶ σαρκώδους οὐσίας· τῶν δὲ ἰνῶν, αἱ μὲν ἀπὸ τῶν νεύρων εἰσὶν, αἱ δὲ ἀπὸ τῶν συνδέσμων, οἷς ἐνύφανεν ἡ φύσις τὴν σαρκώδη οὐσίαν· καὶ διὰ τὸ μὴ βλάπτεσθαι ῥαδίως, ἀλλ' ὡς ἐπὶ στοιβῆς ἀναπαύεσθαι· καὶ ἵνα ἐν τοῖς ἀμέτροις κινήσεσιν αὐχμηρότεραι γενόμεναι καθυγραίνωνται[u], καὶ τὴν ἐκ τῶν σαρκωδῶν δέχωνται παραμυθίαν.

[m] καὶ om. B. [n] οἱ B.C. [o] τοὺς B.C. [p] ταύταις B. [q] τ. Θ. βουλὴν B. [r] λευτὰ B. [s] πρὸς τὰς μύας τὰ ζῶα A. [t] post μύας add. ἔστι δὲ ἄλογον B. [u] καθυγραίνονται B.

Ζητοῦσι δέ τινες διατί τὸ τῆς κεφαλῆς σχῆμα σφαιροειδὲς ἐστὶ, καὶ μὴ μᾶλλον τετράγωνον, ἢ ὀξύγωνον, ἢ τρίγωνον, ἢ κωνοειδές· καὶ λέγομεν τούτου τρεῖς αἰτίας[v]· μίαν μὲν, ὅτι τὸ τοιοῦτον σχῆμα δυσπαθέστερον ἐστὶ τῶν ἄλλων σχημάτων· ὅσα γὰρ ἔχει γωνίας, ἑτοίμως τοῖς ἔξωθεν ἐναντίοις ἀπαντῶσι, καὶ ἐντυγχάνονται ῥᾶον[w] καὶ θραύονται ὑπ' αὐτῶν· δεύτερον[x] δὲ, ὅτι ἀποδέδεικται τοῖς γεωμέτραις τὰ κυκλικὰ σχήματα τῶν ἰσοπεριμέτρων σχημάτων ἁπάντων, τριγώνων, καὶ τετραγώνων, καὶ πολυγώνων[y], πολυχωρότερα ὄντα· ἡ πρόνοια οὖν εἰδυῖα ὅτι ἡ κεφαλὴ τὸν ἐγκέφαλον ἔχειν ὀφείλει[z], καὶ μήνιγγα μετ' αὐτοῦ παχεῖάν τε καὶ λεπτὴν, καὶ τὸ δικτυῶδες[a] πλέγμα, καὶ τὰς τῶν νεύρων ἑπτὰ συζυγίας, καὶ τὰ τῶν αἰσθήσεων οἰκητήρια· ὀφθαλμούς· ὦτα· ῥῖνας· καὶ τὰ ἔσω τοῦ στόματος, καὶ τὰς ἄλλας κοιλότητας, ἃς κοιλίας λέγουσι· καὶ πνεῦμα ψυχικὸν ψυχικαῖς ἐνεργείαις ὑπηρετούμενον, εἰκότως τῇ κεφαλῇ σχῆμα τοιοῦτον[b] ἐπλέξατο· ἡ δὲ τρίτη αἰτία Πλάτωνος ἐστὶ φλυαρία ἐν τῇ πρὸς Τίμαιον· φησὶ γάρ[c]· "Ἐπειδὴ ἔμελλεν ἡ "φύσις μύριον ποιεῖν ψυχῆς τε καὶ νοῦ οἰκητήριον, ἵνα μὴ "ξενίζηται κατιοῦσα ἀπὸ κυκλοτεροῦς τοῦ οὐρανοῦ εἰς ἀνόμοιον "οἴκημα εἰσιοῦσα, ὅμοιον τοῦ οὐρανοῦ σχῆμα αὐτῇ κατειρ"γάσατο·" τοῦτο δὲ εἴρηκεν ὁ φιλόσοφος τὴν μετεμψύχωσιν δογματίζων, καὶ τὴν ψυχὴν ἐν τῷ ἡγεμονικῷ οἰκεῖν, καὶ μὴ ἐν ὅλῳ τῷ σώματι φλυαρῶν.

Ἡμεῖς δὲ λέγομεν ὅτι κυκλοτερὲς σχῆμα τὸ τῆς κεφαλῆς ὑπάρχει, οὐ μόνον διὰ τὸ εὐπρεπές· τὰ γὰρ σφαιροειδῆ τῶν ἀντρώδων οἰκημάτων κρείττονα τῶν κατὰ μῆκος εἰς θεωρίαν· ἀλλὰ καὶ διὰ τὸ κατ' εὐθὺ τῆς τοῦ νοὸς ἐνεργείας· ἔδει γὰρ τὸ ὑπερκείμενον τοῦ σώματος ὅλου μέρος κυκλοτερὲς τὲ εἶναι, καὶ τὰ τῆς ἀρχῆς ἐκεῖθεν γνωρίζεσθαι· ἵνα ὥσπερ ἄριστος κυβερνήτης ὁ νοῦς ἐπὶ τῶν οἰάκων καθήμενος, πηδαλιουχῇ τὸ σῶμα ἅπαν καὶ διασώζῃ· ὡς ἐξ ἑτοίμου ἔχων καὶ τὰς αἰσθήσεις·

[v] αἰτ. τρεῖς B. [w] ἀπαντῶντα καὶ ἐντυγχάνοντα, ῥᾶον B. ἀπαντῶντα ῥᾶον θραύονται C. [x] δευτέραν B. [y] πολυγόνων B. [z] ὀφ. ἔχ. B. [a] δυκτυοειδὲς B. [b] τὸ τοιοῦτον B. [c] καὶ γὰρ ἐν τῷ π. T. φησὶ B.

καθώς φησιν ὁ μέγας Βασίλειος[d]· *“ Ἐκεῖ ὄψις, καὶ ἀκοὴ, καὶ “ ὄσφρησις καὶ γεῦσις·” καὶ πάλιν· “ ὀφθαλμοὶ μὲν γὰρ τὴν “ ὑψηλοτάτην σκοπιὰν κατειλήφασιν· ὡς μηδὲν αὐτοῖς τὴν*[e] *“ τῶν τοῦ σώματος μορίων θέσιν ἐπιπροσθεῖν· ἀλλὰ μικρᾷ τινι “ προσβολῇ τῶν ὀφρύων ὑπερκαθήμενοι, ἐκ τῆς ἄνωθεν ἐξοχῆς “ πρὸς τὸ εὐθὺς ἀποτείνονται*[f]*.” καὶ ταῦτα μὲν περὶ τῆς κεφαλῆς.*

ΚΕΦ. Β.

Περὶ τῶν Ὀφθαλμῶν.

Ἐπεὶ δὲ ἔξεστιν ἡμῖν κατὰ πᾶν ἡμῶν μέλος τοῦ δημιουργοῦ Θεοῦ τὴν σύνεσιν ἐκπλήττεσθαι καὶ θαυμάζειν, εἴδωμεν[g] *μετὰ τὴν κεφαλὴν καὶ τὰς τῶν ὀφθαλμῶν συνθέσεις, καὶ ἐνεργείας, καὶ χρείας, καὶ ὀνομασίας· καὶ τὸν ἀριθμὸν τῶν χιτώνων· καὶ τῶν ὑγρῶν τὴν ποσότητα· καὶ τὰ οὐσιωδῶς ὑπάρχοντα τῷ ὀφθαλμῷ· καὶ τὰ κατὰ συμβεβηκὸς αὐτῷ προσγινόμενα· οὐσιωδῶς*[h] *μὲν οὖν αὐτοῦ ἐστὶν ἡ κράσις ψυχρὰ ἢ θερμὴ, ξηρὰ ἢ ὑγρά· καὶ ἐν τοῖς ὁμοιομερέσιν αὐτοῦ μαλακὸν ἢ σκληρὸν, τὸ εὐκίνητον ἢ δυσκίνητον· ἐν ὅλῳ δὲ τῷ ὀργάνῳ ἡ κατὰ μέγεθος ἀμετρία ἢ συμμετρία· ἡ*[i] *κατὰ τὴν διάπλασιν αὐτοῦ εὐρυθμία καὶ ἀρυθμία· καὶ πρὸς τούτοις τῶν ἐνεργειῶν ἀρετή τὲ καὶ κακία.*

Διαγινώσκονται δὲ εἰ θερμοὶ εἰσὶν ἢ ψυχροὶ, οὕτως· εἰ μὲν γὰρ θερμότης ᾖ[k] *ἐν αὐτοῖς, εὐρύφλεβοι οἱ τοιοῦτοι*[l]*, καὶ φανερὰς αὐτὰς ἔχουσιν· εἰ δὲ ψυχρότης, οὐ φανερὰς, ἀλλὰ κερυμμένας· τὴν δὲ ξηρότητα τῶν ὀφθαλμῶν καὶ ὑγρότητα διαγνωσόμεθα ἀπό τε τοῦ σκληρὸν ἢ αὐχμηρὸν, ἢ μαλακὸν τὲ καὶ ὑγρὸν εἶναι τὸν ὀφθαλμόν· καὶ ὁ μὲν ὑγρὸς καὶ ὁ*[m] *μαλακὸς εὐδιάγνωστός ἐστιν· ὁ δὲ σκληρὸς καὶ αὐχμηρὸς οὐ σφόδρα· οὐκ οὖν ἐκ τῆς ἔξωθεν*[n] *βασάνου διαγινώσκεται· πολλοὺς γὰρ ὁρῶμεν μὴ δυναμένους ἐν καπνῷ στῆναι*[o]*, ἀλλὰ δακρύοντας*

[d] κ. ὁ μ. φησὶ Βασ. B. [e] τὴν et mox θέσιν om. B. [f] posteriora ex ἀλλὰ usque ad ἀποτείνονται om. A.C. [g] ἴδωμεν C. [h] οὐσιώδης B.C. [i] καὶ ἡ B. [k] εἴη B. [l] τοιοῦτοι εἰσὶν B. [m] ὁ om. B. [n] ἔξω B. [o] ὁρ. ἐν κ. στῆν. μὴ δυν. B.

πολλά· ἄλλους δὲ σφόδρα πρὸς τὸν καπνὸν ἀντιτείνοντας· καὶ εἰσὶν οἱ μὲν πρῶτοι, ὑγροί τε καὶ εὐπαθεῖς· οἱ δὲ δεύτεροι, σκληροί τε καὶ δυσπαθεῖς· ταῦτα οὐσιώδη[p] σημεῖα τῶν ὀφθαλμῶν· τὰ δὲ ἀπὸ συμβεβηκότων ὧδε· ὁ[q] τοίνυν ὀφθαλμὸς, ἢ μέγας ἐστὶν ἢ μικρός· καὶ ἢ εὔρυθμος ἢ ἄρυθμος· ἀλλ' εἰ μὲν εἴη μέγας σὺν εὐρυθμίᾳ, δηλοῖ καὶ πλῆθος ὕλης καὶ εὐκρασίαν αὐτῆς· εἰ δὲ μέγας μὲν εἴη ἀλλὰ ἄρυθμος, σημαίνει πλῆθος μὲν ὕλης ἀλλὰ μοχθηρᾶς, καὶ δυνάμεως ἀσθένειαν· καθὰ καὶ περὶ τῆς κεφαλῆς εἴρηται· εἰ δὲ μικρὸς εἴη καὶ εὔρυθμος, σημαίνει ἔνδειαν μὲν ὕλης, εὐχρηστότητα δέ[r]· εἰ δὲ μικρὸς εἴη καὶ ἄρυθμος, σημαίνει καὶ ἔνδειαν ὕλης, καὶ δυνάμεως ἀτονίαν· ταῦτα περὶ τῆς τοῦ ὀφθαλμοῦ κράσεως, καὶ σχήματος, καὶ μεγέθους.

Ζητήσωμεν δὲ καὶ τὰς τῶν διαφόρων ἐν αὐτῷ χρωμάτων[s] αἰτίας· ὁρῶμεν γὰρ τοὺς μὲν μέλανας ἔχοντας ὀφθαλμοὺς, τοὺς δὲ γλαυκούς· τοὺς δὲ χαροπούς[t]· δεῖ τοίνυν εἰδέναι ὅτι ὁ ὀφθαλμὸς καὶ πολλοῖς ὀνόμασι ὀνομάζεται, καὶ ἐκ πλειόνων σύγκειται μορίων· τὸ μὲν[u] ὑγρῶν, τὸ δὲ[v] χιτώνων[w]· καὶ ἵνα τούτων εἴπωμεν τά τε ὀνόματα, καὶ τὸν ἀριθμὸν, καὶ τὰς ἐκφύσεις[x], καὶ τὰς χρείας, καὶ τὰς ἐνεργείας, ἐντεῦθεν ἀρξώμεθα.

Δεῖ εἰδέναι ὅτι ἀπὸ τοῦ ἐγκεφάλου ἐκφέρεται[y] δύο νεῦρα τὰ ὀπτικὰ προσαγορευόμενα· πρῶτον μὲν γὰρ ταύτῃ τῇ αἰσθήσει πέμπει ὁ ἐγκέφαλος νεῦρα· ἔπειτα δὲ καὶ τῷ παντὶ σώματι· διαφέρει δὲ ταῦτα τῶν ἄλλων νεύρων· ὅτι τὰ μὲν ἐν τῷ παντὶ σώματι[z] ναστά τέ ἐστι καὶ ἀκοίλια· τὰ δὲ τῶν ὀφθαλμῶν αὐλοειδῆ καὶ τετρημένα[a], ἵνα σωλήνων δίκην τὸ ὀπτικὸν πνεῦμα παρὰ τὸν ὀφθαλμὸν[b] ὀχετεύωσι· ταῦτα τοίνυν ἐμβάλλονται εἰς τὰς λεγομένας θαλάμους[c] τῶν ὀφθαλμῶν· θάλαμος δὲ λέγεται τὸ ἔσω τοῦ ὀφθαλμοῦ, ἐν ᾧ οἱ χιτῶνες ἑνοῦνται,

[p] τὰ οὐσ. B. [q] ὁ om. A. [r] εὐχρηστοτάτης δὲ B. [s] χρημάτων A. [t] χαρωπούς B. [u] τῶν μὲν B. [v] τῶν δὲ B. [w] χιτόνων A. [x] φύσεις B. [y] φέρονται B.C. [z] διαφέρει usque ad σώματι om. A. mox male ῥᾶστα. [a] τετριμμένα B. [b] τοὺς ὀφθαλμοὺς B. [c] θαλάμας B.

καὶ αὐτὸ τὸ φῶς ἐνοικεῖ· παρὰ γὰρ τὸ θάλπειν γίνεται θάλπαμος[d] *καὶ θάλαμος· ἐξ οὗ καὶ οἱ νέοι θαλαμεύονται· δεῖ γὰρ θάλλοντα τὰ σώματα ἔχοντας εἰς ταυτὸν*[e] *συνιέναι, καὶ*[f] *μὴ ἀποβεβηκότας· καὶ γὰρ Ἡσίοδος φησὶ,*

ὡραῖος δὲ γυναῖκα[g] (Opp. II. 313.)
θάλαμος[h] *εἰς ὥραν ἔχε.*

Διασχίζεται[i] *δὲ τὰ νεῦρα εἰς τὰς θαλάμους, ὥσπερ εἴτις λαβὼν πάπυρον, ταύτην εἰς λεπτὰ κατατεμὼν διασχίζει, ἀναπλέκει τὲ πάλιν, καὶ ποιεῖ χιτῶνα τὸν λεγόμενον ἀμφιβληστροειδῆ, ὅμοιον ἀμφιβλήστρῳ*[k]*· ὄργανον δὲ τοῦτο θηρευτικὸν ἰχθύων· μετὰ τοῦτον δὲ τὸν χιτῶνα ἔστι δεύτερος χιτὼν λεγόμενος ῥαγοειδής, ὅτι ῥαγγὶ σταφυλῆς ἔοικε κατὰ τὸ σχῆμα· καὶ καθάπερ ἐπὶ τῆς σταφυλῆς ὁρῶμεν τὰ μὲν ἔσω δασύτερα, τὰ δὲ ἔξω λεῖα, οὕτως καὶ ἐπὶ τοῦ ῥαγοειδοῦς ἐστὶν ἰδεῖν· ἐκπέφυκε δὲ οὗτος ἐκ τῆς λεπτῆς προσαγορευομένης μήνιγγος· ἐκ δὲ τῆς παχείας ὁ κερατοειδής· ὠνόμασται δὲ οὕτως, διὰ τὸ παρεμφέρειν*[l] *τοῖς κέρασι, κατά τε τὸ χρῶμα· λευκὸν γάρ ἐστι· καὶ ὅτι εἰς κτηδόνας*[m] *ἀναλύεται ὥσπερ ἐκεῖνα· καὶ ὅτι μιμεῖται τὴν ἐκείνων διαφοράν· ὁ δὲ ἐπιπεφυκὼς*[n] *ἀπὸ τοῦ κρανίου*[o] *λεγομένου ὑμένος ἔχει τινὰ ἔκφυσιν· ἤτοι ἀρχὴν ἔχει*[p] *ἀπὸ τινὸς μοίρας τῆς παχείας μήνιγγος ἐξιούσης διὰ τῶν εἰρημένων τοῦ ἐγκεφάλου ῥαφῶν, τῆς*[q] *στεφανιαίας, καὶ τῆς λαμβδοειδοῦς*[r].

Ἔστι δὲ ἡ χρεία τῶν εἰρημένων χιτώνων τοιαύτη· ὁ ἀμφιβληστροειδής, στήριγμά ἐστιν ἔνδοθεν τοῦ παντὸς σώματος τοῦ ὀφθαλμοῦ· ὁ δὲ ἐπιπεφυκὼς ἔξωθεν· μεταξὺ δὲ τούτων εἰσὶν, ὁ μὲν κερατοειδὴς πρὸς τῷ ἐπιπεφυκότι ἔξω· ὁ δὲ ῥαγοειδὴς πρὸς τῷ ἀμφιβληστροειδεῖ ἔσω[s].

Χρεία δὲ τοῦ μὲν ῥαγοειδοῦς, ἵνα κατ᾽ αὐτοῦ τοῦ τρήματος

[d] *θάλπιμος* B.C. [e] *αὐτὸν* B.C. [f] *καὶ* om. A. [g] *γυναῖκα* B. *γυναικῶν* A. [h] postrema om. A. citatione omni caret C. [i] *διασχίζονται* B. [k] his caret B. [l] *παρεμφαίνειν* B. [m] *κτιδόμας* A, [n] *ἐπιπεφυκὸς* B. [o] *περικρανίου* B.C. [p] *ὃς τὴν ἀρχ. ἔχ.* B.C. [q] *τῆς τε* B. [r] *λαμβοειδοῦς* B. *λεμβοειδοῦς* C. [s] *ἔξω* B.

τῆς κόρης γένηται· δι' οὗ τὸ ὀπτικὸν ἔξεισι φῶς· συμβάλλεται δὲ καὶ ἄλλως περιθάλπων τὸ κρυσταλλοειδὲς[t] ὑγρόν· διὸ καὶ δασὺς ἔνδοθεν ἐγένετο καὶ σπογγώδης, ἵνα μήτι λυμάνηται τῆς κόρης· ἀλλὰ καὶ διὰ τὸ δυνηθῆναι φλέβας[u] ὑποδέξασθαι πλείονας[v]· εἶτα ἐπειδὴ τοιοῦτος ὢν ἔμελλεν ἐμποδίζειν τῷ ὀπτικῷ πνεύματι[w] εἰς τὸ ἐξιέναι, διὰ τοῦτο τέτρηται ἔξωθεν, καὶ[x] πυκνός ἐστι, πρὸς τὸ μὴ συγχωρεῖν διαφορεῖσθαι τὸ πνεῦμα· ἀλλὰ καὶ κατὰ τὸ χρῶμα παραμυθεῖται τὰς ἐκ τῶν ἀμέτρων διακρίσεων καὶ συγκρίσεων βλαβὰς, τῷ[y] μέλας τὲ ἅμα[z] εἶναι καὶ λευκός· διακρίνεται γὰρ ὑπὸ τῶν ἀγὰν λευκῶν· συγκρίνεται δὲ ὑπὸ τῶν ἀγὰν μελανῶν· τοῦ δὲ κυανοῦ ᾗ καὶ ἑκατέρου[a] μετέχων χρώματος εἰς συμμετρίαν ἀνάγει[b] τὸν ὀφθαλμὸν καὶ παραμυθεῖται.

Ὁ κερατοειδὴς δὲ ἐγένετο, ἵνα σφίγγῃ καὶ ἀποφράττῃ τὸ στόμα τῆς κόρης, ἵνα μὴ δι' αὐτὸ τὰ ὑγρὰ ἐκχέοιντο· ἀλλ' ἔμελλεν ἐμποδίζειν τῷ ὀπτικῷ πνεύματι[c] καὶ οὗτος πρὸς τὸ ἐξιέναι· διὰ τοῦτο μάλιστα ἐδεήθη ἐκ διαφανεστάτης οὐσίας τὸν κερατοειδῆ γενέσθαι· καὶ ὥσπερ ὁρῶμεν ὅτι τῶν κερατίνων ἔνδοθεν φανῶν περιεχόμενος ὁ λύχνος τὸ φῶς τὸ οἰκεῖον ἔξω πέμπει, μηδὲν ἐμποδίζοντος τῷ λύχνῳ τοῦ σώματος· οὕτω κἀνταῦθα ὁ κερατοειδὴς διαφανὴς ὢν, οὐκ ἐμποδίζει τὸ ὀπτικὸν πνεῦμα διεξιέναι· διὰ ταυτὴν τὴν αἰτίαν καὶ ὁ ἐπιπεφυκὼς οὐ πάντα περιλαμβάνει τὸν κερατοειδῆ, ἀλλὰ κυκλῷ περισφίγγων αὐτὸν, καὶ περιλαμβάνων, μοίραν τινὰ αὐτοῦ κυκλοτερῆ ἀφίησιν· ἵνα δι' αὐτῆς ἐξακοντίζῃ τὸ ὀπτικὸν πνεῦμα· ὅτι δὲ καὶ ὁ κερατοειδὴς φύσει λευκός ἐστι, δῆλον ἐκ τοῦ παχυνόμενον αὐτὸν λευκαίνεσθαι· παχύνεται δὲ ἐν τοῖς λευκώμασι· φαίνεται δὲ ὅμως μέλας, οὐ διὰ τὴν οἰκείαν φύσιν, ἀλλ' ὅτι ὑποκείμενος αὐτῷ ὁ ῥαγοειδὴς, νοθεύει αὐτοῦ τὸ χρῶμα· εἰσὶν οὖν οἱ δύο μὲν λευκοὶ, ἤγουν ὁ κερατοειδὴς καὶ ὁ ἐπιπεφυκώς· μέλα-

[t] κρυσταλοειδὲς A.B.C. [u] καὶ φλέβ. B. [v] πλείους B. [w] τὸ ὀπτικὸν πνεῦμα B.C. [x] δὲ B. [y] τὸ B. [z] ἅμα om. B. [a] τὸ δὲ κυανοῦν ὑπὸ ἑκατ. B. τοῦ δὲ κυανοῦ ὑπὸ ἑκατέρων C. [b] ἄγει B. [c] τὸ ὀπτικὸν πνεῦμα B.C.

νες δὲ οἱ δύο· ὅ τε ἀμφιβληστροειδὴς, καὶ ὁ ῥαγοειδής· περὶ μὲν[d] τῶν χιτώνων τῆς τε ἐκφύσεως, καὶ τοῦ ἀριθμοῦ, καὶ τῆς χρείας αὐτῶν, καὶ τῆς ὀνομασίας αὐτάρκως εἴρηται.

Εἴπωμεν δὲ[e] περὶ τῶν ἐν αὐτοῖς ὄντων ὑγρῶν· εἰσὶ δὲ τὰ τοῦ ὀφθαλμοῦ ὑγρὰ τὸν ἀριθμὸν τρία· καὶ πρῶτον μέν ἐστι τὸ ὑελῶδες· ὃ καὶ[f] κατὰ τὸ μέσον ἔγκειται τοῦ ὀπτικοῦ πόρου· ὅθεν αἱ διεσπαρμέναι ἶνες ποιοῦσι τὸν ἀμφιβληστροειδῆ· καλοῦσι δὲ ὑελῶδες τοῦτο τὸ ὑγρὸν, ὅτι περ[g] παραπλήσιόν ἐστιν ὑέλῳ, κατά τε τὸ χρῶμα καὶ κατὰ τὴν σύστασιν· μετ' ἐκεῖνο δέ ἐστι τὸ λεγόμενον κρυσταλλοειδὲς[h] ὑγρόν· καὶ ἔχει αὐτοῦ τὴν ὀνομασίαν παρὰ τὸ ἐοικέναι κρυστάλλῳ[i]· κρύσταλλος[k] δέ ἐστι πεπηγὸς ὕδωρ· ἔοικε δὲ τούτῳ κατά τε τὸ χρῶμα καὶ κατὰ τὴν σύστασιν· συμβάλλει δὲ τὸ ἥμισυ[l], καὶ οἷον ἐμπέπαρται τὸ ὑελῶδες ὑγρὸν μετὰ τοῦ κρυσταλλοειδοῦς[m]· ἔστι δὲ καὶ τρίτον ὑγρὸν ἐν τῷ ὀφθαλμῷ· καὶ καλεῖται ὠοειδὲς, παρὰ τὸ ἐοικέναι τῷ λεπτῷ καὶ λευκῷ τοῦ ὠοῦ· χρεία δέ ἐστι τοῦ ὑελώδους διττή· καὶ γὰρ καὶ ὑπέστρωται τῷ κρυσταλλοειδεῖ[n], καὶ τρέφει αὐτό· τὸ δὲ ὠοειδὲς ἐπιτέγγει τὲ τὸ κρυσταλλοειδὲς[o], συνεχῶς ὑπὸ τῶν ἐνεργειῶν ξηραινόμενον· ἀλλὰ μὴν καὶ πρόβολος[p] αὐτοῦ γίνεται· ὥστε μὴ ἀμέσως αὐτὸ τῷ πέριξ ὁμιλῶν ἀέρι βλάπτεσθαι ὑπ' αὐτοῦ· ἔστι δὲ τοῦτο τὸ ὠοειδὲς λεπτὸν καὶ ἀερῶδες, ὡς μὴ ἐμποδίζειν τῷ ὀπτικῷ πνεύματι φερομένῳ παρὰ τὴν κόρην· τὸ δὲ κρυσταλλοειδές[q] ἐστι μεσαίτατον περιλαμβανόμενον, ὑπὸ τῶν δύο ὑγρῶν καὶ τῶν λοιπῶν εἰρημένων χιτώνων· καὶ αὐτὸ ἐστὶ τὸ ἀντιλαμβανόμενον καὶ τῶν πρωτουργῶν μορίων[r] τῆς ὀπτικῆς δυνάμεως.

Τὸ δὲ ὀπτικὸν πνεῦμα τὸ ἐν τοῖς ὀφθαλμοῖς, ἀπὸ ἐγκεφάλου[s] φέρεται ἐν αὐτοῖς, καὶ διττὴν ἀποτελεῖ τὴν χρείαν· μίαν μὲν, ἵνα πληροῖ τὸν ὀφθαλμὸν καὶ ὄγκον ἀπεργάζηται· καὶ

[d] μὲν οὖν B. [e] δὲ λοιπὸν καὶ B. [f] καὶ om. B. [g] ὅτι κεχυμένῳ B.C. [h] κρυσταλοειδὲς A.B.C. [i] κρυστάλῳ A.B.C. [k] κρύσταλος Codd. [l] συμβάλλεται δὲ τούτου τὸ ἥμισυ B. [m] κρυσταλοειδοῦς A. σκληροειδοῦς B. [n] κρυσταλοειδεῖ Codd. [o] κρυσταλοειδὲς Codd. [p] ὁ πρόβ. B. [q] κρυσταλοειδὲς Codd. [r] τὸ πρωτουργὸν μόριον B. [s] ἀπ' ἐγκεφάλου B.

πλείστην ποιῇ τὴν διάστασιν· ὡς ἂν μὴ δι' ὀλίγου[t] τῷ πέριξ ἀέρι τὸ ὠοειδὲς ὑγρὸν ὁμιλῇ[u]· δευτέραν δὲ, ἵνα ἐξακοντιζομένου[v] ἐκ τῆς κόρης γινώσκωμεν μακρόθεν τὰς τῶν αἰσθητῶν σωμάτων ἰδέας τε καὶ χρείας· καὶ ἵνα ὁ ὀφθαλμὸς ἀλλοιῇ ταῦτα, καὶ διαπορθμεύηται παρὰ τὸ κρυσταλλοειδὲς[w] ἡ τούτων χροιά· καὶ[x] ἐπικρίνει δὲ ταῦτα ὡς βασιλεὺς ὁ ἐγκέφαλος· πλὴν καὶ τοῦτο δεῖ εἰδέναι, ὅτι οἱ μικρὰν ἔχοντες τὴν κόρην τοῦ ὀφθαλμοῦ ἐκ γενετῆς, οὗτοι[y] μᾶλλον τυγχάνουσιν ὀξυωπέστεροι τῶν τὰς μεγάλας ἐχόντων· ἐπειδὴ τὸ πνεῦμα τὸ ὀπτικὸν ἐξ αὐτῆς μετὰ ῥύμης ἐξακοντιζόμενον, καὶ μηδαμοῦ χεόμενον, ὅπερ συμβαίνει ἐπὶ τῆς μεγάλης κόρης, ἀκριβῶς ἀντιλαμβάνεται τῶν αἰσθητῶν, καὶ τῶν πόῤῥω κειμένων.

Ἴδωμεν δὲ πῶς γίνεται τὸ μέλαν χρῶμα, καὶ τὸ γλαυκὸν, καὶ τὰ λοιπὰ πάντα. Τὸ τοίνυν γλαυκὸν χρῶμα γίνεται κατὰ μὲν γένος διὰ δύο αἰτίων· κατὰ δὲ εἶδος διὰ τέσσαρας· κατὰ γένος μὲν οὖν, διὰ τὸ κρυσταλλοειδὲς, καὶ τὸ ὠοειδὲς ὑγρόν· κατ' εἶδος δὲ, κατὰ μὲν τὴν ὠώδη[z] ὑγρότητα μοναχῶς· κατὰ δὲ τὸ κρυσταλλοειδὲς τριχῶς· τὸ γὰρ ὠῶδες ἢ πολύ ἐστιν, ἢ ὀλίγον· καὶ ἢ καθαρὸν, ἢ τεθολωμένον· εἰ μὲν οὖν πολύ ἐστι τὸ ὠῶδες ὑγρὸν, ποιεῖ τὸν γλαυκὸν ὀφθαλμὸν, καὶ ὀλίγη γίνεται ἡ παρ' αὐτοῦ ἔκλαμψις, διότι βαθύνεται τὸ κρυσταλλοειδὲς ὑγρὸν καὶ ἡ κόρη· τοῦτο δὲ καὶ ἐπὶ λίμνης ὑδάτων ἴδης[a] γινόμενον· τὰ γὰρ ἐν βάθει αὐτῆς ὁρᾷν οὐ δυνάμεθα· οὐ μὴν οὐδ' εἰ τεθολωμένον εἴη, ἐπιτήδειόν ἐστι δέξασθαι χρῶμα τὸ οἱονοῦν· τοῦτο γὰρ καὶ τὰ θολερὰ τῶν ὑδάτων ποιοῦσι καὶ ἰλυώδη[b], μὴ συγχωροῦντα τὰς ἀκτῖνας τοῦ φωτὸς δι' αὐτῶν διέρχεσθαι καθαρῶς· ὥς τε ὅσον ἐπὶ τὸ ὠοειδὲς ᾖ ὁ ὀφθαλμὸς, τοσοῦτον καὶ γλαυκός ἐστι· δεῖ οὖν καὶ ὀλιγότητος τούτῳ[c] καὶ καθαρότητος· διὰ δὲ τὸ κρυσταλλοειδὲς γίνεται γλαυκὸς ὁ ὀφθαλμὸς, ὅτι φύσει λαμπρόν ἐστι, καὶ καταλάμπει ὅλον τὸν ὀφθαλμόν· ἢ λαμπρὸν μὲν οὐκ ἔστιν ἐνίοτε τὸ ὑγρὸν, μέγα δέ· καὶ διὰ τὸ

[t] μηδ' ὀλίγου A. [u] ὁμιλεῖ B. [v] ἐξακοντιζόμενον B. [w] κρυσταλοειδὲς Codd. [x] καὶ om. B. mox ἐπικρίνῃ τε. [y] οὗτοι γὰρ A. [z] ὠόδη B. [a] ἴδοις B.C. [b] ἰυλυώδη A. [c] τούτου B.

μέγεθος τὴν αὐτὴν πάλιν ποιεῖται ἔκλαμψιν, καὶ γλαυκὸς γίνεται ὁ ὀφθαλμός· ἢ οὔτε μέγα ἐστὶ τὸ ὑγρὸν, οὔτε μικρόν· ἐνδέχεται δὲ προπετῆ τὴν θέσιν εἶναι τῶν ὀφθαλμῶν[d], καὶ διὰ τοῦτο δείκνυσθαι τὸν ὀφθαλμὸν γλαυκὸν καὶ προπετῆ· εἰ μὲν οὖν ἅπαντα ταῦτα παρῇ[e], γλαυκὸς γίνεται ὁ ὀφθαλμός· εἰ δὲ ἐναντία τούτων, γίνεται μέλας· εἰ δὲ τινὰ μὲν παρῇ[f], τινὰ δὲ μὴ, αἱ μέσαι τούτων πᾶσαι γίνονται διαφοραὶ τῶν ὀφθαλμῶν· πολυφωτότατος δέ ἐστι τοῦ μέλανος ὀφθαλμοῦ ὁ γλαυκός· ὅτι αἱ λεπτότεραι καὶ λευκότεραι καὶ διειδέστεραι τῶν οὐσιῶν, πρῶται τῆς εἰσρεούσης αἴγλης τοῦ ἡλίου ἀποπληρούμεναι τὸ κατὰ πᾶν ἑαυτῶν ὑπερεχόμενον φῶς, καὶ εἰς τὰς μετ' αὐτὰς ἡλιωδῶς[g] οὐσίας ἐποχετεύουσιν[h].

Ἐπεὶ οὖν τὰ περὶ τῶν ὀφθαλμῶν ἐρευνῶντες ἐξεθέμεθα τὰ οὐσιωδῶς αὐτοῖς ὑπάρχοντα, καὶ τὰ κατὰ συμβεβηκὸς προσγινόμενα· καὶ τὰς τῶν χιτώνων ἐκφύσεις, καὶ τὰς ὀνομασίας αὐτῶν, καὶ τὸν ἀριθμόν· καὶ πῶς ὁ μὲν ἀμφιβληστροειδὴς, καὶ ὁ ἐπιπεφυκὼς, καὶ ὁ ῥαγοειδὴς ἔχουσι φλέβας· ὁ δὲ κερατοειδὴς ἄφλεβός ἐστι· καὶ τὰς χρείας αὐτῶν ἐσαφηνίσαμεν· καὶ τῶν ὑγρῶν τὴν ποσότητα, καὶ τὰς χροίας, καὶ ἐνεργείας· καὶ ποῦ μὲν κεῖται τὸ ὑελοειδὲς, ποῦ δὲ τὸ ᾠοειδές· καὶ περὶ τοῦ ὀπτικοῦ πνεύματος ἐδιδάξαμεν, ὅτι ἐκ τοῦ ἐγκεφάλου ὁρμᾶται· καὶ τὴν αἰτίαν, ὅτι διττὴν ταύτην ποιεῖται· εἰ γὰρ καὶ ἐν πᾶσι τοῖς μορίοις τοῦ σώματος ἀεὶ πνεῦμα περιέχεται φυσικῶς ἐν αὐτοῖς διὰ τὴν χρείαν γεννώμενον[i], ἀλλ' ἐν τοῖς ὀφθαλμοῖς ὁ ἐγκέφαλος αὐτὸ χορηγεῖ διὰ τὰς εἰρημένας αἰτίας· καὶ ὅτι τὰ εἰρημένα πάντα διὰ τὴν τοῦ ὅλου ὀργάνου ὑπηρεσίαν[k] γινόμενα, τὰ μὲν τέγγει, τὰ δὲ τρέφει, τὰ δὲ περιέχει, τὰ δὲ ἀσφαλίζεται, τὰ δὲ τὴν κορυφὴν φυλάττει· σοφῶς καὶ εὐτέχνως, καὶ θαυμαστῶς τὴν ὑπέρσοφον σοφίαν τοῦ Θεοῦ ἄξιον ἐκπλαγῆναι· καὶ συνετῶς μετὰ τοῦ προφητοῦ ἐπεύξασθαι· "φύλαξόν με Κύριε ὡς κόρην ὀφθαλμοῦ·" οἶμαι γὰρ καὶ τὸν

d ἔχειν τὸν ὀφθαλμὸν B. e παρεὶ[η] A. παρείη C. f παρεὶ[η] A. παρείη C. g sic Codd. h μετοχετεύουσιν B. i γενόμενον B. k a διὰ usque ad ὑπηρ. om. B.

προφήτην τὴν τοσαύτην αὐτοῦ ἀσφαλείαν κατανοήσαντα τοῦτο εἰπεῖν.

Ἴδωμεν οὖν καὶ τὸν ὅρον τῶν ὀφθαλμῶν, καὶ τὰς ὀνομασίας αὐτῶν, καὶ τὰς παραγωγάς· ὀφθαλμοί φησιν εἰσὶν οἱ συνεστῶτες ἐκ τεσσάρων χιτώνων, καὶ ὑγρῶν διαφερόντων τριῶν· νευρώδεις· αἰσθητικοὶ τῶν ὑποκειμένων χρωμάτων, καὶ μεγεθῶν, καὶ σχημάτων[l]· οὐ μόνον δὲ ὀφθαλμοὶ λέγονται, ἀλλὰ καὶ φάη κατὰ τὸν ποιητὴν, καὶ ὄμματα, καὶ ὄσσε[m], καὶ ὦπες· καὶ ὀφθαλμοὶ μὲν, ἀπὸ τοῦ ὀφθῆναι παρέχειν ἅπαντα ἐξ ὧν ἐνάλλεται ἡ ὄψις· ἢ ὠπῶν θάλαμοι· φάη δὲ, ὅτι ἐξ αὐτῶν φῶς προέρχεται· ἢ ὅτι φωτὸς εἰσὶ κριτικοὶ καὶ δεκτικοί· καὶ Ὅμηρος·

κῦσε δέ μιν κεφαλὴν καὶ ἄμφω φάεα καλά. (Od. Π. 15.)

ὄμματα δὲ, ὅτι δι' αὐτῶν τὸ ὁρατικὸν ὁρμᾶται[n] πνεῦμα· οἷον αἵματα[o] καὶ ὄμματα· ἐπειδὴ δι' αὐτῶν ἀφίεται καὶ ἀκοντίζεται τὸ ἐν τοῖς ὀφθαλμοῖς πνεῦμα· οἱ δὲ Αἰολεῖς ὤπατα[p] λέγουσι παρὰ τοὺς ὦπας· λέγονται καὶ παρὰ τῷ ποιητῇ ὄσσε[q], παρὰ τὴν ὑπὸ τὰ κείμενα ἔσιν[r], καὶ τὴν ἐπ' εὐθὺ[s] βολήν· καὶ Ὅμηρος·

ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐΐκτην[t]· (Il. A. 104.)

καὶ πάλιν·

κείνου γὰρ τοιοίδε πόδες[u], τοῖαι δέ τε χεῖρες,
ὀφθαλμῶν τε βολαί· (Od. Δ. 150.)

λέγονται δὲ ὀπαὶ παρὰ τὸ ὀπὴ, ὀπὴ δέ ἐστι κυρίως τόπος τετρημένος, ἀφ' οὗ τις δύναται ὀπίσασθαι καὶ περιβλέψασθαι· ὡς τὸ,

θεοῦ δ' ἐποπίζεο μῆνιν (Od. E. 146.)

ἀντὶ τοῦ προόρα· ἡ δὲ κόρη τῶν ὀφθαλμῶν, καὶ γλήνη λέγεται καὶ ἴλη· κόρη μὲν, οἷα[v] χόρη, ἐκ τοῦ δι' αὐτῆς χεῖσθαι τὸ ὁρατικὸν πνεῦμα· ἴλη δὲ, ἀπὸ τῆς εἰλήσεως[w] καὶ τῆς ἐπὶ τὰ κάτω φορᾶς· γλήνη δὲ, παρὰ τὸ τὸν νοῦν γαληνοῦσθαι· τῆς γὰρ δια-

[l] καὶ ὄγκων add. C. [m] ὄσσαι B. [n] ὁρᾷ A. [o] νέματα B. [p] ὄππατα B. [q] ὄσσαι B. [r] π. τ. ἐπὶ τὰ ὑποκείμενα ἔσιν B. [s] ἐπευθὺ B. [t] pr. cit. om. B. [u] γάρ τοι οἱ πόδες A. [v] οἷον B. [w] εἰλύσεως A.

θέσεως τοῦ νοῦ δεικτικοὶ[x] οἱ ὀφθαλμοί· ἢ ἀπὸ τοῦ λεύσσειν, ὅ ἐστι λάμπειν· καὶ Ὅμηρος,

ἔρρε κακὴ γλήνη· (Il. Θ. 164.)

τὰ λευκὰ τῶν ὀφθαλμῶν λέγει· ὁ ἐπιπεφυκὼς δὲ χιτὼν, λογάδες καλεῖται[y] παρὰ τῷ ποιητῇ· "λοξῶν," φησὶ, "τὰς λογάδας[z]." ὁ δὲ Καλλίμαχος,

οὔτις εὐλήρους
αὐγάζειν καθαραῖς οὐ δύναται λογάσι[a].

λέγονται δὲ[b] καὶ δέργματα[c]· δέρξεις γὰρ αἱ βλέψεις ἀπὸ τῶν βλεπομένων, καὶ τῆς ἐνεργείας τοῦ δέρκεσθαι· οἷον τὸ βλεπόμενον[d] διέρχεσθαι· διαφέρει δὲ ὄψις ὁράσεως, ὅτι ἡ μὲν ὅρασις, ὁρισίς[e] τις εἶναι δοκεῖ· ἡ τοὺς ὅρους, τουτέστι τὰ πέρατα τῶν σωμάτων καταλαμβάνουσα· ἡ δὲ ὄψις, ἄψις τίς ἐστι, καὶ ψαῦσις τῶν ὁρατῶν κατανόησιν ποιουμένη· τὸ δὲ ἐπικαλύπτον δέρμα τὸν ὀφθαλμὸν, βλέφαρον λέγεται καὶ ταρσός· βλέφαρον μὲν, διὰ τὸ προφαίνεσθαι· ἢ διὰ τὸ αἴρεσθαι αὐτὸ ἐν τῷ ὁρᾷν· ταρσὸς δὲ, διὰ τὸ ἄσαρκον αὐτοῦ[f], ἐπεὶ καὶ τὸ τοῦ ποδὸς πεδίον ταρσὸς λέγεται[g]· καὶ Ὅμηρος,

νῦν δέ μ' ἐπιγράψας ταρσὸν ποδὸς εὔχεαι οὕτως[h]. (Il. Λ. 388.)

αἱ δὲ περὶ αὐτὸν[i] τρίχες, βλεφαρίδες προσαγορεύονται· οὐ μόνον γὰρ κόσμον παρέχουσι τοῖς ὀφθαλμοῖς, ἀλλὰ καὶ κόνιν καὶ κάρφος[k], καὶ πάντα τὰ προσπίπτοντα τοῖς ὀφθαλμοῖς ἔξωθεν ἀποκρούονται, καὶ οὐκ ἐῶσι παρενοχλεῖσθαι αὐτοὺς ὑπ' οὐδένος.

Αἱ δὲ ὑπεράνω τῶν ὀφθαλμῶν ἐξοχαὶ, ἐν αἷς αἱ τρίχες ἵστανται στοιχηδὸν, ὀφρύες καλοῦνται· ἤτοι ὠπορρύες[l], παρὰ τὸ τοὺς ὦπας φρουρεῖν ἐξ ὄμβρων καὶ ἱδρώτων[m]· ἔστι δὲ καὶ ἄπορον ἐν αὐταῖς, ὅτι αἱ μὲν τῆς κεφαλῆς τρίχες αὔξουσί τε καὶ ἀποκείρονται· αὗται δὲ αἱ βλεφαρίδες διὰ τὸ μὴ κωλύειν

[x] δεκτικοὶ B.C. [y] καλοῦνται B. [z] λαγάδας B. hæc Sophroni, Sorano auctore, tribuit Etym. M. p. 572, 38. [a] Hom. et Callim. loc. om. A.C. λαγάσι B. λογάσειν Lat. Vers. Cf. Etym. M. p. 572, 37. [b] δὲ om. A. [c] δέρματα A. [d] δερκόμενον B. [e] ὄρησις B. [f] corrupt. αὐτόσαρ A. [g] καλεῖται B. [h] οὔχεαι αὔτως A. [i] αὐτὸ B. [k] κάρφη B. [l] ὠπορύες B. ὀπωῤῥύες C. [m] ἐξ ὀμβ. καὶ ὑδάτων B.

ἢ παρεμποδίζειν[n] τοὺς ὀφθαλμοὺς, ὡς ἐπὶ τῶν ἐσχατογήρων ἐκωλύθησαν αὐξάνεσθαι παρὰ τοῦ τεχνουργοῦ τῆς πάντων δημιουργίας.

Πολλὴ δὲ κἂν τοῖς ὀφθαλμοῖς κατὰ τὸ χρῶμα καὶ τὸ μέγεθος πέφυκεν ἑτερότης· καὶ περὶ μὲν τοῦ χρώματος αὐτῶν εἴρηται· περὶ δὲ τοῦ μεγέθους νῦν ἐστιν εἰπεῖν. οἱ μὲν γὰρ μείζους εἰσὶν, οἱ δὲ ἐλάττους, οἱ δὲ σύμμετροι· τὴν ἑκατέρων ἀμετρίαν ἐκπεφυγότες, οὓς καὶ βελτίστους εἶναι φασί· πάλιν οἱ μὲν πεπίληνται πρὸς τὰ ἐντὸς[o], καὶ μείζονα τὴν περιφέρειαν τῆς αὐτῶν κοιλότητος διαγράφουσιν· οἱ δὲ πρὸς τὰ ἐκτὸς ἐξώγκωνται[p], καὶ ἐξάλλεσθαι θέλουσιν· ἄλλοι δὲ πρὸς οὐδέτερον τούτων ἐκκλίνουσιν, ἀλλὰ τὴν μέσην ἔχουσι χώραν· οἳ καὶ βέλτιστον ἦθος διασημαίνουσι τῶν οἷς περ[q] εἰσί· τοὺς μέντοι διακειμένους μᾶλλον πρὸς τὰ[r] ἐντὸς ὀξυωπεστάτους εἶναι φασὶν, ὥσπερ τοὺς πρὸς τὰ ἐκτὸς ἀβεβαίους καὶ θυμικούς· τοὺς δὲ μεγαλοφθάλμους, καὶ ἀτενὲς ἐνορῶντας, λιροφθάλμους[s] τινὲς ὠνόμασαν, παρὰ τὸ λίαν τινὶ προσκεῖσθαι· ἢ παρὰ τὸ λίαν ὁρᾶν· ἐπεὶ ἀτενεῖς εἰσὶν αἱ τούτων ὄψεις, ὡς ἀναιδῶς ἐπαιρόμεναι.

Οἱ δὲ τοὺς ὀφθαλμοὺς κινοῦντες μῦες ἓξ εἰσὶ τὸν ἀριθμόν· δύο μὲν οἱ περιστρέφοντες ὅλον τὸν ὀφθαλμὸν, ἀπὸ τοῦ μεγάλου κανθοῦ ἀρχόμενοι, καὶ εἰς τὸν μικρὸν τελευτῶντες· οἱ δὲ τέσσαρες κινοῦσιν αὐτὸν κατ᾽ εὐθεῖαν· ὁ μὲν εἷς ἀνατείνων, ὁ δὲ ἄλλος κατασπῶν· ἄλλος ἐπιδεξία κινῶν, καὶ ἄλλος ἐπ᾽ ἀριστερά· ἔστι δέ τις καὶ ἕτερος ἕβδομος, ὅστις αὐτὸν στηρίζει τὸν ὀφθαλμὸν, ἐπειδ᾽ ἂν ἀκριβῶς βλέπειν τί σῶμα μικρὸν[t] δεηθῶμεν εἰς ὅρασιν· ὅρος δὲ ὁράσεως οὗτος· ὅρασίς ἐστιν ἡ διὰ τῶν ὀφθαλμῶν γινομένη ἐνέργεια[u]· τοῦ γὰρ συγκεκραμένου ἐν αὐτοῖς πνεύματος λεπτοῦ μάλιστα ὄντος[v], καὶ ταῖς κόραις τούτων ἐνυπάρχοντος[w], δι᾽ αὐτοῦ[x] αἱ ὁρατικαὶ ἀντιλήψεις καὶ

[n] κ. τὴν ὅρασιν ἢ παρ. B. [o] οἱ μὲν τῶν ὀφθαλμῶν πεπόληνται πρὸς τὰ ἐντὸς B. [p] ἐξόγκωνται B. [q] ἐν οἷς περ B. [r] τοὺς A. [s] λινοφθάλμους A. [t] σμικρὸν B. [u] ἡ γινομ. διὰ τῶν ὀφθ. ἐν. B. [v] μάλιστά τι ὄντος A. καὶ τὸ συγκεκραμένον ἐν αὐτοῖς πνεῦμα λεπτὸν μάλιστα ὂν C. [w] ἐνυπάρχον A. ὑπάρχον C. [x] δι᾽ αὐτῶν A. δι᾽ οὗ C.

πόῤῥωθεν γίνονται· εἰ μὴ γὰρ ἐν ὀφθαλμοῖς φῶς ἐστιν, οὐκ ἂν ὁραθείη τὸ ἔξωθεν φῶς· ὄψει γὰρ παρέχει ὁρᾷν τοῦτο τὸ ἡλιακὸν φῶς· καὶ πρῶτον ὁρᾶται παρὰ τῆς ὄψεως· καὶ τοῖς ὁρατοῖς περιῤῥέον τὸ ἀέριον φῶς, παῤῥησίαν τοῖς ὄμμασι χαρίζεται εἰς τὴν τῶν αἰσθητῶν κατανόησιν· "λαμβάνει γὰρ ὃ δίδωσι," κατὰ τὴν τοῦ Θεολόγου φωνήν.

Πολλὰ δὲ οἱ φιλόσοφοι περὶ τῆς ἐνεργείας ταύτης διενέχθησαν· οἱ μὲν Ἐπικούρειοι, εἴδωλα τῶν φαινομένων προσπίπτειν τοῖς ὀφθαλμοῖς λέγουσι, καὶ τὴν ὅρασιν ποιεῖν· Ἀριστοτέλης δὲ οὐκ εἴδωλον σωματικὸν, ἀλλὰ ποιότητα δι' ἀλλοιώσεως τοῦ πέριξ ἀέρος, ἀπὸ τῶν ὁρατῶν ἄχρι τῆς ὄψεως παραγίνεσθαι· Πλάτων δὲ συμφώνως τῷ Γαληνῷ, τὸν πέριξ ἀέρα λέγει[y] ὄργανον γίνεσθαι τῷ ὀφθαλμῷ· καθ' ὃν ὁρῶμεν χρόνον τοιοῦτον, οἷόν περ ἐγκεφάλῳ τὸ νεῦρον[z].

Ἥ τε γὰρ αὐγὴ τοῦ ἡλίου ψαύουσα τοῦ ἄνω πέρατος τοῦ ἀέρος, διαδίδωσιν εἰς ὅλον τὴν δύναμιν τοῦ φωτός· ἥτε διὰ τῶν ὀπτικῶν νεύρων αὐγὴ φερομένη, τὴν μὲν οὐσίαν ἔχει πνευματικὴν, ἐμπίπτουσα δὲ τῷ περιέχοντι, καὶ τῇ πρώτῃ προσβολῇ τὴν ἀλλοίωσιν ἐργαζομένη, διαδίδωσιν ἄχρι πλείστου συνέχουσα ἑαυτὴν, ἄχρις ἂν εἰς ἀντίτυπον ἐμπέσῃ σῶμα· ὁρᾷ δὲ ἡ ὄψις κατ' εὐθείας γραμμὰς, καὶ τῶν διαφανῶν μέχρι βάθους διϊκνεῖσθαι πέφυκεν· ἀέρος μὲν πρώτως καὶ μάλιστα, ὅλον γὰρ διεξέρχεται· δεύτερον δὲ ὕδατος ἠρεμοῦντος καὶ καθαροῦ· ἧττον δὲ δι' ὑέλου καὶ τῶν ἄλλων τῶν πεφωτισμένων· ἴδια γὰρ ταῦτα τῆς ὄψεως· ὁμοίως καὶ τὸ χρῶμα ἴδιον τῆς αἰσθήσεως· οἷον τὸ φαιὸν ἢ ἐρυθρόν· αἰσθάνεται γὰρ κατὰ μὲν πρῶτον λόγον τῶν χρωμάτων· συνδιαγινώσκει δὲ αὐτοῖς καὶ τὸ κεχρωσμένον[a] σῶμα, καὶ τὸ μέγεθος καὶ τὸ σχῆμα αὐτοῦ, καὶ τὴν χώραν ἔνθα ἐστὶ, καὶ τὸ διάστημα, καὶ τὸν ἀριθμὸν, κίνησιν[b], καὶ στάσιν· καὶ τὸ τραχὺ[c] καὶ λεῖον, καὶ τὸ ὁμαλὸν καὶ τὸ ἀνώμαλον[d], καὶ τὸ ὀξὺ καὶ[e] ἀμβλύ· καὶ τὴν στάσιν, εἴτε

y λέγουσιν B. z παρ' ἐγκεφ. et mox τὸ νεύρῳ. a κεχωσμένον A.
b κίνησίν τε B.C. c ταχὺ A. d ἀνόμαλον B. e καὶ τὸ B.

ὑδατῶδες[f], ἢ γεῶδες ἐστί· διὰ μόνης γὰρ τῆς ὄψεως τῶν χρωμάτων ἀντιλαμβανόμεθα· τὰ δὲ λοιπὰ κοινὰ τῆς ἀφῆς καὶ τῆς ὄψεως, ὥσπερ καὶ ἐπὶ τοῦ πυρός· καὶ γὰρ τὸ πῦρ ὁρῶντες ἴσμεν ὅτι θερμόν ἐστιν· ἀλλ' ἐὰν ἐπὶ τὴν πρώτην ὄψιν ἀναγάγης[g] τὸν λόγον, εὑρήσεις ὡς, τότε ὅτε ἡ ὄψις ἐθεάσατο τὸ πῦρ, μόνον[h] τοῦ χρώματος καὶ σχήματος ἔσχε τὴν γνῶσιν· προσελθούσης δὲ τῆς ἀφῆς, ἐγνωρίσαμεν ὅτι θερμὸν καὶ καυστικὸν ὑπάρχει τὸ πῦρ· ποτὲ μὲν ἡ ὄψις τῆς ἐπιμαρτυρίας χρήζει τῶν ἄλλων αἰσθήσεων πρὸς τὸ μὴ σφάλλεσθαι· ποτὲ δὲ καθ' ἑαυτὴν ἐναργῶς παρίστησι τὸ φαινόμενον· ὅταν οὖν τὸν πύργον[i] τὸν τετράγωνον στρογγύλον πόῤῥωθεν ὁρᾷ, καὶ τὰ μείζονα τῶν ζώων ἢ κτισμάτων, μικρὰ, σφάλλεται· ὁμοίως καὶ ὅταν[k] δι' ὕδατος κινουμένου ὁρᾷ· τὴν γὰρ κώπην ὡς κεκλασμένην βλέπει ἐν τῇ θαλάσσῃ[l]· ὁμοίως δὲ[m] καὶ ὅταν διά τινος ὕλης, ὡς ἐπὶ τῶν ἐσόπτρων, καὶ ἑτέρων διαφανῶν· καὶ ὅταν ὀξέως κινῆται τὸ ὁρώμενον· συνταράσσει γὰρ τὴν ὄψιν ἡ ταχεῖα κίνησις, ὡς ἐπὶ τοῦ τῆς περιστερᾶς τραχήλου· τεσσάρων δὲ μάλιστα πρὸς ἐναργῆ διάγνωσιν ἡ ὄψις χρήζει· ἀβλαβοῦς αἰσθητηρίου· συμμέτρου κινήσεως· καὶ διαστήματος ἀέρος καθαροῦ· καὶ λαμπροῦ φωτός. Καὶ τὰ μὲν περὶ τῶν ὀφθαλμῶν ἅλις.

ΚΕΦ. Γ.

Περὶ Ῥινὸς[n] καὶ τῆς δι' αὐτῆς γενομένης ὀσφρήσεως.

Αἱ δὲ ῥῖνες δι' ὧν ἡ ὄσφρησις γίνεται λέγονται καὶ[o] μυκτῆρες· ῥῖνες μὲν, διὰ τὸ δι' αὐτῶν[p] ῥεῖν τὰ ἐξ ἐγκεφάλου[q] ὑγρά· μυκτῆρες δὲ, ἀπὸ τοῦ μυκτηρίζειν ἡμᾶς οὓς διαπαίζομεν· ἢ ἀπὸ τοῦ τὴν μύξαν ἐξιέναι δι' αὐτῶν· ἢ ἀπὸ τοῦ μύξους τινὰς ἔχειν ἐφ' ἑαυτοὺς[r], τουτέστι πόρους· εἰσὶ δὲ νευρώδεις καὶ χονδρώδεις, ἀντιληπτικαὶ ὀσμῶν καὶ τῶν ἐν αὐταῖς διαφορῶν· τουτέστιν εὐωδίας καὶ δυσωδίας· δι' αὐτῶν δὲ ἀναπνέομεν[s] καὶ

[f] ὑδ. τυχὸν B. [g] ἀγάγης B. [h] μόνου B. [i] τὸν γοῦν π. B. [k] σφ. δὲ καὶ ὅταν B. [l] τῆς θαλάσσης B. [m] δὲ om. B. [n] περὶ ῥινῶν C. [o] λέγ. deinceps om. καὶ A. [p] ἐκ δι' αὐτῶν B. [q] τὰ τοῦ ἐγκ. B. [r] ὑφ' ἑαυτῶν B. [s] καὶ ἀναπν. B.

εἰσπνέομεν· οὐδὲ γάρ ἐστι δυνατὸν ποιεῖσθαι ἄλλως ταῦτα, εἰ μὴ διὰ μυκτήρων· ἀπὸ γὰρ τῶν ταμείων καὶ τῶν τῆς καρδίας θαλάμων διὰ τοῦ πνεύμονος ἀναπεμπομένην δέχονται τὴν ἀναπνοὴν οἱ μυκτῆρες, καὶ πρὸς τὰ ἔξωθεν ἀποκρίνουσι· καὶ τὴν εἰσπνοὴν ἐφελκόμενοι θύραθεν πρὸς τὰ ἔσωθεν παραπέμπουσιν.

Ἔστι δὲ ὄσφρησις, ὁρμὴ τινὸς ἐνεργείας φυσικῆς, ἡ ἀποτελουμένη διὰ τοῦ ἐν ταῖς ῥισὶ πνεύματος ὄντος ἐνίκμου[t] καὶ ἀτμωδεστέρου, δι' οὗ αἱ τῶν ὀσφραντῶν ἀντιλήψεις καὶ πόῤῥωθεν γίνονται[u]· διχότομος δὲ πεφυκὼς ὁ μυκτὴρ ἀνὰ μέσον ἔχει διάφραγμα χόνδρον ἑκατέρωθεν· ὑπάρχων κενὸς διὰ τὴν τῆς εἰσπνοῆς, ὡς εἴρηται, καὶ εἰσπνοῆς εἴσοδόν τε καὶ ἔξοδον· εἰ μή τις ἔμφραξις ἀπὸ νοσήματος[v] γένηται· τὴν μὲν ἀναπνοὴν τοῦ ἀέρος μὴ κωλύουσα, τὰ δὲ τῶν ὀδμῶν ἀπείργουσα, ὡς τοῦ ἀέρος ὑπάρχουσα παχυτέρα[w]· γίνεται μὲν οὖν ἡ ὄσφρησις ὥσπερ εἴρηται· περαίνεται δὲ ὡς τὰ[x] πέρατα τῶν ἐμπροσθίων τοῦ ἐγκεφάλου κοιλιῶν εἰς τὰ ἰσθμοειδῆ ὀστέα· οὐ γὰρ μετὰ νεύρου ἡ ῥὶς τὴν ἐνέργειαν αὐτῆς γνωρίζει τῷ ἐγκεφάλῳ, ὥσπερ καὶ αἱ λοιπαὶ τῶν αἰσθήσεων, ἀλλ' αὐτὸς ἐκεῖνος δι' ὀπῶν τινῶν τὴν αἴσθησιν δέχεται.

Τῆς δὲ ῥινὸς τὸ μὲν ἄνωθεν αὐτῆς ἐν τῷ μετώπῳ προσπεφυκὸς, ὀστοῦν ἐστὶ διαμπερὲς[y] ἢ διαφυές· τὸ δὲ ὑποκάτω αὐτῆς τὸ λεγόμενον τράγανον, χόνδρος ἅμα καὶ πτερύγια καλεῖται.

ΚΕΦ. Δ.

Περὶ τῶν μεγάλων Κανθῶν καὶ μικρῶν.

Ἔνθεν δὲ ταύτης κἀκεῖθεν, κανθοὶ λέγονται τῶν ὀφθαλμῶν· οἱ μὲν ἔσω μεγάλοι, οἱ δὲ ἔξω μικροί· κανθοὶ δὲ ἀπὸ τοῦ κνήθεσθαι[z] συνεχῶς ὑπὸ τοῦ παρεισρέοντος παντὸς[a] ὑγροῦ· δακρύων[b], ῥεύματος, καὶ τῶν λοιπῶν· εἰσὶ δὲ αἱ ῥῖνες πολύσχημοι[c]· αἱ μὲν γάρ εἰσι καμπύλαι, αἱ δὲ πλατεῖαι· καὶ αἱ μὲν στρογγύλαι[d],

[t] ἐνίγμου B. [u] γίνεται B. [v] σώματος A. [w] ὑπάρχουσαν παχυτέραν A. [x] εἰς τὰ B.C. [y] διαμπαρὲς B. διαπαρὲς C. [z] κνῆσθαι B. [a] παντὸς om. B. [b] ἐλέου δακρύων B. ἐλαίου C. [c] πολύσχημαι B. [d] καὶ εἰ μὲν A. αἱ δὲ στρογ. B.

αἱ δὲ σιμαὶ, αἱ δὲ ὀξεῖαι· αἱ δὲ μεγάλαι, αἱ δὲ μικραί· αὗται δὲ μᾶλλον τῶν ἄλλων μορίων εὐειδείαν ἢ δυσειδείαν παρέχουσι τῷ προσώπῳ.

ΚΕΦ. Ε.

Περὶ Μαγούλων.

Τὰ δὲ μάγουλα καὶ μῆλα λέγονται· ὀστέα δέ εἰσι κυφοειδῆ τοῖς κροτάφοις συμπεφυκότα· τούτων δὲ μόρια εἰσὶ, καὶ τὰ τῶν ὀδόντων πάντων φατνία, πλὴν τῶν τομέων· μάγουλα δὲ καὶ μῆλα παρὰ τὸ μάλα[e] *καὶ τὸ οὖλον· τινὲς δὲ διὰ τὸ ἐρυθρὸν τοῦ μήλου καὶ ταῦτα οὕτως κάλουσι· τῆς γὰρ εὐχροίας τοῦ σώματος καὶ τοῦ ἐμφύτου θερμοῦ δεικτικά*[f]*· τοῦτο τὸ μέρος καὶ σιαγόνες λέγονται, ὅτι σείονται περιαγόμεναι, καὶ συνάγονται ἐν τῷ ἐσθίειν ἡμᾶς ἢ ὁμιλεῖν· ἢ ὅτι σιγῶμεν ἡμεῖς αὐτῶν κεκλεισμένων ὄντων.*

ΚΕΦ. Ϛ.

Περὶ τῆς ἄνω Γένυος καὶ τῆς κάτω.

Λέγεται καὶ ἄνω γένυς, μετὰ τοῦ ἄνω χείλους· καὶ κάτω[g] *δὲ, μετὰ τοῦ πώγωνος καὶ τῶν παρειῶν· καὶ τὴν μὲν κάτω πάντα τὰ ζῶα κινεῖ, τὴν ἄνω δὲ μηδένα· εἰ μὴ*[h] *τὸν κροκόδειλον μόνον, καὶ τὸν φοίνικα τὸν ὄρνεον· ἄμφω γὰρ οὐ τὴν κάτω μόνον, ἄλλα καὶ τὴν ἄνω γένυν κινεῖ· γένυς δὲ λέγεται*[i] *ἐκ τοῦ τὰ γένη διαχωρίζειν τῶν ἀῤῥένων καὶ τῶν θηλειῶν, καὶ τελείων καὶ ἀτελῶν· ἢ ὅτι γεννᾷ ὀδόντας καὶ τρίχας.*

ΚΕΦ. Ζ.

Περὶ Ὤτων.

Τὰ δὲ ὦτα χονδρώδη εἰσὶ καὶ νευρώδη, ἀντιληπτικὰ φωνῶν, καὶ τῶν ἐν αὐταῖς διαφορῶν· ἐπιτήδειος γὰρ ὁ χόνδρος πρὸς ψόφους καὶ ἤχους· λέγεται δὲ ὦτα παρὰ τὸ δέχεσθαι τὴν ὄπα, τουτέστι τὴν φωνήν· ἡ γὰρ ἀκοὴ διὰ τοῦ ἐγκεκρυμμένου τοῖς

[e] μαλὸς B.C. [f] δεκτικὰ A. δεικτικαὶ C. [g] ἡ κάτω B. [h] ἢ μὴ A.
[i] εἴρηται B.

ὠσὶν πνεύματος ἐπιγίνεται[k], ξηροτέρου μᾶλλον ὄντος ἢ λεπτοτέρου.

Ἔστι δὲ τὸ οὖς κατὰ μὲν τὸ εἶδος στρογγυλοειδές· ἔχον ἐσχάτως ὀστοῦν ὁμοιόσχημον ἑαυτῷ· ἐν ᾧπερ ὡς ἐν ἀγγείῳ κενῷ πάσης φωνῆς ὁ ψόφος εἰσέρχεται· καὶ ἐπειδὴ τοῦτο τὸ ὀστοῦν πρὸς τὸν ἐγκέφαλον οὐκ ἔχει πόρον, ἀποδίδωσιν εἰς τὸν τοῦ στόματος οὐρανὸν, κἀκεῖθεν τεινομένη ψλεὼ εἰς τὸν ἐγκέφαλον, πρὸς[l] αὐτὸν διαβιβάζει τὸν ψόφον· ἐκεῖθεν δὲ ὁ νοῦς τὰς ἀκουστικὰς ἀντιλήψεις καὶ δέχεται, καὶ γνωρίζει, καὶ διακρίνει πρέποντως[m] τήν τε ὀξεῖαν καὶ τραχεῖαν φωνὴν, καὶ τὴν ἡδεῖαν, καὶ τὴν ἀηδῆ, βραγχώδη τε καὶ κακόμελον[n]. "οὐ "γὰρ ἐπ' εὐθείας ἤνοικται ἡ ἀκοὴ," φησὶν ὁ μέγας Βασίλειος, "ἀλλ' ἑλικοειδῆ τῷ πόρῳ τῶν[o] ἐν τῷ ἀέρι ψόφων ἀντιλαμ-"βάνεται· ὥστε τὴν μὲν φωνὴν ἀκωλύτως διεξιέναι, ἢ καὶ "μᾶλλον ἐνηχεῖν περικλωμένην ταῖς κοιλότησι· μηδὲν δὲ τῶν[p] "ἔξωθεν παρεμπιπτόντων κώλυμα εἶναι δύνασθαι τῇ αἰσθήσει."

Τὸ μὲν οὖν κοῖλον τοῦ ὠτὸς κυψελὴ λέγεται, διὰ τὸ κῦφόν τε καὶ κογχοειδὲς, καὶ τοῖς ἀγγείοις ἐοικέναι· αὐτὸ δὲ κύμβαλον ὥσπερ τῇ θεωρίᾳ ἐστὶ κόσμος τῇ κεφαλῇ γινόμενος, ἵνα μὴ πάντη ὁλόγυρος οὖσα, μὴ μόνον ἀτερπὴς, ἀλλὰ κολοβὴ[q] δείκνυται· ὁ δὲ ἐν τῷ ὠτίῳ ῥύπος ἐγγινόμενος κυψελὶς ὀνομάζεται, ἐκ τῆς ἀναθυμιάσεως τῆς ξανθῆς χολῆς συνιστάμενος· ἡ δὲ ἀποτελεύτησις τοῦ ὠτὸς σαρκινόν[r] ἐστι, καὶ οὐ χόνδρος· λέγεται δὲ λοβὸς[s] παρὰ τὴν λώβην, λωβός· ἀποτέμνεται γὰρ ταῦτα διὰ τὴν κακίαν, ὡς φησὶν Ὅμηρος·

ὅς κ' ἀπὸ ῥῖνα τάμῃσι καὶ οὔατα. (Od. Σ. 85.)

Διαιροῦνται δὲ τὰ ὦτα εἰς ψιλὰ, καὶ βαθέα, καὶ μέσα· τὰ δὲ τῆς μεσότητος ἐχόμενα βέλτιστα εἰσὶ πρὸς ἀκοήν· ἦθος δὲ οὐδὲν τούτοις χαρακτηρίζεται, εἰ μή τι τῶν μικρῶν ἢ μεγάλων· μή τε τῶν σφόδρα ἐπανεστηκότων, ἢ τῶν πάντη συμπεπτωκότων[t]· τὰ μέντοι μεγάλα καὶ ἐπανεστηκότα μωρολογίας λέγουσι

[k] γίνεται B. [l] εἰς B. [m] προπάντως A. [n] κόμαλον A. [o] τῷ A. [p] τὰ A. [q] καὶ κολ. B. [r] σαρκίον B. [s] καὶ λωβὸς B. [t] posteriora om. B.

καὶ ἀδολεσχίας σημαντικά· τινὲς δὲ καὶ πολυζωήτους τοὺς ἐν οἷς εἰσὶν ἐχαρακτηρίσαντο· μόνος δὲ ἄνθρωπος καὶ πίθηκος οὐ κινοῦσι τὰ ὦτα, τῶν ἄλλων πάντων ζώων τῶν ἐχόντων ὦτα κινούντων αὐτά.

Τὰ δὲ ὑποκάτω τοῦ ὠτὸς γνάθοι[u] λέγονται καὶ χαλινοί· γνάθοι[v] μὲν, παρὰ τὴν γνάμψιν[w] καὶ κάμψιν τῶν ὀστῶν· ἐκ τοῦ κάμπτω οὖν ἐστὶ τὸ γνάμψαι[x]· καὶ Ὅμηρος·

ἐπέγναμψεν[y] γὰρ ἅπαντας
Ἥρη λισσομένη· (Il. B. 14.)

χαλινὸς δὲ, ὅτι δι' αὐτῶν χαίνειν γίνεται· οἱ δέ φασι, χαλινούς τινας εἶναι· χαίνοντες γὰρ αὐτοὺς τὴν αἴσθησιν ποιούμεθα τῶν εἰσφερομένων.

Τὰ δὲ ἐπικαλύπτοντα τὸ στόμα, χείλη καλοῦνται ἀπὸ τοῦ κλείω· οἱονεὶ χείλη, τὰ θυροῦντα καὶ κλείοντα τὸ στόμα καὶ τοὺς ὀδόντας· ἢ ἀπὸ τοῦ δι' αὐτῶν τὸν χιλὸν λαμβάνειν· χιλὸς δὲ ἡ τροφή· μαλθακόσαρκα δέ εἰσι καὶ φλεβώδη, μύας ἔχοντα τέσσαρας· δι' ὧν ἡ κίνησις αὐτοῖς τῆς διαλέκτου προσγίνεται· σύγκειται δὲ ἐκ τριῶν ἡ τούτων οὐσία· λαβοῦσα γὰρ ἡ δημιουργικὴ φύσις δερματώδη τινὰ φύσιν, καὶ σηραγγώδη[z] καὶ μυώδη, καὶ κεράσασα ὅλας δι' ὅλων, καὶ μίαν ἐξ αὐτῶν ποιήσασα κρᾶσιν, τὸ τῶν χειλῶν[a] ἀπετέλεσε σῶμα· διὰ γὰρ τοῦτο ἐπὶ τῇ λύσει τῆς συνεχείας αὐτῶν, ἐπεὶ[b] τὸ λεῖπον ἀναπληρῶσαι οὐ δυνάμεθα, ῥαφαῖς[c] κεχρήμεθα συνάγοντες αὐτὰ ταῖς χερσὶ, καὶ οὕτως συμφῦναι ποιοῦμεν· αἱ δὲ τρίχες αἱ ἐπάνω τοῦ χείλους ἀπὸ τοῦ μυκτῆρος γινόμεναι, μύσταξ καλοῦνται, ἢ μέσταξ, ἀπὸ τοῦ μεστοῦσθαι τριχῶν· οἱ δὲ ἰδιῶται μούστακα λέγουσιν ἢ μουστάκιον.

ΚΕΦ. Η.

Περὶ τοῦ Πώγωνος.

Ὁ δὲ πώγων λέγεται καὶ ὑπήνη· πώγων μὲν, ὅτι πῆξιν ἡλικίας τοῖς ἀρχομένοις δηλοῖ ἐν τῇ τῶν ἰούλων ἐκφύσει· ὑπήνη

[u] γνάθα B. [v] γνάθα B. [w] γνάψιν B. [x] γνάψις B. [y] ἐπίγναψε B. [z] σιραγγώδη A. συραγγώδη B. συραγγώδους C. [a] χειλέων B. [b] ἐπὶ B. [c] ῥ. δὲ B.

δὲ, καὶ γὰρ ἡ πήνη[d] αἱ ὑποκάτω τοῦ γενείου τρίχες εἰσὶν, ἀπὸ τοῦ ὑπῆναι[e] καὶ ὑποκεῖσθαι τῷ γενείῳ· ἴουλοι δέ εἰσιν, αἱ κατὰ τῶν παρειῶν ἐπ' εὐθείας σὺν πυκνότητι πρῶτον[f] ἀναβλαστάνουσαι τρίχες· ἀπὸ ἰούλου ζώου πολύποδος οὕτως κληθεῖσαι· ἢ ὅτι ἐπὶ τὸ[g] λέγειν ἄγει τοὺς τὸν ἴουλον ἐπανθοῦντας ὁ χρόνος· ἱκανοὶ γάρ εἰσιν οἱ γενειῶντες πρὸς τὸ λέγειν τὰ δέοντα[h].

ΚΕΦ. Θ.

Περὶ Προσώπου.

Παρειὰς δὲ τοῦτο τὸ μέρος ὅλον καὶ πρόσωπον καλοῦσι· πρόσω γὰρ τοὺς ὦπας ἀλλ' οὐκ ἐκ πλαγίου φέρει· διὸ καὶ μόνοις ἀνθρώποις ἐπικατηγορεῖται· ἐπὶ γὰρ τῶν ἄλλων ζώων πρόσωπον λέγειν οὐ θέμις· παρειὰ δὲ παρὰ τὸ πεπερατοῦσθαι· καὶ οὐ μέρος τοῦ προσώπου τυχὸν ἄνω ἢ κάτω, ἢ ἐκ πλαγίων, ἀλλὰ συνεκδοχικῶς ὅλον τὸ πρόσωπον· φησὶ γὰρ Ὅμηρος,

ὦχρός τέ μιν εἷλε παρειάς. (Il. Γ. 35.)

οὐ μέρος λέγων, ἀλλ' ὅλον παρηλλάχθαι καὶ ὠχριᾶσθαι[i]· ἔνθεν καὶ τὸ,

χροὸς ἔμμεναι ἀνδρομέοιο· (Il. Φ. 70.)

ἢ τὸ,

πάντες δ' ἐνὶ χρωὶ πῆχθεν· (Il. Θ. 298.)

μεταβολὴ γάρ ἐστι τῆς ου εἰς ω, ὡς καὶ τῆς κατὰ φύσιν χρόας εἰς τὴν παρὰ φύσιν ὠχρότητα μεταμειφθείσης· οὐ γὰρ κατὰ φύσιν ἔχουσιν οἱ ἐν ὠχρότητι ὄντες, ἀλλ' ἢ διὰ φόβον τοῦ, ἢ ἀσθενείαν, τοῦτο πάσχουσιν[j]. Ἔστι δὲ τὸ πρόσωπον καὶ τῶν τῆς ψυχῆς διαθέσεων δεικτικόν· χαιρούσης γὰρ αὐτῆς[k], φαιδρόν ἐστι καὶ γεγαννυμένον· λυπουμένης δὲ, κατηφές τε καὶ σκυθρωπόν· ὀργιζομένης δὲ, πελιδνόν τε καὶ ὕφαιμον, ἢ ἐκπληκτικόν τε καὶ μανικόν· διὸ καὶ ἡ γραφὴ τὰ ἤθη τῆς ψυχῆς ἐκ τοῦ προσώπου χαρακτηρίζει· "καρδίας γὰρ," φησὶν, "εὐφραινομένης θάλλει πρόσωπον· ἐν δὲ λύπαις οὔσης σκυθρωπάζει, καὶ ἀνὴρ θυμώδης οὐκ εὐσχήμων."

[d] ἡ πήνη om. B.C. [e] ὑπεῖναι B. [f] μᾶλλον B. πρῶται C. [g] τῷ B. [h] τῶν λόγων add. B. [i] ὠχριάσαι B. [j] hæc ab ὠχριᾶσθαι usque om. B. [k] male post αὐτῆς repetit δεικτικόν ἐστι A.

Οἱ δὲ ἐν ἀκριβείᾳ τετηρηκότες τὴν τοῦ προσώπου διάθεσιν, οὐ μόνον ἐκ τοῦ προσώπου καὶ τῶν ὀφθαλμῶν, ἀλλὰ καὶ τοῦ μετώπου καὶ τῆς ῥινὸς χαρακτηρίζουσι τὸν ἄνθρωπον· τοὺς γὰρ μέγα ἔχοντας[l] μέτωπον βραδυνοήτους φασὶν εἶναι· τοὺς δὲ μικρὸν, ταχεῖς εἰς τὸ νοῆσαι καὶ λέγειν προχειροτάτους· τὸ δὲ πρὸς[m] πλατύτερον σχῆμα παρατεινόμενον, ἐκστατικῶν ἀνθρώπων σύμβολον τίθενται· τὸ δὲ περιφερὲς ἢ κυκλοτερὲς, μικροψύχων καὶ θυμικῶν. Αἱ δὲ ὀφρύες ἐπ᾽ εὐθείας κείμεναι[n], χρηστὸν καὶ πρᾶον καὶ συμπαθὲς ἦθος διασημαίνουσιν· αἱ δὲ προσεπικεκαμμέναι[o] καὶ προσεπικείμεναι τῇ ῥινὶ, καὶ[p] καμπυλώδεις λεγόμεναι, στύφον ἦθος καὶ βλοσυρὸν[q], καὶ καταπληκτικόν· αἱ δὲ μᾶλλον ἐπικεκλιμέναι πρὸς τοὺς κροτάφους, εἴρωνας δηλοῦσι τοὺς ἔχοντας, καὶ ἀπατεῶνας καὶ χλευαστάς.

Οἱ δὲ ὀφθαλμοὶ ἔλεγχοι εἰσὶ καὶ κήρυκες ἐναργεῖς τῶν τῆς ψυχῆς κεκρυμμένων· γνωρίσεις γὰρ ἐκ τούτων τὸν δειλόν· τὸν ἀνδρεῖον· τὸν ἐρῶντα· τὸν βασκαίνοντα· τὸν θυμώδη· τὸν ὑπνηλόν· τὸν ἐγρήγορον· τὸν φιλαργυρόν· τὸν ἁπλοῦν· καὶ ἁπαξαπλῶς πάσης διαθέσεως καὶ τροπῆς ἡ τοῦ προσώπου διδάσκαλος ἐναλλαγή.

Διὰ τοῦτο δέ σοι τῶν ἀφανῶν διαθέσεων, καὶ τῶν κεκρυμμένων ἐθῶν ἐμφανῆ παρέσχεν ὁ Θεὸς τὰ σημεῖα καὶ σύμβολα φιλανθρώπως, ἵνα τῆς ἰδίας προμηθούμενος σωτηρίας, συναυλίζῃ μὲν τοῖς χρηστοῖς καὶ σπουδαίοις, ἐκφεύγεις δὲ τοὺς φαύλους καὶ πονηρούς· τοῦτο γὰρ διδάσκουσα ἡ σοφία βοᾷ· "ἀνδρὶ θυμώδει[r] μὴ συναυλίζου· μὴ δὲ συνδείπνει βασκάνῳ· "μὴ δὲ καθίσῃς μετὰ συνεδρίου ματαιότητος καὶ λοιμῶν· μὴ "δὲ πορευθῇς μετ᾽ αὐτῶν ἐὰν παρακαλέσωσί σε λέγοντες, ἐλθὲ "μεθ᾽ ἡμῶν." Ἐκ τοῦ προσώπου γὰρ καὶ ὁ Ἰακὼβ τοῦ Λάβαν τὸν φθόνον ἐγνωκὼς, ἔλεγε ταῖς ἑαυτοῦ γυναιξίν· "ὁρῶ "ἐγὼ τὸ πρόσωπον τοῦ πατρὸς ὑμῶν, ὅτι οὐκ ἔστιν ὡς χθὲς "καὶ τὴν[s] τρίτην ἡμέραν." τοῦτο καὶ ὁ Προφήτης εἰδὼς

[l] ἔχουσιν A. [m] πρὸς τὸ B. [n] κινούμεναι B. [o] προσεπικεκραμμέναι A. [p] καὶ om. B. [q] βλοσσυρὸν A. [r] θυμώδη B. [s] τὴν om. B.

λέγει· "μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ἐπί-"βλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με·" εἰώθει γὰρ ὁ μὲν[t] μισῶν ἀποστρέφειν, ὁ δὲ θαῤῥῶν ἐπιβλέπειν[u], καὶ ἐπιχαίρειν καὶ μειδιᾶν· τινὲς δὲ καὶ τοὺς ἀραιοὺς ἔχοντας ὀδόντας ὀλιγώτερον[v] ζῆν τῶν πυκνῶς ἐχόντων ἐχαρακτήρισαν· ἀλλ' ἡ μὲν τοῦ προσώπου σημείωσις ἀρκείσθω· τῶν δὲ λοιπῶν μορίων ἡ φύσις, καὶ ἡ σύνθεσις, καὶ ἡ ἐνέργεια, ἐρευνάσθω[w].

ΚΕΦ. Ι.

Περὶ Στόματος.

Τὸ στόμα τομεῖ[x] ἔοικε· τμητικὸν γάρ ἐστιν ὧν λαμβάνει· εἰσὶ δὲ τούτου ἔσωθεν, γλῶσσα· ὀδόντες· οὖλα· τὰ[y] φατνώματα· γαργαρεών· οὐρανίσκος· παρίσθμια· λάρυγξ[z]· τὸ πέρας τῆς τραχείας ἀρτηρίας καὶ τοῦ οἰσοφάγου[a], καὶ ἡ ἐπιγλωττίς· λέγεται δὲ ἡ πᾶσα τοῦ στόματος χώρα φάρυγξ καὶ λαιμός· ἡ γλῶσσα οὖν φλεβώδης ἐστὶ καὶ σαρκώδης· ὑποπίμελος, αἰσθητικὴ χυμῶν· συνεργὸς τῇ πόσει καὶ διαμασήσει[b], καὶ διαρθρώσει τῆς φωνῆς· συνεργεῖ γὰρ τῷ στόματι ἡ γλῶσσα καὶ οἱ ὀδόντες· τὸ[c] μὲν γὰρ τέμνει τὰ σιτία, οἱ δὲ λεαίνουσιν, ἡ δὲ παραπέμπει τοῖς τέμνουσιν ἢ λεαίνουσιν[d] τῶν ὀδόντων.

Τὴν γλῶτταν γὰρ ὁ δημιουργὸς διὰ πολλὰς αἰτίας ἐποίησε· μᾶλλον δὲ διὰ χρείαν καὶ ἐνεργείαν[e]· δι' αὐτῆς γὰρ γίνονται αἱ καταπόσεις, ἀντανακλωμένης καὶ παραπεμπούσης τὰ σίτια τῷ οἰσοφάγῳ[f]· καὶ αἱ διάλεκτοι[g] δι' αὐτῆς γίνονται ἐνδιπλουμένης τισὶ τῶν ὀδόντων ἢ κυρτουμένης· ἥτις περιαγομένη, καὶ ἄλλοτε ἄλλῳ τῶν ὀδόντων προσθεμένη, τῇ διαφόρῳ ταύτῃ[h] κινήσει, διὰ τῆς τῶν στοιχείων τὲ καὶ συλλαβῶν ἑνώσεως, τὴν τῶν λόγων διαφορὰν ἐκτελεῖ· καὶ ταῦτα μὲν ὡς ἀπόλυτος οὖσα ποιεῖ· συνδέδεται δὲ πάλιν ἐν τῷ λάρυγγι, ἵνα μὴ ἐκπίπτουσα τοῦ στόματος εἰς τὰς εἰρημένας ἐνεργείας ἀπρακτῇ.

[t] μὲν om. B. [u] ὁ δὲ ψιλῶν προσβλέπειν B. [v] ὀλιγότερον B. [w] ἐρευνείσθω A. [x] τομῇ A.C. [y] καὶ τὰ B. [z] λάρυξ B. [a] ἰσοφάγου A. ὑσσοφάγου B. [b] διαμασσήσει B. [c] τὰ B. [d] hæc om. B. [e] χρείας κ. ἐνεργείας B. [f] ὑσσοφάγῳ B. [g] διαλεκτικαὶ δὲ A. [h] διαφοροτάτῳ B.

Ὁ δεσμὸς δὲ ταύτης οἷον χαλινὸς αὐτῇ ἐστὶ, ἁπάσας τὰς ἐνεργείας συμφερόντως καὶ εὐτάκτως ποιῶν, εἴπερ ἔμμετρος κατεσκεύασται· εἰ δὲ χαλαρώτερος[i] γένηται, προκύπτει μᾶλλον τοῦ δέοντος ἡ γλῶττα, καὶ βλάπτονται αἱ εἰρημέναι ἐνέργειαι· μὴ δυναμένης αὐτῆς χαλιναγωγεῖσθαι· εἰ δὲ πάλιν πλεῖον συνδεθῇ, αἱ αὐταὶ βλάβαι ἀκολουθοῦσιν· ὥστε καὶ τὰ χείλη, τὰ διαλέξεως μόρια, καὶ τοὺς ὀδόντας, καὶ ἅπαν τὸ στόμα ἐμποδίζεσθαι, καὶ κεκακῶσθαι τὰς διαλέκτους.

Τῆς δὲ γλώττης ἡ σὰρξ μανὴ πέφυκε καὶ στομφώδης· καὶ διὰ τοῦτο θᾶττον ἀντιλαμβάνεται τῆς γεύσεως τῶν χυμῶν· τῶν δὲ χυμῶν αἱ γευστικαὶ καλούμεναι ποιότητες εἰσὶν αὗται· γλυκύτης· ὀξύτης· δριμύτης· στυφότης[k]· αὐστηρότης· πικρότης· ἁλμυρότης· λιπαρότης· τούτων γάρ ἐστιν ἡ γλῶσσα διαγνωστική· καὶ μᾶλλον τὸ ἄκρον αὐτῆς· ὄργανον γάρ ἐστι τῆς γεύσεως· σὺν αὐτῇ δὲ καὶ ἡ ὑπερώα, ἐν ᾗ τὰ πεπλατυσμένα νεῦρα ἐξ ἐγκεφάλου φερόμενα[l], τὴν ἀντίληψιν τῶν γευστῶν πρὸς τὸ ἡγεμονικὸν ἀπαγγέλλουσι· "κατάμαθε γὰρ "τῆς γλώττης τὴν φύσιν," ὁ θεῖος Βασίλειος φησὶν, "ὅπως "ἁπαλή τε καὶ εὔστροφος[m], καὶ πρὸς πᾶσαν χρείαν λόγου "τῷ ποικίλῳ τῆς κινήσεως ἐξάρκουσα." ἔστι δὲ καὶ πλατεῖα καὶ στενὴ τῷ μεγέθει καὶ μέση· καὶ ἡ μὲν πλατεῖα τὸ στόμα γεμίζουσα, ἀργὴν τὴν ὁμιλίαν καὶ ἄναρθρον ποιεῖ· ἡ δὲ στενὴ καὶ μικρὰ, ἐπερείδεσθαι πρὸς τοὺς ὀδόντας μὴ σώζουσα, φαύλην τὴν λαλιὰν ἀποδίδωσιν· ἡ μέση δὲ κατὰ μέγεθος, τούτων ἀπήλλακται τῶν παθῶν, καὶ ἐστὶ βελτίστη.

Ἡ δὲ ἐπιγλωττὶς ταύτης μέρος ἐστὶ τὸ ὕπερθεν· ἔχει δὲ αὕτη προσπεφυκότα τὸν καλούμενον οἰσοφάγον[n]· καὶ ὅταν διαμασησάμενοι[o] καὶ καταλειήναντες[p] παραπέμπωμεν τὴν τροφὴν εἰς τὰ ἔσω, ἐπιπωματίζει ἡ ἐπιγλωττὶς τὴν ἀρτηρίαν, καὶ κωλύει αὐτὴν ἐνεργεῖν· ἐφ᾽ οἷς συμβαίνει, μὴ κινουμένης τῆς ἀρτηρίας ὑπὸ τοῦ ἐντὸς πνεύματος, ἵστασθαι καὶ τὸν πνεύ-

[i] χαλαρότερος B. [k] στρυφνότης B.C. [l] φέρονται· καὶ φερόμενα B. [m] ἔστι καὶ εὔστρ. B. [n] ὑσσώφαγον B. [o] διαμασσησάμενοι B. [p] καταλεάναντες A. καταλαιάναντες B. καταλειάναντες C.

μονα παρευθύς· ὅτι φυσσωμένης τῆς ἀρτηρίας[q] διάδοσις γίνεται[r] πνεύματος εἰς τὰ κοῖλα μέρη τοῦ πνεύμονος· ἔχει γὰρ[s] διαφύσεις χονδρώδεις ὁ πνεύμων εἰς ὀξὺ διηκούσας καὶ συνηγμένας· δι' ὧν εἴσεισι τὸ πνεῦμα εἰς τὰς ὀπὰς αὐτοῦ· κἀκεῖθεν αὖθις εἰς τὴν καρδίαν ἐνίησιν· ἐπιπωματιζομένης δὲ τῆς ἀρτηρίας παρὰ τῆς ἐπιγλωττίδος ὡς εἴρηται, παραπέμπεται ἡ τροφὴ ἐν τῷ στομάχῳ· λέγεται δὲ ἀλτηρία καὶ ἀρτηρία[t]· καὶ[u] ἀρτηρία μὲν, οἷον, ἀεροτηρία[v], ἀπὸ τοῦ περιέχειν καὶ τηρεῖν τὸ πνεῦμα· ἀλτηρία δὲ, παρὰ τὸ ἅλλεσθαι[w]· ἡ ἀεὶ ἀλλομένη καὶ πηδῶσα.

Λέγεται δὲ γλῶσσα παρὰ τὸ κλώθω· κλωθομένης[x] γὰρ αὐτῆς ἡ ἔναρθρος φωνὴ ἀποτελεῖται· ἢ οἷον, γνῶσσα, διαγνωστικὴ γάρ ἐστι τῶν ἐν τοῖς χυμοῖς ἰδιωμάτων, καθὼς ἤδη εἴρηται· πλὴν ἡ μὲν ὄψις, καὶ ὄσφρησις, καὶ ἀκοὴ πόῤῥωθεν καὶ παντάχοθεν τῶν ἰδίων αἰσθητῶν ἀντιλαμβάνονται· οἷον, ὁρᾷ καὶ μάκροθεν ἡ ὄψις, καὶ ἡ ὄσφρησις ὀσφραίνεται, καὶ ἡ ἀκοὴ ἐνωτίζεται· ἀφὴ δὲ καὶ γεῦσις τότε μόνον αἰσθάνονται, ὅταν πλησιάσωσι τοῖς ἰδίοις αἰσθητοῖς.

Αἱ μὲν οὖν γλώττης χρεῖαι καὶ ἐνέργειαι εἴρηνται, ὅτι πρός τε τὴν φωνὴν καὶ τὴν διάλεκτον, καὶ τὴν γεῦσιν, καὶ τὴν διαμάσησιν[y] ἡ τὰ πάντα οἰκονομοῦσα δύναμις ἐπιτηδειότητα αὐτῇ ἐχαρίσατο· λοιπὸν ἴδωμεν καὶ τῶν ὀδόντων τὴν σύμπηξιν, καὶ τὴν φύσιν, καὶ τὴν ἐνεργείαν.

Ὀδόντες εἰσὶν οἱ διαιροῦντες τὴν τροφὴν, καὶ κατεργαζόμενοι αὐτὴν, συνεργοῦντες καὶ τῇ διαρθρώσει τῆς φωνῆς· οἱ μὲν γὰρ τέμνουσι τὰ σιτία· οἱ δὲ λεαίνουσι· οἱ καὶ μύλαι λεγόμενοι, ἢ μυλῖται· ἐκ τοῦ ἔδω τὸ ἐσθίω οὕτως ὀνομαζόμενοι· τριακονταδύο δέ εἰσι τὸν ἀριθμόν· ἓξ καὶ δέκα καθ' ἑκατέραν γένυν ὄντων· τέσσαρες μὲν[z] ἔμπροσθεν, οἱ τομεῖς λεγόμενοι, μονόῤῥιζοι[a] πάντες· ἑκατέρωθεν δὲ αὐτῶν δύο, οἱ κυνόδοντες·

[q] verba a *ὑπὸ τ. ε.* usque *τῆς ἀρτηρ.* om. A. [r] *διάδοσιν γίνεσθαι* A. [s] *δὲ* B. [t] *ἀρτ. καὶ ἀλτ.* B. [u] *καὶ* om. B. [v] *ἀρεωτηρία* B. [w] *ἄλεσθαι* A. *παρὰ τὸ ἄλσειν ἤγουν ἄλλεσθαι* B. [x] *κλωθωμένης* C. [y] *διαμάσσησιν* B. [z] *μὲν* om. B. [a] *μονόριζοι* B.

μονόῤῥιζοι[b] *καὶ οὗτοι· εἶτα οἱ γόμφιοι· τούτων ἑξῆς ἀνὰ πέντε· τρίῤῥιζοι*[c] *μὲν οἱ ἐν τῇ ἄνω γενύϊ· δυοῖν δὲ ῥιζῶν οἱ ἐν τῇ κάτω· εὕρηνται δὲ καὶ τετράῤῥιζοι*[d]*· γόμφιοι δὲ λέγονται διὰ τὴν κάμψιν· ἐπικεκαμμέναι γάρ εἰσιν αἱ συνέχουσιν*[e] *αὐτοὺς σιαγόνες.*

Διαφέρουσι γοῦν τῶν ἄλλων ὀστῶν οἱ ὀδόντες ἐν τῷ αἰσθάνεσθαι· ἔχουσι γὰρ ἀρτικὴν διάθεσιν[f] *αἰσθητικῶν νεύρων φερομένων ἐν τοῖς φατνώμασιν, ἐν οἷς ῥιζοῦνται· αἰσθάνονται δὲ ὑπὸ τῆς ὁμιλίας τῶν ἀμέτρων ψυχρῶν καὶ θερμῶν· ἀλλὰ καὶ τῶν γευστῶν τῆς ποιότητος μεταλαμβάνουσι, διὰ τοῦ ὑμένος*[g] *τοῦ ὑπαλείφοντος τὸν στόμαχον καὶ τὸν οἰσοφάγον*[h]*, καὶ μὴ μόνον γλῶτταν, ἀλλὰ καὶ τοὺς ὀδόντας ὑπαλείφοντος· ὃς καὶ τὴν τοῦ αἱμωδιᾶν*[i] *νάρκην*[k] *αὐτοῖς ἐπεγείρει· ἔτι οἱ ὀδόντες γυμνοί εἰσι, τῶν ἄλλων ὀστῶν μὴ ὄντων γυμνῶν· πάντα γὰρ τὰ ὀστᾶ ἔχουσι περικείμενα*[l] *μύας καὶ δέρμα· ἔτι διαφέρουσι τῷ πίπτειν καὶ αὖθις φύεσθαι· οὐ μόνον ἐν ταῖς πρώταις ἡλικίαις, ἀλλὰ καὶ ἐν ταῖς λοιπαῖς· ἱστόρηται δὲ καὶ ἐπὶ γερόντων· εἰσὶ δὲ τῶν ὀδόντων οἱ μὲν ἀραιοὶ, οἱ δὲ πυκνοί· ἄλλοι μεγάλοι, καὶ ἕτεροι μικροί· ἄλλοι κογχωτοὶ, καὶ ἄλλοι κατ' εὐθεῖαν κείμενοι· οὐ μόνον ἐπὶ ἀνθρώπων*[m]*, ἀλλὰ καὶ ζώων ἑτέρων· καὶ γὰρ ὁ Ἀριστοτέλης, τὰ μὲν τῶν ζώων ἀμφόδοντα καλεῖ· οἷον, ἄνθρωπον· ἵππον· ὄνον· ἐλέφαντα· τὰ δὲ καρχαρόδοντα· οἷον, λέοντα· λύκον· ἄρκτον*[n]*· πάρδαλιν· τὰ δὲ συνόδοντα*[o]*· οἷον, πρόβατον· βοῦν· αἶγα· δορκάδα· τὰ δὲ χαυλιόδοντα· οἷον, χοῖρον· ἀσφάλαγγα*[p]*· καὶ ὅσα τοὺς ὀδόντας ὑπερφαίνουσιν ἔξω· τοὺς δὲ μυλίτας τῶν ὀδόντων τινὲς σωφρονιστῆρας ἐκάλεσαν, διὰ τὸ φύεσθαι περὶ τὴν τοῦ ἄρχεσθαι φρονεῖν τοὺς παῖδας ὥραν.*

Ἡ δὲ συνέχουσα αὐτοὺς σὰρξ οὖλον ὠνόμασται, διὰ τὸ τρυφερὸν αὐτῆς καὶ ἁπαλόν· ἢ παρὰ τὸ ἡλῶ· τροπῷ γάρ τινι ἡλῶν

[b] *μονόριζοι* B. [c] *τρίριζοι* B. [d] *τετράριζοι* B. [e] *συνέχουσαι* B.
[f] *αἴσθησιν* B. [g] *ὑμ. ἐκείνου* B. [h] *ὑσώφαγον* B. [i] *μωδιᾶν* B.
[k] *νάρκη* A. [l] *περικείμενον* B. [m] *ἐπ' ἀνθρώπων* B. [n] *ἄρκον* B.
[o] *βούδοντα* C. [p] *ἀσφάλακα* B.

τάξιν[q] ἐπέχει εἰς διακράτησιν τῶν ὀδόντων· ἢ ὅτι οὐλὴν ἔχει, τὴν ἐπιγινομένην τῇ τῶν φυομένων ὀδόντων διακοπῇ, καὶ ὑγιαζομένην· οὐλὴ γὰρ τὸ ὑγιασθὲν τραῦμα· ἔνθεν καὶ τὸ οὖλε, ὑγίαινε[r]·

οὖλέ τε, καὶ μέγα χαῖρε (Od. Ω. 401.)

λέγονται δὲ[s] τρίχες οὖλαι, αἱ[t] εἰλούμεναι, παρὰ τὸ εἰλεῖσθαι[u]· καὶ οὖλαι αἱ κριθαί[v]· καὶ οὐλοχύται αἱ ὁλόκληροι[w] τῶν κριθῶν· καὶ οὖλος ὁ ὀλέθριος, παρὰ τὸ ὀλλύω[x] "ὄλλοιτο κεῖνος ἐξ ἀν-"δρῶν[y]." τὰ οὖλα οὖν καὶ φατνώματα καλοῦσι τινὲς, ἢ φάτνια· παρὰ τὸ φαγεῖν γὰρ φάγνη, καὶ φάτνη[z]· ἢ παρὰ τὸ πατῶ τὸ ἐσθίω· ὅθεν καὶ τὸ πάσασθαι ἀντὶ τοῦ γεύσασθαι καὶ φαγεῖν· ἢ ὡς Καλλίμαχος·

μήκωνα πατεῖτε[a]·

καὶ γίνεται δὲ καὶ ἀπὸ τοῦ κάπη φάτνη, παρὰ τὸ κάπτειν, ὅ ἐστιν ἐσθίειν· φησὶ γὰρ Ἀριστοφάνης Ἱππεῦσι[b],

Καπαῖον ἤτοι Φάλτον Διά.

ἢ παρὰ τὸ κάπος, ὅ ἐστι πνεῦμα, ὡς ἐν τῷ,

ἀπὸ δὲ ψυχὴν ἐκάπυσεν· (Il. X. 467.)

ἢ διὰ τοῦ καταπνέεσθαι ἀπὸ τοῦ ἄσθματος τὸν ἵππον· ἢ παρὰ τὸ ἐσκάφθαι καὶ κεκοιλάνθαι.

Ὁ δὲ γαργαρεὼν κιονὶς καὶ σταφυλὴ λέγεται παρὰ τῶν ἰατρῶν[c]· γαργαρεὼν μὲν, διὰ τὸν γινόμενον περὶ αὐτὸν ἦχον ἐν τῷ γαργαρίζεσθαι· σταφυλὴ δὲ, ἀπὸ τοῦ συνεχῶς καταστάζεσθαι[d]· ἢ ἀπὸ τοῦ τὸ ἄκρον αὐτῆς φαίνεσθαι ὅμοιον ῥαγί· χιονὶς δὲ, ἢ παρὰ τὴν χύσιν τῶν ὑγρῶν, ἢ παρὰ τὸ κίονος ἔχειν τύπον, καθ' ἑαυτὴν οὖσαν ἐπιμήκη· ἔστι δὲ σαρκίον τῆς φάρυγγος ἀπηρτημένον[e], κιονοειδὲς φωνῆς ὄργανον ἐξηχοῦν κατὰ ἀποτέλεσμα πνεύματος· οὐρανίσκος δὲ τὸ ἀνώτερον μέρος τοῦ στόματός ἐστιν, ἐκ τῆς πρὸς οὐρανὸν ὁμοιότητος τὸ ὄνομα λαβών·

[q] τάξιν ἠλ. B. [r] οὖλαι. τὸ ὑγ. B. [s] καὶ B. [t] καὶ B. [u] εἰλῆσθαι B. [v] αἱ κρ. om. B. [w] καὶ ὁλόκληρος B. [x] οὐλλύω A. [y] om. A. [z] quæ sequuntur usque ad ὁ δὲ γαργαρεὼν om. B. [a] Lat. Vers. μήκωνα πάττονται. Callim. Fr. 437. [b] in Edd. non exstat. Lat. Vers. p. 80, 14. "quod Aristophanes in Hippis com-"memorat" sed verba poetæ non affert. [c] π. τ. ἰατ. λεγ. B. [d] hæc om. B. [e] ἀπηρτιμένον B.

τὰ δὲ παρ' αὐτῷ μόρια ὑπερῷα λέγεται· μετενήνεκται δὲ ἡ λέξις τοῦ ὑπερῴα[e] ἀπὸ τῶν ὑπερώων οἰκοδομημάτων, καὶ τῶν[f] μετεωρισμένων ὑπὲρ τὴν ἔραν, ἥ ἐστιν ἡ γῆ· φησὶ δὲ καὶ Ὅμηρος[g],

χείλεα μέν τ' ἐδίηνεν, ὑπερώην δ' οὐκ ἐδίηνε. (Il. X. 495.)

τοῦτο δὲ τὸ μέρος καὶ φάρυγξ[h] καλεῖται, παρὰ τὸ φέρω, δι' οὗ φέρεται τὸ πνεῦμα· καί ἐστι παρώνυμον· καὶ γὰρ ὁ Λυκόφρων φησὶ,

ἐτύμβευσε φάρῳ[i]·

ὁ δὲ Καλλίμαχος[j]

ἄφαρον φαρόωσιν

φησὶ, τὴν μηδὲν φέρουσαν φάρυγγα.

Τὸν δὲ ἀνθερεῶνα, ὃν καὶ λάρυγγα καλοῦμεν, τὴν ἐπιγλωττίδα φασὶν εἶναι[k]· καὶ εἴρηται ἤδη περὶ αὐτῆς· πλὴν σαρκίον ἐστὶ νευρῶδες καὶ μυῶδες· ἐοικὸς κισσοφύλλῳ, ὃς ἐπιμύσσων[l] ἐν τῷ καταπίνειν τὴν τραχεῖαν ἀρτηρίαν, οὐκ ἐᾷ εἰσέρχεσθαι ἐν αὐτῇ τῶν βρωμάτων τι ἢ τῶν πομάτων· ἀνοιγόμενος δὲ τὴν εἰσπνοὴν παραπέμπεσθαι ποιεῖ· ἐκλήθη οὖν ἀνθερεὼν διὰ τὸ θορεῖν[m] τὸ πνεῦμα ἐκεῖθεν· ἢ οἷον ἀνθερεὼν, ὅτι ἐντίθεται[n] τῷ τοιούτῳ ἡ τροφὴ ἐν τῷ καταπίνειν· λαιμὸς δὲ καὶ λάρυγξ τοῖς ὀνόμασι διαφέρουσι μόνον· παρὰ γὰρ τὸ λαίειν, ἢ λαύσειν, ὅ ἐστι τὸ ἀπολάβειν[o], ἀμφότερα παράγεται· διὰ γὰρ λαίμου καὶ λάρυγγος τὴν ἀπόλαυσιν ἔσχομεν τῶν τροφῶν· λαιμᾶν γὰρ τὸ ἀπολαυστικῶς ἔχειν εἴρηται παρά τισιν.

Ἡ δὲ ὑποκειμένη τῷ λάρυγγι ἀρτηρία τραχεῖα ὠνόμασται, ἐκ τοῦ πνεύμονος ἀνερχομένη, ὡς πόρος οὖσα αὐτοῦ· τετύχηκε δὲ τούτου τοῦ ὀνόματος τοῦ τραχεῖα λέγεσθαι, ἐπειδὴ σύγκειται ἐκ διαφόρων οὐσιῶν, χονδρώδων λέγω καὶ ὑμενώδων· εἰδὼς γὰρ ὁ τεχνίτης τῆς φύσεως ὅτι διαφόρους ἔμελλε χρείας ἀποτελεῖν τῇ τε ἀναπνοῇ καὶ τῇ φωνῇ, ἐκ χονδρώδους οὐσίας αὐτὴν ἐτεχνάσατο καὶ ὑμενώδους, διὰ τὴν τῆς φωνῆς, ὡς ἐπὶ τὸ

[e] ὑπερώου B. [f] τῶν om. B. [g] cit. om. B. [h] φάρυξ B. [i] φάρον A. Vid. Bachman. ad Lycophr. v. 154. [j] Fr. 183. [k] ἡ ἐπιγλωττίς ἐστι B. [l] ἐπιμύσων B. [m] θεωρεῖν A. θαῤῥεῖν C. [n] ἐν τῷ. θεται A. [o] τὸ ἀπολαύειν B.

πλεῖστον χρείαν· ἔδει γὰρ τὴν φωνὴν στερεῷ τινι σώματι προσκρούειν καὶ μὴ μαλακῷ· ἀλαμπὴς γὰρ ἂν οὕτως ἐγίνετο· πάλιν εἰ ἐκ χόνδρων μόνων[p] συνέκειτο, οὐκ ἂν ἐδύνατο ἐπὶ πλέον[q] διασταλῆναι ἐν ταῖς μεγάλαις φωναῖς, καὶ διαρκέσαι ἐν τῇ ἀναπνοῇ· καὶ διὰ τοῦτο μεταξὺ τῶν χόνδρων τοὺς ὑμένας συντέθεικεν[r]· ὥς τε τοὺς χόνδρους μὲν διὰ τὴν φωνὴν, τοὺς ὑμένας δὲ διὰ τὴν ἀναπνοὴν[s] γένεσθαι.

Τραχεῖα μὲν οὖν ἐστὶν ἔξωθεν· ἔσωθεν δὲ οὐκ ἔτι· ὑπαλείφει γὰρ αὐτῆς ὅλον τὸν πόρον ὑμὴν τὶς λεῖος, ἵνα μὴ προσπίπτουσα ἡ τῆς φωνῆς ὕλη τραχύνηται[t]· ὕλη δὲ φωνῆς πνεῦμα ἐστί· πλησίον δὲ ταύτης καὶ ὁ[u] οἰσοφάγος ἐπάγη· πόρος δέ ἐστι καὶ αὐτὸς τῆς γαστρός· ἐν αὐτῇ τὴν τροφὴν προσκομίζων· ἐκ τοῦ οἴω τὸ κομίζω οὕτως ὀνομασθείς· ἔστι δὲ καὶ αὐτὸς νευρώδης, καὶ οἷον ἐντεροειδής· τὰ δὲ παρίσθμια[v] σαρκία εἰσὶ[w] τοῦ φαρυγγὸς μυώδη καὶ νευρώδη· λέγονται δὲ οὕτως διὰ τὸ στένον τοῦ ἐν ᾧ εἰσὶ τόπου· καὶ διὰ τὸ παρακεῖσθαι τῷ ἰσθμῷ· ἰσθμὸς δέ ἐστιν ὁ στενὸς τόπος, δι' οὗ ἔστιν ἰέναι τὴν πνοήν· ἡ γὰρ μεταξὺ χώρα τοῦ οἰσοφάγου καὶ τῆς τραχείας ἀρτηρίας, ἰσθμὸς καλεῖται, παρὰ τὸ[x] δι' αὐτοῦ εἰσιέναι τὰ βρώματα καὶ τὰ πόματα[y]· ὅθεν καὶ παρίσθμια καὶ ἀντιάδες[z] λέγονται, διὰ τὸ ἀντικεῖσθαι ἀλλήλοις· τινὲς δὲ καὶ βράγχη καλοῦσιν αὐτά· ἐκεῖθεν γὰρ καὶ τὸ βραγχιᾶν πάθος γίνεται· πᾶν γὰρ ὑγρὸν ἐκ φάρυγγος, καὶ λάρυγγος, καὶ βραγχῶν φέρεται· εἰσὶ δὲ τὰ βράγχη[a] σαρκία μυώδη· ἡ πᾶσα τοίνυν τοῦ στόματος χώρα φάρυγξ λέγεται καὶ λάρυγξ· τὸ μὲν ἐσώτερον λάρυγξ, τὸ δὲ ἐξώτερον φάρυγξ.

ΚΕΦ. ΙΑ.

Περὶ τῆς Φωνῆς.

Φωνητικὰ δὲ ὄργανα ταῦτα· ὁ γαργαρεών· ὁ λάρυγξ· ἡ τραχεῖα ἀρτηρία· ὁ πνεύμων· ὁ θώραξ, καὶ τὰ πάλιν δρομοῦντα

[p] μόνον B. [q] πλεῖον B. [r] συνέθηκεν B. [s] ἀναπνοὴν A. [t] παχύνηται B. [u] ὁ om. A. [v] παρίσθιμια A. [w] ἐστι B. [x] τοῦ A. [y] τὰ ποτὰ κ. τ. βρώμ. B. [z] αἱ ἀντ. B. [a] βργχία A.

νεῦρα· διαλεκτικὰ[b] δὲ, γλῶττα· ὀδόντες· χείλη· ῥίς· οὐρανίσκος, καὶ ὁ γαργαρεών· καὶ ἐνταῦθα γὰρ ξυμβάλλεται[c]· οὕτως δὲ ἡ φωνὴ γίνεσθαι πέφυκε· τὸ πνεῦμα[d] ἀπὸ τῶν πνευματοδόχων ἀγγείων ἀνωθούμενον, ὅταν ἡ ὁρμὴ τοῦ φθεγγομένου πρὸς φωνὴν τονώσῃ τὸ μέλος, ταῖς ἔνδοθεν προσκρουόμενον προσβολαῖς, αἳ κυκλοτερῶς τὸν αὐλοειδῆ διειλήφασι πόρον, μιμεῖται πῶς τὴν δι' αὐλοῦ γινομένην φωνήν· ταῖς[e] ὑμενώδεσιν ἐξοχαῖς κύκλῳ περιδονούμενον· ὑπερώα δὲ τὸν κάτωθεν φθόγγον ἐκδέχεται· τῷ κατ' αὐτὴν κενώματι διδύμοις αὐλοῖς τοῖς ἐπὶ τοὺς μυκτῆρας διήκουσι· καὶ οἷον λεπίδων τισὶν ἐξοχαῖς[f], τοῖς τε[g] περὶ τὸν ἰσθμὸν χόνδροις τὴν φωνὴν περισχίζουσα, γεγωνοτέραν αὐτὴν ἀπεργάζεται· παρειὰ δὲ καὶ γλῶσσα, καὶ ἡ περὶ τὸν φάρυγγα διασκευὴ, καθ' ἣν ὁ ἀνθερεὼν ὑποχαλᾷ κοιλαινόμενος, καὶ ὀξυτονῶν[h] ἐπιτείνεται, τὴν ἐν ταῖς νευραῖς τοῦ πλήκτρου κίνησιν ὑποκρίνεται· ποικίλως καὶ πολυτρόπως σὺν πολλῷ τάχει μεθαρμόζων τὰ πρὸς τὴν χρείαν, πρὸς τοὺς πόνους τῶν μουσικῶν· χειλέων δὲ διαστολὴ καὶ ἐπίμυσις ταυτὸν ποιεῖ τοῖς διὰ τῶν δακτύλων ἐπιλαμβάνουσι τοῦ αὐλοῦ τὸ πνεῦμα κατὰ τὴν[i] ἁρμονίαν τοῦ μέλους· σύμμικτος γὰρ ἡ μουσικὴ περὶ τὸ ἀνθρώπινον ὄργανον αὐλοῦ καὶ λύρας, ὥσπερ ἐν συνῳδίᾳ[j] τινὶ κατὰ ταυτὸν ἀλλήλοις συμφθογγομένων.

Καὶ οὕτως μὲν ἡ φωνὴ γίνεται καθ' ὃν εἴρηται τρόπον· τοῦ μὲν πνεύμονος ἐκφυσσῶντος τὲ, καὶ τὴν ὕλην παρέχοντος· τῆς δὲ τραχείας ἀρτηρίας ὥσπερ τινὸς αὐλοῦ διαπορθμευούσης τὸν ἀέρα, καὶ πληττομένης ὑπ' αὐτοῦ, καὶ τοιόνδε ἦχον ἀποτελούσης· οὐδὲν γάρ ἐστι φωνὴ ἢ πλῆξις ἀέρος, ἢ ἀὴρ πεπληγμένος φωτίζουσα τῷ λόγῳ τὰς τοῦ νοὸς διανοίας· τὶ δὲ καὶ τὰ χείλη, καὶ ἡ ῥὶς, καὶ ὁ ἀνθερεὼν πρὸς ταυτὴν συνεργοῦσιν, εἴρηται μικρῷ πρόσθεν.

Ὁ δὲ γαργαρεὼν, ὃν καὶ σταφυλὴν καλέουσιν, οὐ μόνον δίκην πλήκτρου τὸ ἐκπνεόμενον πνεῦμα προσκρούων[k] αὐτὸ δια-

[b] διελεκτικὰ A. [c] ξυμβάλεται B. [d] ἐπειδὰν γὰρ τὸ πν. B. [e] ταῖς δὲ A. [f] quæ seq. usque ad ἐξοχαῖς om. A. [g] τε om. B. [h] ὀξύτονον A. [i] τὴν om. A. [j] συναδίᾳ B. [k] προσκροῦων B.

τυποῦται τοιῶσδε, ἀλλὰ καὶ ἑτέραν χρείαν οὐ μικρὰν τῇ τε τραχείᾳ ἀρτηρίᾳ καὶ ὅλῳ ποιεῖται τῷ λάρυγγι· πρὸς γὰρ τὰς ἀμέτρους τοῦ ἀέρος μεταβολὰς, θερμότητας[l] τυχὸν ἢ ψύξεις, ἀνθιστάμενος πρῶτος[m] καὶ ἀπαντῶν, εἰς συμμετρίαν ἄγει τὸ ἄμετρον, καὶ οὕτως παραπέμπει τῇ ἀρτηρίᾳ τὴν εἰσπνοήν· καὶ δι' αὐτῆς τῷ πνεύμονι καὶ τῇ καρδίᾳ· οὐ μόνον δὲ τὰς τῆς ψύξεως καὶ θερμότητος εὐκρατεῖ[n] ὁ γαργαρεὼν δυσκρασίας, ἀλλὰ καὶ παχύτητος τοῦ ἀέρος, ἐκ κάπνου ἢ κονιορτοῦ ἐπελθούσας[o] αὐτῷ, λεπτύνει καὶ καθαίρει δίκην ἰσθμοῦ· καὶ εἰλικρινῆ τὴν εἰσπνοὴν παραπέμπει τοῖς ἔσω· αὗται τῶν φωνητικῶν ὀργάνων αἱ ὀνομασίαι, καὶ χρεῖαι, καὶ ἐνέργειαι.

Ἡ δὲ ἀφωνία ἐπὶ ἐνίων ἀνθρώπων, ἢ κακοφωνία, οὕτως γίνεται· δύο ὑμένες διαφράττουσι τὸν θώρακα· οἱ καὶ ἀρχόμενοι ἀπὸ τοῦ στέρνου ἀφικνοῦνται μέχρι τῆς ῥάχεως· ὡς γίνεσθαι δύο κοιλίας ἐν τῷ θώρακι· καὶ μέσον τῶν κοιλιῶν εἶναι τὸν πνεύμονα· διείργονται οὖν αἱ δύο κοιλίαι ἀπ' ἀλλήλων, ὡς μὴ δὲ δύνασθαι μεθίστασθαι ἀπὸ τῆς δεξιᾶς κοιλίας ἐπὶ τὴν ἀριστεράν· μήτε ἀπὸ τῆς ἀριστερᾶς ἐπὶ τὴν δεξιάν· συμβαίνει τοίνυν ἐκ ψύξεως ἢ καύσεως ῥεῦσαι τινὰ χυμὸν ἐπὶ ταῖς εἰρημέναις κοιλίαις, καὶ ἐμφράξαι αὐτάς· κἀντεῦθεν γενέσθαι τὴν ἀφωνίαν· εἰ μὲν οὖν μία τῶν κοιλιῶν πάθῃ[p], ἡμιφωνία παρακολουθεῖ· ἂν δὲ αἱ[q] δύο, παντελὴς[r] γίνεται ἀφωνία. καὶ περὶ μὲν φωνῆς ἡ σκέψις αὐτάρκης.

ΚΕΦ. ΙΒ.

Περὶ Ἀναπνοῆς.

Λοιπὸν ἴδωμεν καὶ πῶς ἡ ἀναπνοὴ γίνεται, καὶ τί τὸ ἐνεργοῦν μόριον· καὶ πῶς ἄλλοτε μεγάλη, καὶ[s] ἄλλοτε μικρὰ, ἢ μέσως ἔχουσα φαίνεται· καὶ δεῖ εἰδέναι ὅτι τὴν κατὰ φύσιν καὶ ἀβίαστον ἀναπνοήν, τὸ λεγόμενον διάφραγμα ἀπεργάζεται· ἔστι δὲ τὸ διάφραγμα ὑμὴν[t] περιζωννύων ὅλα τὰ σπλάγχνα[u]·

[l] θερμότητος B. et mox ψύξεως. [m] πρώτως B. [n] εὐκρατοῖ A.
[o] ἀπελθούσας A. [p] πάθοι B. [q] οἱ A. [r] ἡ παντ. B. [s] καὶ om. B.
[t] οὐμὴν A. [u] ὅλον τὸν θώρακα B. ὅλ. τὸ σῶμα C.

διαχωρίζει δὲ τὰ θρεπτικὰ μόρια ἀπὸ τῶν ἀναπνευστικῶν· εἰ δέ ἐστι συντεταμένη[v] ἀναπνοὴ, τότε καὶ οἱ μεσοπλεύριοι μῦες ἐνεργοῦσι·· καὶ ὥσπερ ἐν τῷ ἠρέμα ἡμᾶς βαδίζειν[w], ἐνεργεῖ διάφραγμα[x] τὴν κατὰ φύσιν ἀναπνοὴν, οὕτως ἐν τῷ ἐπιτεταμένως βαδίζειν, τὴν ἐπιτεταμένην ἀναπνοήν[y]· ἐπεὶ δὲ οὐκ ἐξαρκεῖ[z] μόνον τὸ διάφραγμα ἀναπληρῶσαι τὴν χρείαν, ἐνεργοῦσι καὶ οἱ μεσοπλεύριοι μῦες[a], ὥσπερ ἐπὶ τῶν ὀξέως βαδιζόντων· εἰ δὲ ἐπιπλέον ἔτι ἐστὶν ἐπιτεταμμένη[b] καὶ βεβιασμένη ἡ ἀναπνοὴ, ἐπειδὴ τότε οὐκ ἐξαρκοῦσι τό τε διάφραγμα καὶ οἱ μεσοπλεύριοι μῦες ἀναπληρῶσαι τὴν χρείαν, τότε καὶ οἱ ὑψηλοὶ λεγόμενοι μῦες ἐνεργοῦσιν, ὥσπερ ἐπὶ τῶν τρεχόντων καὶ ἐπιτεταμμένως[c] γυμναζομένων.

Ἀξιολογωτάτη δέ ἐστιν ἡ ἀναπνοὴ τῶν ἐνεργειῶν τοῦ σώματος· μᾶλλον δὲ τῆς ψυχῆς· ἐδείχθη γὰρ ἔμπροσθεν ὅτι πάντα τὰ ὑπὸ μυῶν καὶ νεύρων κινούμενα μόρια, ἐκ τῆς ψυχῆς τὴν δύναμιν τῆς ἐνεργείας λαμβάνει[d], καὶ ψυχικά ἐστιν· ἀξιολογωτάτη δέ ἐστιν ἡ ἀναπνοὴ, ἐπειδὴ καὶ ζωογονεῖ[e] καὶ ἀνακτᾶται τὸ ἔμφυτον θερμόν· καὶ ὑγιῶς αὐτὴ ἔχουσα[f], εἰς τὸ ζῆν καλῶς τοῖς ζωοῖς[g] συμβάλλεται· βεβλαμμένως[h] δὲ διακειμένης, σφάλλει τὰ ζῶα, καὶ διαφθείρει αὐτά· γενεσιουργὰ δὲ αἴτια τῆς ἀναπνοῆς τέσσαρα δεῖ ζητεῖν· ποιητικόν· ὑλικόν· ὀργανικόν· τελικόν· καὶ ποιητικὸν αἴτιον τῆς ἀναπνοῆς, ἡ δύναμις τῆς ψυχῆς, ἡ κινοῦσα τοὺς μῦας τοῦ σώματος· ὑλικὸν δὲ, αὐτὸ τὸ εἰσπνεόμενον καὶ ἐκπνεόμενον[i] πνεῦμα· τελικὸν δὲ, ἡ χρεῖα· διττὴ δὲ αὐτή[k]· διὰ μὲν τῆς εἰσπνοῆς, εἰσάγει καθαρὸν τὸν ἀέρα, καὶ ἐμψύχει τὸ ἔμφυτον θερμόν· διὰ δὲ τῆς ἐκπνοῆς, ἐξάγει τὰ λιγνυώδη περιττώματα.

Χρεία δὲ καὶ εἰς θρέψιν τοῦ ψυχικοῦ πνεύματος· ἥτις γίνε-

[v] συντεταγμένη A. συντεταμμένον C. [w] βαδ. ἡμᾶς B. [x] τὸ διάφ. B. [y] οὕτω τὴν ἐπιτεταμένην ἀναπν. ἐπιτεταγμένως et ἐπιτεταμένην A. [z] ἐπειδὴ τότε οὐκ ἐξαρκοῦσι τό τε διαφρ. καὶ οἱ μεσοπλ. μύες B. [a] τότε καὶ οἱ ὑψηλοὶ λεγ. μύες ἐνεργ. omissis quæ seq. B. [b] ἐπιτεταγμένη B. [c] ἐντεταμένως B. [d] ἐκ τῆς ἐνεργείας τῆς ψυχ. λαμβ. τὴν δύναμιν B. [e] ἀναζωοποιεῖ B. [f] αὐτῆς ἐχούσης B. [g] τῇ ζωῇ A. [h] βεβλαμένως B. [i] πνεόμενον A. [k] αὕτη B.

ται διὰ μόνης τῆς ἀναπνοῆς· ἕλκεται γάρ τις ἀέρος μοίρα κατὰ τὰς διαστολὰς τῆς καρδίας εἰς αὐτὴν, καὶ τρέφει τὸ ψυχικὸν πνεῦμα τὸ ἐν τῇ καρδίᾳ· καὶ διαφυλάττει αὐτὸ εἰς τὴν κατὰ φύσιν αὐτοῦ θερμότητα· ὀργανικὸν δέ ἐστιν αἴτιον τῆς ἀναπνοῆς τὸ διάφραγμα, καὶ οἱ μεσοπλεύριοι μῦες, καὶ οἱ λεγόμενοι ὑψηλοί· ὧν κατά τι τρεπομένων συνίσταται δύσπνοια· τί δέ ἐστι δύσπνοια· καὶ πῶς συνίσταται· καὶ πόσαι ταύτης διαφοραὶ, οὐ τῆς παρούσης σκέψεως εἰπεῖν· μᾶλλον δὲ περὶ τοῦ στήθους διερευνήσωμεν, καὶ περὶ τῆς ἐντεῦθεν ἡμῖν πηγαζούσης εὐεργεσίας.

ΚΕΦ. ΙΓ.

Περὶ τοῦ Θώρακος.

Τὸ στῆθος λέγεται καὶ στέρνον, καὶ θώραξ· εἰ καὶ τινὲς διαιροῦσιν αὐτά· πλὴν στέρνον μὲν, διὰ τὸ στερεόν· καὶ στῆθος, παρὰ τὸ αὐτό· διότι ἕστηκεν ἀσάλευτον· ἄλλοι δὲ, ὅτι ἐν αὐτῷ τὸ ἡγεμονικὸν ἕστηκεν· ἐξ οὗ καὶ

στεῦταί τις λωβῆσαί σε·

οἷον, ἐν τοῖς στήθεσι διανοεῖταί τις ἀδικῆσαι ἢ βλάψαι σε· ὡς καὶ παρ' Ὁμήρῳ,

στῆθος δὲ πλήξας καρδίην[l] ἠνίπαπε μύθῳ. (Od. Υ. 17.)

ἢ ὅτι δι' αὐτοῦ, ἢ πλησίον αὐτοῦ, τὰ σιτία διωθεῖται· οἷον σιτίωθος· θώραξ δὲ, οἷον ὠρὸς[m] καὶ φύλαξ τοῦ θερμοῦ, ἢ τῆς ὀρούσης, ἤτοι πηδώσης καρδίας· ἢ τοῦ θείου καὶ ἡγεμονικοῦ τῆς ψυχῆς, τοῦ θυμικοῦ· οἷον θειόραξ[n]· ἢ[o] ἀπὸ τοῦ πᾶν πρᾶγμα κινεῖσθαι διὰ τοῦ περιεχομένου τόπου ὑπὸ τῆς καρδίας, ἡγεμονικοῦ ὄντος· οἷον, θεώραξ· θώραξ οὖν ὁ δεκτικὸς τῆς τροφῆς τόπος· τὸν γὰρ οἴνων ἐμπιπλάμενον[p] θωρίξασθαι[q] λέγομεν· καὶ Ἱπποκράτης· "λοιμὸν θώριξις[r] λύει·" τὴν πολυπόσιαν λέγων· ὡς καὶ ἀλλαχοῦ Πίνδαρος διθυράμβῳ·

ἀλόγχῳ ποτὲ θοριχθεὶς[s] ἐπεῖχεν ἀλλότρια[t]·

[l] καρδίαν et mox θύμῳ B. [m] ὀρὸς B. [n] θυόραξ A. θυώραξ Lat. Vers. [o] ἢ om. B. [p] οἶνον ἐμπιπλάμενον B. [q] θορίξασθαι A. θωρήξασθαι C. [r] θόριξις A. [s] θώρηξις C. [t] Pind. citationem om. B.C. ἀλόχῳ ποτὲ θωραχθεὶς ἐπέχεε ἀλλότρια Lat. Vers. Cf. Etym. M. p. 460, 39.

θώραξ δὲ τὸ ὅπλον ἀπὸ τοῦ περιεχομένου τὸ περιέχον παρίστησιν ἔξωθεν, μετωνυμικῷ τρόπῳ· ὡς καὶ Ὅμηρος,

πῦρ δαῖεν ἀπὸ κρατός τε καὶ ὤμων· (Il. E. 7.)

ἀπὸ τῶν περιεχομένων τὰ περιέχοντα· ἀντὶ τοῦ ἀπὸ τῆς ἀσπίδος καὶ τῆς περικεφαλαίας.

Ἔστιν οὖν ὁ θώραξ νευρώδης, καὶ μυώδης, καὶ φλεβώδης, καὶ ἀρτηριώδης, ὀργανικὸν μόριον ὑπὸ τοῦ δημιουργοῦ κατασκευασθεὶς πρὸς τὴν ἐνεργείαν τῆς ἀναπνοῆς· συνδέδεται δὲ ταῖς ὠμοπλάταις, καὶ ταῖς κατακλεῖσι, καὶ ταῖς πλευραῖς· κατὰ δὲ τὸ πέρας αὐτοῦ κάτωθεν τῶν μαιστῶν[u], ἐν τῇ μέσῃ συμπέφυκεν αὐτῷ ὁ ξιφοειδὴς λεγόμενος χόνδρος· ἐν ᾧ καὶ τὸ διάφραγμα περιζωννύει τὸ σῶμα[v], διαχωρίζον[w] τά τε ὑπὸ τὸν θώρακα, καὶ ὑπὲρ τὸν θώρακα σπλάγχνα· ἤγουν τὰ ἀναπνευστικὰ καὶ θρεπτικὰ μόρια.

Ἔστιν οὖν ὁ θώραξ οἰκητήριον μὲν τῆς καρδίας· σύγκειται δὲ αὐτῷ ὄπισθεν μὲν ἡ ῥάχις, ἔμπροσθεν δὲ τὸ στέρνον· ἑκατέρωθεν δὲ αἱ πλευραί· ἔχει δὲ καὶ[x] δύο κοιλίας, καθὼς εἴρηται ἀνωτέρω· ἃς ἐποίησεν ἡ φύσις, ὥσπέρ τινας δεξαμενὰς εἰς ὑποδοχὴν καὶ φυλακὴν πνεύματος· ἵνα ἐν καίρῳ περιστάσεως, εὑρίσκῃ ἀναψυχὴν ἡ καρδία· πολλάκις γὰρ οἱ ἀναφωνισταὶ τῶν ᾠδῶν λέξεις ἐπὶ λέξεσι συνάπτειν ἐθέλοντες, ἢ μέλη ἐκ μελῶν συντιθέναι, οὐ δύνανται ἀναπνεῖν· ἢ μᾶλλον οὐ βούλονται, διὰ τὸ μὴ θέλειν ἐκπεσεῖν τῆς τοῦ ῥυθμοῦ ἁρμονίας· τούτοις[y] γοῦν ἡ καρδία ἀπὸ τῶν ἐν τῷ θώρακι κοιλοτήτων δέχεται πνεῦμα, καὶ ἀνακτᾶ ἑαυτὴν, ἕως ἂν ἐκεῖνοι παύσωσι, καὶ τὴν εἰσπνοὴν ἐπισπάσωνται· τοιαύτη τίς ἐστιν ἡ τοῦ θώρακος οὐσία[z], ἐνέργειά τε καὶ χρεία.

ΚΕΦ. ΙΔ.

Περὶ τοῦ Τραχήλου, καὶ τῶν σπονδύλων τῆς Ῥάχεος, καὶ τοῦ νωτιαίου μυέλου.

Ἀνέλθωμεν δὲ πρὸς τὸν τράχηλον, καὶ ἴδωμεν τὴν οὐσίαν αὐτοῦ ὁποῖα, καὶ τὴν ἐνεργείαν· εἶτα τὰ μετάφρενα καὶ τὴν

[u] ὀστῶν A. [v] τὸ σῶμα om. A. [w] διαχωρίζων A.B. [x] καὶ om. B.
[y] ταῦτα A. [z] οὐσία om. A.

ῥάχιν· ἔπειτα τὰς πλευρὰς, καὶ τὸν ὑπεζωκότα· καὶ τότε περὶ τοῦ πνεύμονος καὶ τῆς καρδίας διασκεψόμεθα· ὁ τράχηλος τοίνυν λέγεται καὶ τένων καὶ αὐχήν· τοῦ δὲ τραχήλου, τὸ μὲν ἔμπροσθεν αὐτοῦ, κατακλεῖδες λέγονται· τὸ δὲ ὄπισθεν, τένων· ἐξ οὗ καὶ τενάντιον· καὶ τράχηλος μὲν λέγεται, ἀπὸ τῆς τραχύτητος τῶν ἐκεῖσε ὀστῶν· ὀστῶδες γὰρ τὸ μέρος τοῦτο· ἢ παρὰ τὸ δι' αὐτοῦ ῥεῖν, ἤτοι τρέχειν τὴν τροφήν· οἷον τρόχαλος· αἱ δὲ κατακλεῖδες, ὅτι περικλείουσι τὰ πρὸς τὸ στέρνον[a], ταῖς[b] ὠμοπλάταις διαρθρούμεναι[c]· ἡ γὰρ κλεὶς διὰ μόνην τὴν τοῦ θώρακος ἐγένετο διάστασιν· διὸ καὶ μόνος ὁ ἄνθρωπος ἐκ πάντων τῶν ἄλλων ζώων ἔχει κλεῖν.

Ἔστι δὲ ὅλος ὁ τράχηλος ὀστώδης· σπονδύλους ἀπὸ τοῦ ἰνίου ἔχων, ἀπὸ[d] μυῶν καὶ νεύρων καὶ συνδέσμων περιεχομένους· κατὰ μὲν τὸν τράχηλον ἑπτὰ, κατὰ δὲ τὸν νῶτον δύο καὶ δέκα· κατὰ δὲ τὴν ὀσφὺν πέντε· ὡς εἶναι πάντας κδ'. ἐσφιγμένοι δέ εἰσι πρὸς ἀλλήλους καὶ τεθειμένοι, συμβολὰς ἔχοντες καὶ ἀποφύσεις ἀκανθώδεις· ἡ δὲ συμβολὴ τούτων, γυγλισμὸς λέγεται παρὰ τῶν ἰατρῶν· τὴν δὲ τούτων σπονδύλων δύναμιν, καὶ χρείαν, καὶ ἐνέργειαν, ἐν τοῖς ὄπισθεν διεξήλθομεν· λέγεται δὲ ὁ τράχηλος καὶ δειρή· κυρίως μὲν ἐπὶ τῶν τετραπόδων, διὰ τὸ ἐκεῖθεν ἐκδέρεσθαι· καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν ἀνθρώπων, διότι πᾶν ὃ μὴ δι' ὅλου ἔστιν ᾧ[e] λέγεται, ἐκ καταχρήσεως ἔχει τὴν κλῆσιν· τὰ δὲ ὑποκάτωθεν τῶν ὠμοπλάτων μετάφρενα λέγονται, ὅτι ἐξόπισθεν τῶν φρενῶν κεῖται· ὅθεν καὶ ὁ Ὅμηρός φησιν,

ἧπαρ ὑπὸ πραπίδων, (Il. N. 412.)

ὅ ἐστι τῶν φρενῶν[f].

Ἡ δὲ ῥάχις ῥῆξίς τίς ἐστι, τὰ δεξιὰ τῶν εὐωνύμων διαχωρίζουσα· ἢ διὰ τραχύτητα τῶν συνεστηκότων αὐτῇ κονδύλων· οἷον, τράχις καὶ ῥάχις· λέγεται δὲ καὶ ἄκανθα, τῷ τὰς ἐκ τῶν κονδύλων ἀποφύσεις ἀκανθώδεις εἶναι· ὁ δὲ Ὅμηρος ἰξὺν αὐτὴν

[a] τῷ στέρνῳ A. [b] τοῖς B. [c] διαρθρούμενα B. [d] ὑπὸ B. [e] ὃ B.
[f] ὑπὸ τὰς φρένας τὸ ἧπαρ ἔτρωσεν B.

καλεῖ· ἣν οὐχ οἷόν τε κνίσαι ἢ ξύσαι[g] *εὐκόλως τῇ ἰδίᾳ χειρὶ, ἀλλ' ἑτέρων*[h] *δεῖσθαι εἰς τοῦτο· φησὶ γὰρ*

κατάκνηστιν μέσα νῶτα
πλῆξε. (Od. K. 161.)

τὸν τόπον ἑρμηνεύων τοῦτο εἴρηκεν· οἱ ὦμοι παρὰ τὸ ὑπομένειν τὰ βάρη τῶν φορτίων εἴρηνται· λέγεται δὲ τὸ μέρος ἐν ᾧ οἱ ὠμοπλάται νῶτος, ἐπειδὴ τῶν ἄλλων νοτίζεται μᾶλλον, καὶ εἰς τοῦτον ὁ ἱδρὼς καταῤῥεῖ· ὡς καὶ[i] *Ὅμηρος·*

κατὰ δὲ νώτιος[k] *ῥέεν ἱδρὼς,* (Il. Λ. 810.)

καὶ "τὸν νῶτόν μου ἔδωκα[l] *εἰς μάστιγας·" καὶ νωτοφόρα ζῶα φαμέν*[m]*· λέγεται τὸ τοιοῦτον μέρος καὶ ψύη, παρὰ τὸ ψαύω· ἡ ἐπιψαύουσα*[n] *σὰρξ, καὶ ἐπὶ πολλοῖς οὖσα τοῖς ὀστέοις.*

ΚΕΦ. ΙΕ.

Περὶ τῶν Πλεύρων.

Ἐπεὶ δὴ ἡ ψύη, καὶ ὁ θώραξ, καὶ αἱ πλευραὶ συνήρθρωνται καὶ συνδέδενται, καὶ οἷον συγκοινωνοῦσιν ἀλλήλοις ταῖς χρείαις καὶ ἐνεργείαις· οὐδὲν[o] *ἄτοπον ἐπισκέψασθαι περὶ αὐτῶν τῶν πλεύρων· αἱ μὲν εἰσὶ μακραὶ, αἱ δὲ κονταί· ἃς καὶ κοντοπλεύρια λέγουσιν, ἢ νόθους πλευράς· εἰσὶ δὲ πέντε αἱ νόθοι· συμφύονται δὲ τῷ τε διαφράγματι καὶ ἀλλήλαις· εἰς χόνδρον τὸ πέρας αὐτῶν ἔχουσαι· αἱ δὲ λοιπαὶ τῶν πλευρῶν καὶ οἱ τῆς ῥάχεως σπόνδυλοι περὶ τὸ στέρνον*[p]*, τοῦ θώρακος εἰσὶν ὀστᾶ*[q]*· δώδεκα μὲν ἑκατέρωθεν αἱ πλευραὶ, καθάπερ καὶ οἱ σπόνδυλοι· διήρθρωνται*[r] *γὰρ ἑκάστη πρὸς ἑνὰ, τὰ δὲ τοῦ στέρνου συνήρθρωνται*[s] *ἀλλήλοις· ἑπτὰ δὲ τὸν ἀριθμὸν εἰσίν· ὅσαι καὶ αἱ πρὸς αὐτὸ διαρθρούμεναι πλευραί· ὡς εἶναι τὰς πάσας*[t] *εἴκοσι τέσσαρας· δώδεκα καθ' ἑκάτερον μέρος συναρθρουμένας*[u]*· τὰς*

[g] *κν. ἢ ξύσαι* B. *κινῆσαι* A. [h] *ἑτέρωθεν* B. [i] *ὡς καὶ* om. A. [k] *νώτερος* B. [l] *δέδωκα* B. [m] *φαμὲν* om. B. [n] *καὶ ἐπιψ.* A. [o] *οὐδ. δὲ* B. [p] *καὶ τὸ στέρνον τοῦ θώρακος, εἰσι δ.* B. [q] *τοῦ δὲ θωρ. εἰσὶν ἑπτὰ ὀστ.* A. *τοῦ θωρ. εἰσ. ὀστᾶ* C. [r] *διήρθρωται* B.C. [s] *συνήρθοωται* B.C. [t] *πασ. πλευρὰς* B. [u] *συναριθμουμένας* B.

μὲν δώδεκα, τοῖς δώδεκα σπονδύλοις τοῦ νώτου, τὰς δέ γε πέντε, τῇ ὀσφύϊ· αἱ δὲ ἑπτὰ, τῷ στέρνῳ κάθως εἴρηται.

Ταύτας δὲ τὰς[v] ἑπτὰ ὑποζωννύει καὶ ὑπαλείφει τις ὑμὴν κοινὸς, ὃς ἀπὸ τῆς χρείας ὑπεζωκὼς ὠνόμασται· ἐγένετο δὲ οὗτος ὁ ὑμὴν παρὰ τῆς προνοίας· ἵνα μὴ τῷ πνεύμονι ἀμέσως ὁμιλοῦσα, τῶν ὀστῶν ἡ οὐσία σκληρὰ καὶ ἀντίτυπος οὖσα, ἀνιᾷ αὐτὸν καὶ ἐπιπλήσσῃ τῇ προσψαύσει· εἰσὶ δὲ καὶ κατὰ τὰς λοιπὰς πλευρὰς μεσοπλεύριοι μύες, οὓς καὶ φρένας καλοῦσι· διὰ τὸ φρενητιᾷν[w] τοὺς ἀνθρώπους, ἐκείνων φλεγμαινόντων. οὐδὲν γάρ ἐστι πλευρίτις, εἰ μὴ φλεγμονὴ τοῦ τὰς πλευρὰς ὑπεζωκότος ὑμένος.

Τινὲς δὲ τὸ διάφραγμα καὶ τὸν ὑπεζωκότα ἕνα ὑπέλαβον εἶναι ὑμένα· οὐκ ἔστιν δέ· ἄλλο[x] γὰρ ἐκεῖνος, καὶ ἄλλο[y] οὗτος· ἐκεῖνος μὲν γὰρ διαχωρίζει τά τε ἐν τῷ θώρακι, καὶ τὰ ὑπὸ τὸν θώρακα σπλάγχνα· καὶ τὴν ἀναπνοὴν ἐνεργεῖ, καθὼς ἔφθην εἰπών· οὗτος δὲ τὰς πλευρὰς ὑποζωννύει· καὶ τὸν πνεύμονα διαφυλάττει τῆς τούτων βλάβης· τὸν δὲ τοῦ διαφράγματος ὑμένα περίπεπλον λέγουσι· διὰ τὸ περιειλεῖσθαι[z] αὐτὸν τοῖς σπλάγχνοις· ἢ πέπλον, διὰ τὸ ὑφαπλοῦσθαι[a]· ἢ πάτος ἀπὸ τοῦ πεπῆχθαι, καὶ οἷον συνέσφιχθαι· διὸ καὶ ὁ Καλλίμαχος οὕτως ἔφη·

Ἥρης
ἁγνὸν ὑφηνέμεναι τῇσι μέμηλε πάτος[b].

Εἰσὶ δὲ κατὰ σχῆμα αἱ πλευραὶ οὐχ ὅμοιαι· ἀλλ᾽ αἱ μὲν ἐπικαμπεῖς, αἱ δὲ ἀνανεύουσαι πρὸς τὸ στέρνον· τὸ τέλος ἔχουσαι χόνδρον ἀλλ᾽ οὐκ ὀστοῦν· στρογγύλαι μὲν ἔνθεν, ἐκεῖθεν δὲ πλατεῖαι· ἐναποδέουσαι ἀλλήλαις, καὶ ἐναπομένουσαι· εἴρηνται δὲ πλευραὶ, ὅτι πλήρεις εἰσὶ μυελῶν ἀναμυχωτοί· ἢ οἷον πολυευραὶ, ὡς πλατεῖαι καὶ χώραν πολλὴν διακατέχουσαι· ἢ πολυωραὶ οὖσαι, ὡς φυλάσσουσαι καὶ περιέχουσαι τὸν πνεύμονα,

[v] ταύταις δὲ ταῖς B. [w] φρενιτιᾷν A. [x] ἄλλος B. [y] ἄλλος B. [z] περιειλῆσθαι B. [a] quæ seq. usque ad μέμηλε πάτος om. B.C. [b] ἧρις ἂν ὑφηέμεναι τῇσι μέμηλε πάτος Lat. Vers. add. Fr.

τὴν καρδίαν, καὶ τὴν γαστέρα· ἀπὸ τοῦ ὠρεῖν, ἤγουν φυλάττειν· καὶ κηπωρὸς, καὶ θυρωρὸς ἐξ αὐτοῦ· ὡς καὶ Ἡσίοδος·

Γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ
Οὐρανὸν ἀστερόεντα· ἵνα μιν[c] περὶ πάντα καλύπτῃ. (Th. 126.)

καὶ τὸ περιέχειν δὲ αὐτὸ[d] ἐκ τοῦ φυλάττειν·

ὅς μοι κῆπον ἔχει πολυδένδρεον· (Od. Δ. 737.)

τὸ γὰρ ἔχει[e] ἀντὶ τοῦ φυλάττειν κεῖται· καὶ τὸ

ἔχει δέ τε κίονας αὐτὸς (Od. A. 53.)
μακράς·

καὶ τοῦτο ἀντὶ τοῦ περιέχει· οὕτως μὲν οὖν ἡ ῥάχις τῷ στέρνῳ, καὶ αἱ πλευραὶ συνδέδενται καὶ συνήρθρωνται, ἵνα πρός τε κίνησιν καὶ κάμψιν, καὶ ἀντανακλασμὸν, καὶ σύντονον βάδισιν, καὶ δρόμον, καὶ κάθισμα ἄλληλαι ἀλλήλαις αἱ ἁρμονίαι συνέρχωνται[f]· καὶ τὴν καθ' ὁρμὴν κίνησιν, καὶ ἐπιτετεχνασμένην, ἐκτελεῖν δυνάμεθα· μόνος γὰρ ἄνθρωπος[g] πρὸς δύο γωνίας ὀρθὰς κάμπτει τὰ σκέλη, κατά τε τὸ ἰσχίον καὶ τὴν ἰγνύν· τὴν μὲν ἐπὶ τὰ ἔνδον, τὴν δὲ ἐπὶ τὰ ἔξω.

ΚΕΦ. ΙΖ.

Περὶ τοῦ Πνεύμονος καὶ τῆς Καρδίας.

Ἐπεὶ οὖν ὁ θώραξ συμπεριέχει τὸν πνεύμονα καὶ τὴν καρδίαν, σκεψώμεθα καὶ ὡς ταῦτα διάκειται· τοῦ θώρακος ἔσωθεν ὁ πνεύμων ἐστὶν, ἐμπεριέχων τὴν καρδίαν, καὶ οἷον ἐπικαλύπτων αὐτήν· ἔστι δὲ ἀρτηριώδης καὶ πολύπορος· ὑπὸ τῆς φύσεως κατεσκευασμένος πρὸς τὴν ἐνέργειαν τῆς ἀναπνοῆς· λεπτὸς καὶ κοῦφος, καὶ μανὸς, πρὸς τὸ εἰσάγειν καθαρὸν ἀέρα, καὶ ῥιπίζειν τὸ ἔμφυτον θερμὸν ἐν τῇ καρδίᾳ[h]· ἐξάγειν δὲ πάλιν τὰ λιγνυώδη αὐτῆς περιττώματα· καὶ γὰρ οἷον πλέγμα ἐστὶν ὁ πνεύμων· συγκείμενον ἐκ τεσσάρων· ἐκ τῆς τραχείας ἀρτηρίας, καὶ ἐκ τῆς λείας, καὶ φλεβὸς παχείας, καὶ τῆς σαρκὸς αὐτῆς ἀφρώδους[i]· ἥτις σὰρξ ἀναπληροῖ δίκην στοιβῆς τὰς μεταξὺ

[c] μὴ B. [d] καὶ αὐτὸ B. [e] ἔχειν B. [f] συνέρχονται B. [g] ὁ ἄνθρ. B.
[h] τὸ ἐν τῇ κ. B. [i] καὶ τῆς ἀφρ. σαρκ. αὐτοῦ B.

χώρας τοῦ πλέγματος, τῶν τε δύο ἀρτηριῶν καὶ τῶν φλεβῶν[k]· μέσον δὲ αὐτοῦ τὴν καρδίαν περιλαμβάνων, περιψύχει διὰ τῆς εἰσπνοῆς, καὶ παραμυθεῖται αὐτήν· διὰ γὰρ τοῦτο καὶ πνεύμων ἐκλήθη, ὅτι καὶ δοχεῖον ὑπάρχει τοῦ πνεύματος· καὶ ὅτι τῇ καταπνεύσει αὐτοῦ ψύχει τὰ ἔνδοθεν· καὶ τὰ λιγνυώδη περιττώματα ἔξωθεν ἀποκρίνει· τρέφεται δὲ καὶ αὐτὸς ὑπὸ αἵματος καθαροῦ· τοῦτο δὲ τὸ τρέφον αὐτὸν αἷμα εἰς τὴν δεξιὰν κοιλίαν τῆς καρδίας προπέττεται[l], καὶ λεπτύνεται· σομφώδους γὰρ καὶ λεπτῆς ὢν οὐσίας, ὑπὸ λεπτοῦ καὶ καθαρωτέρου αἵματος τρέφεται· οὐκ ἐδύνατο δὲ οὗτος τὸ παχὺ αἷμα πέψαι, καὶ εἰς οἰκείαν τροφὴν ἀναλῶσαι· διὰ τὸ ἀκίνητον αὐτοῦ, καὶ τὰς πρὸς ἀναπνοὴν ἀσχολίας· διὰ τοῦτο ἐκεῖ λεπτυνόμενον καὶ καθαιρόμενον, πρῶτον τρέφει αὐτὸν μετὰ τῆς ἀερώδους οὐσίας, καὶ οἷον καθαρωτέρας.

Πᾶσα δὲ ψύξις, καὶ δυσκρασία, καὶ παχεῖα ἀναθυμίασις ἑλκοῖ τὸν πνεύμονα· διὰ τὸ τῆς οὐσίας αὐτοῦ εὐπαθές· ἀλλὰ καὶ ὁ περιέχων αὐτὸν[m] θώραξ, ὡς νευρώδης, ἑτοίμως πλήττεται ὑπὸ πάσης ψύξεως· ἐπεὶ οὖν μόριόν ἐστιν ἐν ἑαυτῷ περιέχον ὡς εἰπεῖν τὴν ζωὴν τοῦ ἀνθρώπου, λέγω δὴ τὸ ἔμφυτον θερμὸν, οὗ τινος ἐργαστήριον πέφυκεν ἡ καρδία· τοῦτο δὲ ἀεὶ χρεία ἐστὶ ῥιπίζεσθαι[n], ἀναῤῥώννυσθαί τε[o] κατὰ φύσιν· ὅπερ γίνεται διὰ τῆς εἰσπνοῆς καὶ ἐκπνοῆς.

Αὗται δὲ αἱ κινήσεις ὑπὸ ψυχικῆς δυνάμεως ἐνεργοῦνται τῇ διαστολῇ τοῦ θώρακος καὶ τῇ συστολῇ, καθὼς ἔμπροσθεν εἴρηται· τούτου χάριν ὁ θώραξ, ὡς περιεκτικὸς τῆς ἐν ἡμῖν ζωῆς, πολλοῖς μυσὶν ἐτιμήθη καὶ συνεστάθη· καὶ δῆλον ὅτι πολλῶν ὄντων τῶν μυῶν, πολλὰ καὶ τὰ νεῦρα ἐστὶ, τὰ χορηγοῦντα αὐτοῖς τὴν κινητικὴν δύναμιν· τὰ οὖν[p] νεῦρα ὑπὸ φλεγματικοῦ[q], καὶ παχέος, καὶ γλίσχρου τρεφόμενα χυμοῦ, ἑτοίμως ὑπὸ τῆς ψυχρότητος, καὶ ἐμφράττεται, καὶ πλήττεται.

Διὰ ταῦτα, καὶ φλέβες, καὶ ἀρτηρίαι, καὶ νεῦρα, καὶ σύν-

[k] καὶ τῆς φλεβὸς B.C. [l] προπέτεται A. προσπέττεται C. [m] αὐτὴν A. [n] ῥιπ. ἐστὶν B. [o] ἀναρωνυσθαί τε A. ἀναῤῥωνύεσθαι B. [p] γοῦν B. [q] φλεγματίου B.

δεσμοι, καὶ χόνδροι, καὶ πιμελὴ ἐν τῷ θώρακι, ἵνα καὶ θερμότητα τὴν δέουσαν χορηγῶσι, καὶ τὰς τῆς ψύξεως ἀπείργωσι βλάβας, καὶ τὰς παρ' ἀλλήλων ὠφελείας καρπῶνται· ἡμῖν γάρ[r] φλὲψ τροφὴν χορηγεῖ τῷ νεύρῳ, καὶ τῇ ἀρτηρίᾳ, καὶ τοῖς λοιποῖς μορίοις τοῦ θώρακος· μᾶλλον δὲ τοῦ παντὸς σώματος· ἡ δὲ ἀρτηρία μεταδίδωσι τῇ φλεβὶ καὶ τοῖς ἄλλοις θερμασίας φυσικῆς, καὶ ζωτικοῦ πνεύματος· τὸ δὲ νεῦρον αἴσθησιν παρέχει αὐταῖς τε, καὶ τῷ παντὶ σώματι· πολλὴν δὲ καὶ παρὰ τῆς καρδίας τὴν φυσικὴν θερμότητα ὁ θώραξ λαμβάνει, ὡς οἶκος ὑπάρχων αὐτῆς.

Ἔστι δὲ ἡ καρδία νευρώδης, καὶ μυώδης, καὶ φλεβώδης· ἔχουσα καὶ ἀρτηρίας, καὶ δύο κοιλίας κατ' ἀμφότερα μέρη αὐτῆς· ἐν αἷς γεννᾶται τὸ ἔμφυτον θερμὸν, καὶ τὸ ζωτικὸν πνεῦμα· ἐμπέφυκε δὲ αὐτῇ ἡ μεγάλη ἀρτηρία καὶ πρώτη, ἣν ἀορτὴν καλέουσι[s]· δι' ἧς χορηγεῖται ταῖς[t] ἁπάσαις τοῦ σώματος[u] ἀρτηρίαις, ὅτε ζωτικὸς τόνος, καὶ ἡ ἔμφυτος θερμασία· ζωτικὸν δὲ τόνον τὸν σφυγμὸν λέγομεν· τὸν γὰρ σφυγμὸν τῇ καρδίᾳ ἡ τὰ σύμπαντα οἰκονομοῦσα ἐχαρίσατο δύναμις[v], ἵνα διὰ μὲν συστολῆς, ἐκθλίβῃ καὶ ἐκπυρηνίζῃ[w] τὰ λιγνυώδη αὐτῆς περιττώματα, ἅπερ ἐν αὐτῇ γεννᾶται διὰ τὴν ἄμετρον αὐτῆς θερμασίαν· διὰ δὲ τῆς διαστολῆς, εἰσδέχηται καθαρὸν ἔξωθεν ἀέρα· θερμαινομένης γὰρ αὐτῆς παρὰ φύσιν, εὐθέως καὶ τὸ ζῶον ὅλον παρὰ φύσιν θερμαίνεται, καὶ ψυχομένης ψύχεται.

Τέτακται δὲ ἐν αὐτῇ καὶ ἡ τοῦ θύμου δύναμις, τὸ πάθος τῆς ψυχῆς[x]· πάθη δὲ τῆς ψυχῆς λέγομεν, ἐν οἷς αὐτῆς μὲν ἐστι πρῶτον[y] ἡ κίνησις, συμπάσχει δὲ αὐτῇ ἡ καρδία, ὡς ὄργανον αὐτῆς· ἡ μὲν γὰρ ψυχὴ ἀθάνατος οὖσα, δῆλον ὅτι καὶ ἀπαθής ἐστι[z]· τὸ δὲ συμπάσχον κινεῖται· καὶ ἢ ἐξ ἔνδοθεν[a] φέρεται, ἢ ἐκτὸς τὸ ἐνοικοῦν τῇ καρδίᾳ πνεῦμα ζωτικόν· καὶ ἐκτὸς μὲν μετὰ συντονίας, ὡς ἐπὶ τῶν θυμουμένων· ἢ μετὰ χαυνότητος, ὡς ἐπὶ τῶν ἡδομένων· ἐντὸς δὲ, ἢ ἀθρόως, ὡς ἐπὶ

[r] ἡ μὲν γὰρ B. [s] καλοῦσι B.C. [t] ἐν ταῖς B. [u] τῷ σώματι B.
[v] δύν. ἐχαρ. B. [w] πυρινίζῃ B. [x] τὸ τ. ψ. πάθος B. [y] πρώτως B.C.
[z] πάθους σωματικοῦ add. B.C. [a] ἐξ om. B. ἢ ἔνδον C.

τῶν φοβουμένων· ἢ κατὰ βραχὺ[b], ὡς ἐπὶ τῶν λυπουμένων· οὐκοῦν τῆς καρδίας καὶ ταῦτα, καὶ τὸ θερμαίνειν ἅπαν τὸ σῶμα· ἔστι δὲ τὸ σχῆμα αὐτῆς κωνοειδές.

Πυρωδέστερα δὲ οὖσα πάντων τῶν ἐν τῷ σώματι μορίων, καὶ τοῦ πυρὸς ἔλαχεν ἔχειν τὸ σχῆμα· ὥσπερ γὰρ ἐκεῖνο ἀπὸ πλατυτέρας βάσεως ἀρχόμενον τὴν ἄνω χώραν διώκει, ἀεὶ στενούμενόν[c] τε καὶ εἰς ὀξὺ ἀποκορυφούμενον, οὕτω καὶ ἡ καρδία κωνοειδής ἐστι· κῶνος δέ ἐστι σχῆμα περιαγὲς εἰς ὀξὺ λῆγον· δύναται δὲ τὸ σχῆμα τοῦτο νοεῖσθαι οὕτως· εἴ τις λάβοι κατ' ἐπίνοιαν πλείονας κύκλους ἐπαλλήλους κειμένους· ὧν ὁ μὲν ὑποκάτω μείζων ἐστὶν, ὁ δὲ ἐπ' ἐκείνῳ σμικρότερος· εἶτα ὁ τρίτος καὶ ὁ τέταρτος, καὶ οὕτως ἐφεξῆς ἡ μείωσις γίνεται, ἄχρις ἂν εἰς κύκλον σμικρότερον τελευτήσῃ· οὕτω καὶ ἐπὶ τοῦ κώνου· λέγεται οὖν τοῦ τοιούτου σχήματος τὸ μὲν εὐρὺ βάσις, τὸ δὲ στενὸν κορυφή· ἡ τοίνυν καρδία τὸ κωνοειδές ἐστιν ἔχουσα σχῆμα, τὴν δὲ βάσιν οὐκ ἔχει κάτω· ἔμελλε γὰρ ἡ κορυφὴ ἄνω βλέπουσα πολλοὺς ἀτμοὺς θερμοτέρους ἄνω πρὸς[d] τὸν ἐγκέφαλον πέμπειν, καὶ ἀμείβειν τὴν ψυχικὴν[e] κρᾶσιν αὐτοῦ ψυχροτέραν ἐξ ἀρχῆς γεγονυῖαν· νῦν δὲ κεῖται μὲν ἡ βάσις[f] αὐτῆς ὀπίσω καὶ ἄνω· ἡ δὲ κορυφὴ πρόσω καὶ κάτω· διὰ οὖν ταύτην τὴν αἰτίαν θερμαίνουσα τὸ περιστέρνιον, λάσιον αὐτὸ ἀπεργάζεται ταῖς θριξί· διαφέρει δὲ τὸ λάσιον τοῦ δασέος· ὅτι τὸ μὲν δασὺ θεωρεῖται πλήθει καὶ πυκνότητι τριχῶν, τὸ δὲ λάσιον οὐ μόνον τούτοις, ἀλλὰ καὶ μεγέθει· ὥστε εἴ τι μὲν λάσιον, τοῦτο καὶ δασύ· εἴτι δὲ δασὺ, οὐ πάντως καὶ λάσιον· τὸ δὲ ὄνομα ἐτυμολογεῖται παρὰ τὸ κραδαίνω τὸ σείω· ἀεικίνητος γὰρ ἡ καρδία[g]· ὅθεν καὶ μέλλοντος φόβου καὶ ἀγωνίας σημαντική ἐστι πηδῶσα· ὡς καὶ Ὀδυσσεὺς,

πολλὰ δέ οἱ κραδίη ποτὶ ὄσσεται ὄλεθρον[h]· (Od. E. 389.)

καὶ πάλιν,

καὶ γὰρ ἐμοὶ νόος ἐστὶν[i] ἐναίσιμος οὐ δέ μοι αὐτῇ
θυμὸς ἐνὶ στήθεσσι σιδήρεος ἀλλ' ἐλεήμων· (Od. E. 190.)

[b] καταβραχὺ C. [c] ἀεὶ διώκει ἀεὶ στεν. A. [d] παρὰ B. [e] φυσικὴν B.C. [f] ἡ μὲν β. B. [g] ἐστὶν ἡ κ. B. [h] om. B.C. [i] ἐστὶ A.

ἀλλὰ καὶ ἐνεστῶσαν ἀγωνίαν πείθει, φέρειν ὡς τὸ,

τέτλαθι κραδίη καὶ κύντερον ἄλλό ποτ' ἔτλης· (Od. Υ. 18.)

καὶ πάλιν,

τῷδε μαλ' ἐμπείσει κραδίη μένεια τετληυῖα· (Od. Υ. 23.)

ἀντὶ τοῦ ἐπείσθη ἐν ἡσυχίᾳ καὶ ὑπομονῇ εἶναι[k].

Ἐξ αὐτῆς οὖν ὡς εἴρηται τὸ ζωτικὸν πνεῦμα, καὶ τὸ καθαρώτερον[l] καὶ εἰλικρινὲς αἷμα· καὶ ἡ θερμότης ἐπὶ τὸ πᾶν σῶμα διὰ τῶν ἀρτηριῶν ἐγκατασπείρεται· ἡ γὰρ δημιουργὸς φύσις πολλὴν τοῦ ἐν ἡμῖν θερμοῦ ποιησαμένη πρόνοιαν, δυσὶ μορίοις αὐτὸ ἐχαρίσατο τοῖς ἐξαιρέτοις[m], καρδίᾳ καὶ ἥπατι, καὶ μάλιστα καρδίᾳ· ἐκ τούτων οὖν καὶ τὰ λοιπὰ μόρια μεταλαμβάνει καὶ ἐπαπολαύει τῆς ἐμφύτου αὐτῶν θερμασίας[n]· ἑκάστου, πρὸς τὸ μέγεθος καὶ τὸ ἀξίωμα τῆς ἐνεργείας, τῆς χορηγίας ταύτης ἀεὶ μεταλαμβάνοντος· ἀναμέμικται δὲ ἐν ταῖς ἀρτηρίαις ἁπάσαις διὰ πολλῶν ὀπῶν ἀναπνεουσῶν τῷ αἵματι ἡ ἀερώδης οὐσία, καὶ κατ' αὐτὴν τὴν καρδίαν· δι' ἧς οἰκειοῦται μὲν τὸ εἰλικρινὲς, ἐξωθεῖται δὲ τὸ αἰθαλῶδες· οὐ μόνον διὰ στόματος καὶ ῥινὸς, ἀλλὰ καὶ διὰ τῶν ἀδήλων πόρων· ἀδήλους δὲ πόρους τὴν διαπνοὴν παντὸς τοῦ σώματος λέγομεν· καθ' ἣν ἐκ τοῦ βάθους, καὶ τῆς συστολῆς τῶν ἀρτηριῶν, ἀτμοὶ πλεῖστοι διὰ τῆς μανότητος τοῦ δέρματος διεξέρχονται.

Μετὰ γοῦν τὸν θώρακα, ἐκ τοῦ ξιφοειδοῦς λεγομένου χόνδρου, ὅς τὸ πέρας ἐστὶ τοῦ ἐπὶ τὰ ὑποχόνδρια μέρους, ἀπὸ τοῦ στέρνου μέχρι τῆς ἥβης καὶ τῶν ταύτης μέρων, ὅπερ καὶ κύστιν καλοῦμεν, ἐπιγάστριον καλεῖται τὸ πᾶν· ὅπερ εἰς τρία διαιρεῖται· εἴστε ἐπιγάστριον, καὶ ὑπογάστριον, καὶ ἦτρον[o]· τὸ μὲν οὖν ὑπογάστριον τὸν ὀμφαλὸν καλοῦμεν· τὸ δὲ ἄνωθεν αὐτοῦ τὸ μὲν μετέωρον ἐπιγάστριον καλεῖται, ἐπειδὴ ἐπίκειται τῇ γαστρί· τὸ δὲ ἕτερον ὑπογάστριον, ἐπειδὴ ὑποβέβηκεν αὐτῇ· τὸ δὲ τοῦ ὀμφαλοῦ κατωτέρω ἦτρον[p] προσαγορεύομεν· τὸ δὲ ὑποκάτω τῶν διδύμων περίνεον· ὅσα μὲν οὖν εἰς ἐπιγάστριον διῃρέθη, τὸν

[k] hæc ab usque ἀλλὰ καὶ ἐνεστ. om. B. [l] καθαρότατον B. καθαρώτατον C. [m] κατ' ἐξαίρετον B.C. [n] θερμ. αὐτ. B. [o] ἦτρον B. ἦτριν C. ἴτρον A. [p] ἦτρον B.C. ἴτρον A.

στόμαχον περιέχουσι καὶ γαστέρα τὴν ἄνω· δεξιώτερα τὸ ἧπαρ καὶ τὸν σπλῆνα ἐν τοῖς ἀριστεροῖς, ἅπερ ἀμφότερα σπλάγχνα καλεῖται, διὰ τὸ διασπᾶν τὴν τροφήν· τὰ αὐτὰ δὲ καὶ ὀργανικά.

ΚΕΦ. ΙΗ.

Περὶ Στομάχου.

Ἔστι δὲ ὁ στόμαχος νευρώδης, ἐργαλεῖον ὀρέξεως καὶ καταπόσεως, καὶ πρὸς ὑγρὰς καὶ ξηρὰς τροφὰς ἐπιτήδειος· λέγεται δὲ στόμαχος ὅτι τὰ ἀπὸ τοῦ στόματος εἰς αὐτὸν χεῖται· ἄν τε ὑγρὰ, ἄν τε ξηρά· ἢ οἷον σιτόμαχος, ὁ τοῖς σιτίοις μαχόμενος[q]· θλίβουσι γὰρ αὐτόν· ἢ ὁ θλίβων ἔμπαλιν ταῦτα, ἵνα καταβιβασθῇ· λέγεται καὶ στόμαχος, ὅ ἐστι μηχανὴ τῶν σιτίων[r]· ἄλλοι δὲ ἐκ τοῦ στόμα στόμαχον λέγουσι, διὰ τὸν τὴν μάστακα[s] ἐξ αὐτοῦ δέχεσθαι, τουτέστι τὴν τροφήν·

ὡς δ' ὄρνις ἀπτῆσι νεοσσοῖσι προφέρῃσι
μάστακ', ἐπήν κε λάβῃσιν[t]· (Il. I. 324.)

εἴρηται δὲ καὶ ἐπὶ τοῦ στόματος·

ἀλλ' Ὀδυσσεὺς ἐπὶ μάστακα χερσὶ πίεζε[u]· (Od. Δ. 287.)

πῶς δέ ἐστιν ἐργαλεῖον ὀρέξεως, ὧδε[v] σκόπει.

Ὁ στόμαχος καθὼς εἴρηται, ὀρέξεως καὶ καταπόσεως ἐργαλεῖον ὑπάρχων[w], δέχεται τὴν τροφὴν ἐκ τοῦ στόματος· ἔχει δὲ κύτος αὐτὸς πρὸς τὸ πέρας τοῦ ξιφοειδοῦς χόνδρου, εἰς ὃ καταβιβαζόμενος[x] τίθεται τὰ βρώματα· μετὰ οὖν μικρὸν χρόνον, ἕλκει ἐξ αὐτῶν ἡ γαστὴρ ἤδη τὰ, ἅπερ εἶχε πρότερον μεταπέμψασα τῷ ἥπατι καὶ τοῖς ἐντέροις· τῷ ἥπατι μὲν τὸν χυλὸν, τοῖς ἐντέροις δὲ τὰ σκύβαλα· ἐπεὶ οὖν ἀπεσκυβαλίσθη καὶ ἀπεκρίθη τὰ περιττώματα, καθὼς εἴρηται ἀνωτέρω, ἐτράφη δὲ καὶ πάντα τὰ μόρια τῇ καταλλήλῳ τροφῇ, διεφορήθη ἅπαν τὸ σῶμα ὑπὸ τῆς τοῦ περιέχοντος βάρους βίας· ταύτην[y] γὰρ ἔλαχε τὴν ἀνάγκην πάντα τὰ ἐν γενέσει καὶ φθορᾷ τυγχάνοντα· ὁρᾶται γὰρ τῷ πολλῷ χρόνῳ καὶ λίθος μείων[z] παρὸ ἦν

[q] λέγεται δὲ στομ. ὅτι τοῖς σιτίοις μάχεται B. [r] hæc om. B. [s] μύστακα B. [t] cit. om. B.C. [u] hæc etiam om. B.C. [v] εὖ δὲ A. [w] ὑπάρχον B. [x] καταβιβαζόμενα B.C. [y] ταῦτα A. [z] μείζων B.

γεγονώς· διεφορήθη οὖν ἅπαν τὸ σῶμα, καὶ μάλιστα τὸ δέρμα τοῦ σώματος, ὡς τῷ πέριξ ἀέρι πλησιέστερον ὁμιλοῦν· εἶτα τροφῆς ἀπορῆσαν, τρέπεται κατὰ τῶν ὑποκειμένων αὐτῷ μυῶν, καὶ ἕλκει τὸ ἀφορισθὲν αὐτοῖς εἰς λόγον τροφῆς· ἐκεῖνοι πάλιν τρέπονται κατὰ τῶν πλησίων[a]· καὶ οὕτως κατὰ τὸ συνεχὲς γίνεται ἡ διάδοσις αὕτη μέχρι τοῦ ἥπατος· εἶτα ἀπορῆσαν τροφῆς τὸ ἧπαρ, ἕλκει τὴν ἐν ταῖς μεσαραϊκαῖς φλεψὶ περιεχομένην· αἳ δὲ ἕλκουσιν ἀπὸ τῆς γαστρός· ἡ δὲ γαστὴρ ἀπὸ τοῦ στομάχου· καὶ ἐπεὶ ἡ τοιαύτη ὁρμὴ μέχρι γαστρὸς καὶ στομάχου κατέληξεν, ἀγγέλλεται τῷ ζώῳ[b] διὰ τῶν νεύρων ἡ ἔνδεια· διά τοι τοῦτο πλείονα νεῦρα[c] αἰσθητικὰ τῇ γαστρὶ καὶ τῷ στομάχῳ ἐδόθη, ἵνα διὰ τοῦ πάθους αἰσθάνωνται[d] τῆς ἐνδείας· καὶ αἰσθανόμενα, ἐπεγείρει[e] τὸ ζῶον εἰς προσφορὰν σιτίου καὶ πόματος· ὅπως ἀντεισαχθῇ ἕτερα πάλιν τῶν διαφορηθέντων.

Οὕτως μὲν οὖν ἡ ὄρεξις γίνεται, ἣν καὶ πεῖναν ὠνόμασαν· ἐκ τοῦ στομάχου ἡ γαστήρ· ἐκ τῆς γαστρὸς ἡ σάρξ· ἐκ τῆς σαρκὸς αἱ μεσαραϊκαὶ φλέβες· ἐκ τούτων τὸ ἧπαρ· ἐκ τοῦ ἥπατος πᾶσαι αἱ φλέβες· ἐκ τούτων ἡ κοιλὴ φλέψ· ἐκ ταύτης οἱ μῦες, καὶ αἱ παρακείμεναι σάρκες ἁπλαῖ· ἐκ τούτων τὸ δέρμα τρέφεται· καὶ οὕτως τραφέντα, ἵσταται τῆς ὁρμῆς μέχρι διαπνευσθῇ· διαφορηθέντα δὲ, τὸ ἀνάπαλιν γίνεται· ἐκ τοῦ δέρματος οἱ μῦες ἐνδείας αἴσθησιν[f] δέχονται· ἐκεῖνο[g] γὰρ τὴν τροφὴν αὐτῶν ἀνιμήσατο· οἱ μῦες τῶν σαρκῶν καὶ τῶν φλεβῶν τὴν δαπάνην ἀφήρπασαν· αἱ φλέβες καὶ αἱ σάρκες τοῦ ἥπατος ἥψαντο· τὸ ἧπαρ τὴν γαστέρα ἐπηρέασεν ἤδη· δι' ἐνδείαν ἡ γαστὴρ τὸν στόμαχον· ὁ στόμαχος μετὰ τῆς γαστρὸς, τὸ ζῶον ὑπὲρ τῆς τροφῆς ἐπανέστησαν· τὸ ζῶον διὰ τὴν βίαν τῆς φύσεως, τροφὰς ἑαυτῷ ἐπενόησε.

Καὶ οὕτως μὲν κατὰ τὸ πλεῖστον τοῦ χρόνου ἡ ὄρεξις γίνεται· ἐν δὲ τῷ χειμῶνι, διεισδῦνον πρὸς τὸ βάθος τοῦ σώματος τὸ ὅλον θερμὸν, διὰ τὴν τοῦ περιέχοντος ψύξιν, καὶ τὴν πύκνωσιν

[a] πλησίον B. [b] τὰ ζῶα B. [c] νεῦραι B. [d] αἰσθάνονται A.C.
[e] ἐπεγείρῃ C. [f] αἰσθ. ἐνδ. B. [g] ἐκεῖνοι A.

καὶ ἀδιαπνευστίαν τοῦ σώματος, τὸ ἔμφυτον θερμὸν ὑπερθερμαινόν τε καὶ πλεονάζον, καὶ πᾶσαν[h] τὴν ὑγρότητα καταδαπανὸν[i], πλείονα τὴν ὄρεξιν ἀπεργάζεται· τοῦτο καὶ Ἱπποκράτης[k] εἰδὼς φησίν· "αἱ κοιλίαι χειμῶνος καὶ ἦρος θερμόταται φύσει· ἐν "ταύταις οὖν[l] τῇσιν ὥρῃσι καὶ τὰ προσάρματα πλείω δοτέον·" προσάρματα λέγων τὰ σιτία, ὡς προσφερόμενα τῷ σώματι· ἐξ οὗ καὶ ἄρτος παρὰ τὸ αἴρειν, ὅ ἐστι προσφέρειν καθ' ἑκάστην· ἡμῶν γὰρ οὗτος τροφὴ καὶ προσθήκη τοῦ σώματος· ἀλλ' εἰ μὲν τοσοῦτον ἀντεισήγετο ὅσον καὶ διεφορεῖτο, συνέβαινε τὰ ἡμέτερα σώματα ἀναλλοίωτα διαμένειν καὶ μὴ γηρᾶν, μὴ δὲ ὑπὸ τοῦ γήρως πάσχειν[m]· ἐπειδὴ δὲ πλείων μὲν[n] ἡ διαφόρησις, καὶ ἡ τῶν περιττωμάτων ἀποκάθαρσις, ὀλίγη δὲ ἡ ἐκ τῶν βρωμάτων τροφὴ τῷ σώματι· "τροφῆς γὰρ τὸ τρέφον[o]" καθ' Ἱπποκράτην· διὰ τοῦτο, κατὰ βραχὺ τῆς ἐν ἡμῶν ὑγρότητος[p] καταδαπανωμένης, καὶ οἷον ξηραινομένου τοῦ σώματος, γηρᾷ τὸ ζῶον καὶ διαφθείρεται, καὶ εἰς ἀδυναμίαν καὶ ἀσθένειαν φέρεται· οὐ μόνον ὁ ἄνθρωπος, ἀλλὰ καὶ τὰ λοιπὰ τῶν ζώων· αὕτη μὲν τοῦ στομάχου χρεία τε, καὶ ἐνέργεια, καὶ ὀνομασία.

ΚΕΦ. ΙΘ.

Περὶ τοῦ Ἥπατος.

Τὸ δὲ ἧπαρ οὐσία ἐστὶν ἐρυθρὰ σαρκώδης, μύωσιν[q] ἔχουσα τεταμένην ἐν τοῖς δεξιοῖς μέρεσιν, ἐν ᾧ γεννᾶται τὸ αἷμα· ἐξ οὗ ἐκπεφύκασι[r] φλέβες, δι' ὧν[s] χορηγεῖται τὸ αἷμα πρὸς ἀποτροφὴν τοῦ πάντος σώματος· καὶ οὗτος μὲν ὅρος ἥπατος· ἡ δὲ κατασκευὴ αὐτοῦ καὶ ἐνέργεια εἴρηται μὲν καὶ πρῶτον[t]· εἰρήσεται δὲ καὶ νῦν ὀλίγα περὶ αὐτοῦ· ὄργανον γὰρ ὂν τοῦ ἐπιθυμητικοῦ, δισσῶς ταύτην ποιεῖται· τὴν μὲν ἐν ταῖς τροφαῖς, τὴν δὲ ἐν ταῖς συνουσίαις· καὶ διὰ τῆς μιᾶς[u], ἀντεισάγει τὸ

[h] καὶ πᾶσαν B. καὶ om. A. [i] καταδαπανῶν A.C. [k] ὁ Ἱπποκ. B.
[l] οὖν om. B. [m] τί πάσχειν B. [n] μὲν om. B. [o] τὸ τρεφ. τροφὴ B.
[p] ὑγρ. καταβαχὺ δαπαν. B. [q] μείωσιν A. μῦας ἔχουσα τεταγμένον C.
[r] ἐμπεφύκσι B. [s] οὗ B. [t] πρόσθεν B. [u] δ. μὲν γὰρ τ. μ. B.

λεῖπον τῷ σώματι, διὰ δὲ τῆς ἄλλης, ἀποκρίνει τὸ πλεονάζον.

Ἔστιν αὖ[v] φύσει θερμὸν τοῦτο τὸ σπλάγχνον, διὰ τὸ αἵματος εἶναι γεννητικόν· οὐ μὴν ἀλλὰ καὶ τῶν ἄλλων χυμῶν· τὰ γὰρ σιτία, κἂν διαφόρων φύσεων ὄντα τύχῃ, εἰς τὴν γαστέρα διὰ τοῦ στομάχου φερόμενα, πέττεται καὶ ἀλλοιοῦται, χυλὸς[w] γινόμενα μεμιγμένος· τὸ δὲ ἧπαρ[x] ἐκ τῶν μεσαραίων[y] φλεβῶν δεξάμενον, πυροειδέστερον ποιεῖ, καὶ εἰς αἵματος φύσιν δι' ἕψησιν[z] μεταβάλλει, καὶ τῷ παντὶ σώματι διὰ τῶν φλεβῶν ἐπιπέμπει πρὸς ἀρκοῦσαν διοίκησιν· ὅθεν διὰ μὲν τοῦ τρυγώδους αἵματος, ὁ μελαγχολικὸς γεννᾶται χυμός· ἐκ δὲ τοῦ ὀῤῥώδους αὐτοῦ, ἡ ξανθὴ χολή· ἐκ δὲ τοῦ ἀφρώδους καὶ πομφολυγώδους, τὸ φλέγμα· καὶ ὁ μὲν μελαγχολικὸς χυμὸς καὶ[a] τὸ φλέγμα, ὡς βαρύτερα τῶν ἄλλων, ὑφιζάνουσι κάτω· ἡ δὲ ξανθὴ χολὴ, ὡς λεπτομερὲς[b], τὴν ἀνωτέρω χώραν μεταδιώκει[c]· τὴν μέσην δὲ ἀκριβῶς τὸ αἷμα τάξιν κατείληφε[d]· καὶ ἐν μὲν τοῖς σιμοῖς αὐτοῦ τὸ ἧπαρ μύας ἔχει ὑποκειμένους αὐτῷ, συνεργοὺς εἰς τὴν τοῦ αἵματος ἕψησιν, καὶ τῶν ἄλλων[e] χυμῶν τὴν διάκρισιν· ἐν δὲ τοῖς κυρτοῖς αὐτοῦ, ἡ κοιλὴ φλὲψ δίχα μεριζομένη, τὸ μὲν ἓν αὐτῆς μέρος πέμπει ἐπὶ τὰ κάτω μέρη, ἐπὶ βουβῶνας, καὶ σκέλη· τὸ δὲ ἕτερον παρὰ[f] καρδίαν, καὶ θώρακα, καὶ κεφαλήν· καὶ διὰ τῆς κλειδὸς περιεχόμενον[g], περιλαμβάνει αὐτὴν ἔσωθέν τε καὶ ἔξω· εἶτα ἀνιοῦσα αὖθις, συμφύεται ἐπὶ τὰς καρωτίδας[h], καὶ ἀποσχίζεται, ποιοῦσα τὰς σφαγιτίδας[i] λεγομένας φλέβας, δι' ὧν τὰ πλεῖστα μόρια τοῦ σώματος ὀργανικὰ τὲ καὶ ἁπλᾶ ἐπαρδεύεται· λέγεται δὲ ἧπαρ, παρὰ τὸ ἐπῆρθαι καὶ κεκυρτῶσθαι[k]· ἢ παρὰ τὸ ἐπαρδεύειν ὅλον[l] τῷ σώματι αἷμα· ἢ παρὰ τὸ ἥδω τὸ εὐφραίνω[m], ἧδαρ καὶ ἧπαρ· ἐν γὰρ τούτῳ καὶ τὰ τῆς ἡδονῆς, καὶ τὰ τῆς ἐπιθυμίας· ὅτι καὶ Τιτυὸς διὰ τοῦ ἥπατος κολάζεται.

[v] οὖν B. ἔστι δὲ θ. φυ. C. [w] χιλὸς C. [x] ἧπαρ τοῦτο B.C. [y] μεσαρέων C. [z] ἑψησήσεως B.C. [a] ὡς καὶ B. [b] λεπτομερὴς B.C. [c] διώκει B. [d] ἀκρ. τάξ. τὸ αἷμα κ. B. [e] τὴν τ. ἀλ. B. [f] περὶ B. ἐπὶ C. [g] περιερχόμενον B. περιερχομένη C. [h] παρωτίδας B. [i] φαγιτίδας A. [k] κυρτῶσθαι A. [l] ὅλῳ B. [m] εὐφραίνομαι B.

ΚΕΦ. Κ.

Περὶ τοῦ Σπληνός.

Ἄντικρυς δὲ τοῦ ἥπατος ὁ σπλὴν κεῖται, φλεβώδης ὢν καὶ ἀρτηριώδης, καὶ ἀνισόπλατυς· λεπτὰ ἀγγεῖα ἔχων, καὶ πολλὰ μεταξὺ τῶν ἀγγείων θρομβώματα[n]· διὰ τοῦτο ἀραιός ἐστι καὶ σομφός[o]. ἔστι δὲ καὶ ψυχρὸς καὶ ὀξώδης· ἔχων τὴν ὀξύτητα ταύτην παρὰ τῆς φύσεως· πρὸς τὸ διεγείρειν τὸν στόμαχον εἰς ὄρεξιν τροφῆς· ἀλλὰ καὶ τὴν ἔκκρισιν τοῦ περιττεύοντος χυμοῦ, τοῦ μέλανος[p], εἰς τὴν γαστέρα χέων, στύφει τε αὐτὴν καὶ τονοῖ, καὶ πρὸς τὰς πέψεις διεγείρει· καὶ πρὸς τούτοις δὲ καὶ καθαίρει τὸ ἧπαρ, ἕλκων τὰ τρυγώδη καὶ θολερὰ τῶν ἐκ τοῦ ἥπατος ἀποῤῥιπτουμένων[q] ὑγρῶν, εἰς οἰκεῖαν τροφήν· διὸ καὶ σπλὴν εἴρηται, παρὰ τὸ ἐπισπᾶσθαι εἰς ἑαυτὸν τὰ φαυλισθέντα τῶν ὑγρῶν.

ΚΕΦ. ΚΑ.

Περὶ τῆς ἄνω Γαστρός.

Ἡ δὲ κοιλία νευρώδης ἐστὶ καὶ πιμελώδης· ὑποδοχεῖον τροφῆς ὑγρᾶς καὶ ξηρᾶς· πρὸς τὸ πέττεσθαι τὴν τροφὴν ἐν αὐτῇ κατασκευασθεῖσα· ἀπὸ τῆς κοιλότητος τὸ ὄνομα λαβοῦσα· ἢ ἀπὸ τοῦ λεαίνειν καὶ χυλοῦν τὴν τροφήν· λέγεται δὲ γαστὴρ ὅτι περιαγής ἐστι, καὶ γαστρίζει ἡμῖν τὴν τροφήν[r]· ἢ ὅτι γεγάστρηται καὶ πεπλήρωται κορεσθεῖσα· ἢ παρὰ τὸ γῶ τὸ λαμβάνω· ἡ πάντα τὸν βίον μὴ πληρουμένη λαμβάνουσα· ἔστι δὲ οἷον διβάλαντος· τὸ μὲν ἄνω μέρος ἔχουσα στενὸν καὶ ὀρθὸν, καὶ κόλπον μικρόν· διὸ καὶ ῥαδίως εἰς ἔμετον ὁρμᾷ· λέγεται δὲ παρὰ ἰατρῶν[s] ἡ ἄνω κοιλία, μικρὰ, ἡ δὲ κάτω, πλατεῖα τέ ἐστι καὶ μεγαλόκοιλος· ὡς συναγομένης ἐκεῖ τῆς τροφῆς· πολλῶν δὲ νεύρων αἰσθητικῶν ἡ γαστὴρ μετέχει, καὶ μάλιστα κατὰ τὸ στόμιον αὐτῆς· ὥστε ἑτοιμότατα τῆς ἐνδείας τοῦ παντὸς αἰσθάνεσθαι, καθὼς κατόπιν ἐδείχθη· ὡς μὴ

τ]αν

[n] sic B.C. θρομβο A. [o] συμφὸς A. [p] τοῦ μελ. om. A. [q] ἀποριπτουμένων A. ἀποῤῥιπτομένων C. [r] ἢ ὅτι γαστρ. ἡμᾶς ἐπιζητοῦσα τ. τρ. B. [s] τῶν ἰατρ. B.

λιμῷ διαφθαρῇ λεληθότως[t] τὸ ζῶον· καὶ γὰρ ἡ τροφὴ διὰ δύο αἰτίας ἐν ἡμετέρῳ παραλαμβάνεται σώματι· διά τε ἀναπλήρωσιν τοῦ διαφορουμένου, καὶ πρὸς αὔξησιν τοῦ ἐμφύτου θερμοῦ· τὸ γὰρ ὀρέγεσθαι ἔργον ἐστὶ φυσικὸν τοῦ στομάχου καὶ τῆς γαστρὸς, μετὰ ψυχικῆς αἰσθήσεως γινόμενον.

Τὴν οὖν ἐπεισερχομένην ἔξωθεν τροφὴν ἄμφω ἡ γαστὴρ καὶ τὸ ἧπαρ κοινοεργοῦσιν· ἡ μὲν γὰρ χυλοποιεῖ· τὸ δὲ, αὐτὴν ἐξαιματοῖ· οἱ δὲ στοιχειώδεις χυμοὶ ἐν τῷ ἥπατι γεννῶνται κατὰ τὴν εἰρημένην σκέψιν· καὶ ὡς κατὰ φύσιν αὐτῶν ὄντων, ἠξίωσεν αὐτὰ ἡ πρόνοια ἔχειν δοχεῖα· καὶ τῆς μὲν ξανθῆς χολῆς, ἡ χοληδόχος[u] κύστις ἐστίν· ἥ τις ἐν τοῖς σιμοῖς τοῦ ἥπατος κεῖται· τοῦ δὲ μελαγχολικοῦ χυμοῦ, ὁ σπλήν· τοῦ δὲ ὀῤῥώδους αἵματος, νεφροὶ καὶ οὐρητῆρες, καὶ ἡ οὐρηδόχος[v] κύστις· τοῦ δὲ αἵματος, φλέβες καὶ ἀρτηριαί· τῆς δὲ μελαίνης χολῆς οὐδέν ἐστι δοχεῖον[w]· οὐδὲ γὰρ αὐτὴν οἶδεν[x] ἡ φύσις, ὡς παρὰ φύσιν οὖσαν· ἀλλὰ καὶ ὅταν γεννήθῃ, πᾶσαν μηχανᾶται κίνησιν, ὥς τε ἐκδιῶξαι αὐτὴν, καὶ ἀποτρέψασθαι πρὸς τὴν κάτω ἔξοδον, διὰ τὸ δριμὺ καὶ ἀνιαρὸν τῆς ποιότητος αὐτῆς· τὸ δὲ φλέγμα ἐπὶ πάντων τῶν ἔνδοθεν χωρίων κατέσπαρται· ἀλλὰ καὶ ἐν τῇ κεφαλῇ διαχεῖται[y]· ὑγρὰ δὲ ἴδια κατὰ τὸν στόμαχον καὶ τὸν θώρακα εἰσίν.

Ἐκκρίνεται δὲ τὰ μὲν παχέα καὶ φλεγματικώτερα κάτω, τὰ δὲ λεπτὰ, καὶ ἀποιότερα, καὶ χυμώδη, διὰ τοῦ στόματος ἐκπτύεται· διά τε ἀναχρέμψεως, καὶ ἀποχρέμψεως· ἄλλο δέ ἐστιν ἀνάχρεμψις, καὶ ἄλλο ἀπόχρεμψις· ἀνάχρεμψις μὲν[z], ἡνίκα δι' ὑπερώας ἔλθῃ τὸ ἐμούμενον ἢ ἀποπτυόμενον ἀπὸ τοῦ στομάχου καὶ τῆς γαστρός· ἀπόχρεμψις δὲ, ἐπὶ τῇ καθάρσει τοῦ λάρυγγος[a], καὶ τῆς τραχείας ἀρτηρίας· πῶς δὲ ἐπίκειται αὐτῇ τὸ ἧπαρ, καὶ ζέσιν δίδωσι· καὶ πῶς ἐστι κοινοεργὴς μετ' αὐτοῦ, ἤδη λέλεκται· πῶς δὲ τοῖς ἐντέροις αὐτὴ μεταδίδωσιν, ἐντεῦθεν ἀρκτέον.

t sic B. λεληθοτ. A. u χολιδόχος B. v οὐροδόχος B. w στοιχεῖον C. x οἶδεν αὐτὴν B. y κεῖται B. z μὲν γάρ ἐστιν B. a φάρυγγος B.

ΚΕΦ. ΚΒ.

Περὶ τοῦ Οἰσοφάγου καὶ τῆς Τραχείας ἀρτηρίας.

Δεῖ γὰρ εἰδέναι ὅτι τὸ στόμα δεξάμενον τὴν τροφὴν μασσᾶται αὐτὴν, καὶ κατατέμνει, καὶ καταλεαίνει διαφόροις ὀδοῦσι χρησάμενον, καὶ παραπέμπει τῷ οἰσοφάγῳ· ὁ δὲ οἰσοφάγος μέσος[b] κεῖται τοῦ λάρυγγος καὶ τῶν σπονδύλων· διαδέχεται δὲ αὐτὸν τὸ κύτος[c] τῆς γαστρὸς, ἐν ᾧ τὰ σιτία περιεχόμενα πέττεται καὶ χολοποιεῖται· καὶ τὰ διάφορα εἰς μίαν μεταβάλλεται ἰδέαν· μετὰ δὲ τὴν γαστέρα, τὰ ἔντερα διαδέχεται, μέχρι τῆς ἥβης καὶ τῆς ἕδρας κυκληδὸν[d] κείμενα, ἐν ᾗ ὁ μῦς τοῦ σφιγκτῆρος τῆς ἐξόδου τὴν αἴσθησιν[e] δίδωσιν· εἰσὶ δὲ νευρώδη, καὶ φλέβας ἔχοντα· καὶ τὰ μὲν τῶν ἐντέρων συνεργοῦσι πρὸς τὴν πέψιν τῆς τροφῆς, τὰ δὲ πρὸς ὑποδοχὴν[f] καὶ ἀπόκρισιν τοῦ περιττώματος γεγονότα· δέκα τριῶν πήχεων ὄντα· τῷ ἰδίῳ πήχει μετρούμενα ἕκαστον· εἰσὶ δὲ ἐννέα τάξεις ἐντέρων ὑπὸ πιμελώδους χιτῶνος περισκεπομένων καὶ περικρατουμένων· καὶ οὕτως ἕκαστον προσαγορευόμενον[g]· στόμαχος, κοιλία· πυλωρός· ἡ δωδεκαδάκτυλος[h] λεγομένη ἔκφυσις, ἐκ τοῦ κατὰ μῆκος[i] μέτρου τὴν προσηγορίαν ταύτην ἀπολαβοῦσα· λεπτόν· νῆστις· τυφλόν[k]· κῶλον· ἀρχόν· καὶ ἀπευθυσμένον.

Ἐκ τούτων τὰ μὲν διακριτικὰ εἰσὶ τῆς τροφῆς, τὰ δὲ ὑποδεκτικά· τὰ δὲ παροδευτικὰ, τὰ δὲ ἀποκριτικά[l]· καὶ διακριτικὰ μὲν εἰσὶ, πυλωρὸς, νῆστις, καὶ τὸ λεπτόν· ἐνταῦθα γὰρ χωρίζεται τὰ χρηστὰ τῶν τροφῶν ἀπὸ τῶν ἀχρήστων· καὶ ὁ μὲν χρηστὸς χυλὸς ἀναδίδοται τῷ ἥπατι πρὸς ἕψησιν, καὶ τὴν τῶν μορίων διατροφήν· τὸ δὲ ἄχρηστον περίττωμα, ἤγουν τὸ ἀποκάθαρμα τῆς τροφῆς, ἡ κόπρος, ἔξω βάλλεται· λέγεται δὲ κόπρος διὰ τὸ χεῖσθαι διὰ τοῦ πόρου, χόπρος[m] τις οὖσα· ἢ οἷον κόπρος[n]· βαρύνει γὰρ τὸ περιττὸν ἐγκείμενον καὶ κοποῖ· ὑποδεκτικὰ δὲ τῶν ἐντέρων εἰσὶν, ὥσπερ τὸ τυφλόν· παροδευ-

[b] μέσον B. [c] αὐτὸ τὸ κυτ. B. [d] κυκλειδὸν B. [e] τ. αἰσθ. τῆς ἐξ. B. [f] τὴν δοχὴν B. τὴν ὑποδ. C. [g] προσαγορευόμενα B. [h] ἡ καὶ δωδ. B. [i] μήκους A. [k] τυφ. νηστ. B. τυφ. κωλ. νηστ. C. [l] τὰ δὲ ἀποδ. τὰ δὲ ἀποκρ. B. [m] χόπορος B.C. [n] κόπος B.

τικὰ[o] δὲ, ὥσπερ τὸ κῶλον· τὸ δὲ κῶλον λέγεται καὶ κῶλος παρὰ τὴν κοιλότητα· ἀποκριτικὰ δὲ, ὥσπερ τὸ ἀπευθυσμένον[p]· γίνεται δὲ τούτων ἡ κατ' εὐθεῖαν διαδοχὴ ἀπὸ τῆς γαστρὸς, οὕτως· ἀπὸ τῆς γαστρὸς[q] τῆς κάτω, δέχεται τὸ περίττωμα ἡ δωδεκαδάκτυλος ἔκφυσις· ἣν καὶ μέρος τῆς γαστρός τινες ἐνόμισαν εἶναι· μετὰ δὲ τὴν δωδεκαδάκτυλον, ἔστιν ἡ νῆστις· νῆστις δὲ ἐκλήθη, διότι κεῖται πλησίον[r] τινῶν φλεβῶν λεγομένων μεσαραίων, αἳ ἀνιμῶνται αὐτοῦ φυσικῶς τὸν χυλόν· ὡς εὑρίσκεσθαι τὸ τοιοῦτον ἔντερον ἀεὶ[s] κενόν.

Μετὰ δὲ τοῦτο τὰ λεπτὰ ἔντερα διαδέχονται· εἰσὶ δέ τινες ἕλικες ἐν αὐτοῖς, διὰ τὸ μὴ κεῖσθαι αὐτὰ ἐπ' εὐθείας· καὶ μεταξὺ τῶν ἑλίκων τούτων, ὑμενώδης οὐσία καὶ πιμελώδης κεῖται· ἣν οἱ ἰδιῶται ἔκλυσιν λέγουσιν· ἐφ' οἷς[t] ἐποχοῦνται τὰ ἔντερα, καὶ τὰ ἀπὸ τοῦ ἥπατος μικρὰ φλεβία· μετὰ δὲ τὰ λεπτὰ ἔντερα, διαδέχεται τὰ παχέα[u]· ἐν οἷς πρῶτον μέν ἐστι τὸ τυφλὸν, ὃ τὴν κόπρον δέχεται πρῶτον· καὶ ἐπειδὴ οὐκ ἔχει διέξοδον, ἀναῤῥοιβδεῖ τε ταύτην, καὶ οἷον ἀπεμεῖ· καὶ διαδέχεται τοῦτο τὸ κῶλον· ἀλλὰ τὸ μὲν τυφλὸν ἐν τοῖς δεξιοῖς μέρεσι κεῖται λοξόν· τὸ δὲ κῶλον ἐκ τῶν ἀριστερῶν ὁρμώμενον καὶ ἑλιττόμενον, ἀνώτερον τοῦ τυφλοῦ ἐντέρου ἄνεισι, καὶ φθάνει μέχρι τῆς δεξιᾶς λαγόνος· καὶ αὖθις ὑποστρέφον, κάτεισι παρὰ τὸν ἀριστερὸν βουβῶνα· διὰ τοῦτο καὶ οἱ τὸ κωλικὸν ἔχοντες νόσημα, τῇ τοιαύτῃ εἰλήσει ὀδυνώμενοι, ὄφιν περιπεπλέχθαι αὐτοῖς πολλάκις διϊσχυρίζονται· μετὰ δὲ τὸ κῶλον, τὸ ἀρχὸν τὴν κόπρον λαμβάνον, τῷ ἀπευθυσμένῳ ὡς ἐσχάτῳ μεταδίδωσι· δι' οὗ ἡ κόπρος ἐξέρχεται· οὐκ ἔτι[v] ἐπεσχομένη διὰ τὸ εὐθὲς[w] τοῦ ἐντέρου· ὅθεν καὶ οὕτως ἐκλήθη.

Ταῦτα δὲ πάντα ὑπὸ τῆς γαστρὸς διαβαστᾶται καὶ διακατέχεται· καὶ γὰρ ἡ δημιουργικὴ δύναμις κηδομένη τῆς γαστρὸς, μύας αὐτῇ πολλοὺς περιέθηκε· καὶ οἱ μὲν κάτωθεν, ἄνω φέρονται· οἱ δὲ ἄνωθεν, κάτω φερόμενοι[x]· καὶ οἱ μὲν ἐπ' εὐ-

[o] ὑποδεκτικὸν C. [p] ἀπηρθισμένον C. sed corr. in marg. ἀπευθ.
[q] γαστερὸς B. [r] πλησίων A. [s] ἀεὶ om. B. [t] ἧς B.C. [u] πεχέα B.
[v] οὐκέτι B. [w] sic omn. Codd. [x] φερομ. om. B.

θείας κεῖνται· οἱ δὲ ἐγκάρσιοι· εἰσὶ δὲ ἄλλοι λοξοὶ, ἀπὸ τοῦ στέρνου φερόμενοι· οἱ μὲν ἀπὸ τοῦ δεξιοῦ μέρους αὐτοῦ ἐπὶ τὸν ἀριστερὸν βουβῶνα, οἱ δὲ ἀπὸ τοῦ ἀριστεροῦ ἐπὶ τὸν δεξιόν· ἣν καὶ ὁ ἐπίπλους[y], καὶ τὸ περιτόναιον διασκέπουσι, καὶ διαθερμαίνουσι, καὶ δυναμοῦσι πρὸς τὴν τῶν ἐντέρων, καὶ τῆς ἐν αὐτοῖς ὕλης, ἀναβάσταξιν καὶ ὀχύρωσιν.

Ὁ δὲ περὶ τὴν ἕδραν μῦς, ὃν καὶ σφιγκτῆρα ὀνομάζουσιν, ἢ πρωκτὸν, συνέχει τοῦ ἀπευθυσμένου τὴν ἐσχατίαν· ἐξ ἧς τὰ πνεύματα, καὶ τὰ περιττὰ πάντα ὠθοῦνται· τοῦ εἰρημένου ὑποχωροῦντος σφιγκτῆρος· καὶ σφιγκτὴρ μὲν λέγεται, ὅτι περισφίγγει, καὶ οἷον σειροῖ τὸ ἔντερον καὶ δεσμοῖ[z], ἵνα μὴ ἄκοντες προΐωμεν, ἐν οἷς οὐ δεῖ, καὶ ὅτε οὐ δεῖ· πρωκτὸς δὲ, οἷον προακτὸς, παρὰ τὸ δι᾿ αὐτοῦ προΐεσθαι τὸ περίττωμα· ἐπειδὴ δὲ διὰ τῶν ἐντέρων φέρονται διάφοροί τινες καὶ δριμεῖς χυμοὶ ἐκ τῶν περιττωμάτων, ἐπετήδευσεν ἡ φύσις πιμελώδη τινὰ καὶ φλεγματικὴν ὕλην καὶ περιεγάνωσε, καὶ οἷον ἐπέπλασεν αὐτὰ, ἵνα πρόβολον τινὰ ἔχωσι καὶ ἀπάντημα, πρὸς τὸ μὴ ῥαδίως ὑπὸ τῆς διερχομένης δριμύτητος δάκνεσθαι καὶ ὀδυνᾶσθαι, καὶ συνοδυνᾶν τὸν ἄνθρωπον· τοῦτο γοῦν καὶ ἐπὶ τῆς γαστρός ἐστιν ἰδεῖν, καθὼς ἔφθην εἰπὼν, ὅτι πανταχόθεν περίκειται αὐτῇ τὸ ἐπίπλον καὶ τὸ[a] περιτόναιον πρὸς φυλακήν· καὶ πάλιν ἔσωθεν, ἐν ᾧ τὰ περιττώματα κεῖται, ἐπεπλάσθη καὶ αὐτὴ, καὶ περιεγανώθη ὁμοίως τοῖς ἐντέροις, διὰ τὴν εἰρημένην αἰτίαν.

Γινώσκουσα ἡ δημιουργικὴ, μᾶλλον δὲ κηδεμονικὴ[b] φύσις, ὅτι τὰ νευρώδη μόρια ὑπὸ δριμύτητος τινὸς δακνώμενα[c] ὀδυνᾶται, καὶ συνοδυνᾷ τῇ αἰσθήσει, τὴν εἰρημένην ἐτεχνάσατο γάνωσιν· πάλιν δὲ ἐπιμελουμένη[d] τοῦ ζώου, πόρους ὀχετηγοὺς[e] κατεσκεύασε, δι᾿ ὧν καθαίρεται τὰ περιττὰ[f] καὶ τρυγώδη τοῦ σώματος· ἐπειδὴ γὰρ οἶδεν ὅτι ἡ λαμβανομένη τροφὴ, εἰ καὶ πᾶσα τῷ ἡμετέρῳ σώματι οἰκεία ἐστὶν, ἀλλά τι καὶ περιττωματικὸν ἔχει, τούτου χάριν τούτους ἐπενοήθη. καθάπερ καὶ οἱ

[y] ὑπέπλους A. [z] ὅτι περισφ. τὸ ἔντ. καὶ δεσμοῖ B. [a] τὸ om. B.
[b] γινωσκ. γὰρ ἡ δημ. καὶ κηδ. B. [c] δακνόμενα B. [d] ἐπιμελομένη A.
[e] ὀγετηγοὺς A. [f] καθαιρεσθαι δεῖ τὰ περ. B.C.

πόλεων τινῶν ἐπιμελούμενοι[g], ὀχετοὺς καὶ ἀμάῤῥας καὶ ῥύακας παρασκευάζουσιν, εἰς λίμνας[h], ἢ ποταμοὺς, ἢ θαλάσσας τὰ συναγόμενα πέμποντες[i] περιττά.

Τριῶν δὲ οὔσων πέψεων, τῆς ἐν γαστρὶ, τῆς ἐν ἥπατι, καὶ τῆς ἐν παντὶ σώματι, τριττὸν ἀνάγκη καὶ τὸ γένος εἶναι τῶν περιττωμάτων· καλεῖται γοῦν τὸ μὲν πρώτου περίττωμα τῆς τροφῆς, στεῤῥόν καί ἐστιν κόπρος· ἐκκαθαίρεται δὲ τοῦτο διὰ τῶν ἐντέρων, παρὰ τὸν ὀχετηγὸν τῆς ἕδρας· τὸ δὲ τῆς δευτέρας πέψεως περίττωμα, ὑγρόν ἐστι, καθαιρόμενον διὰ νεύρων καὶ οὐρητήρων· ὀνομάζεται δὲ οὖρον· τὸ δὲ τῆς τρίτης πέψεως περίττωμα, ἔστι τοῦ παντὸς σώματος, καὶ καλεῖται ἱδρώς· καθαίρεται δὲ διὰ τῶν ἀδήλων πόρων· ταῦτα δὲ πάντα γέγονεν, ἵνα μὴ χρονίζοντα σήπηται ἐν τοῖς ἐντέροις[k], καὶ βλάβην οὐ τὴν τυχοῦσαν ἐπιφέρει[l] τῷ ζώῳ· πᾶσι δὲ τοῖς ἐκκρινομένοις ἀπὸ τοῦ σώματος περιττοῖς συνεκκρίνεται καὶ ζωτικὸν πνεῦμα, ἐν κόπρῳ, ἐν οὔρῳ, ἐν πτύσμασι[m], καὶ ἐν ἱδρῶτι· ἔντερα δὲ λέγεται ἀπὸ τοῦ ἐντὸς εἰλεῖσθαι· οἷον ἔντελα, τὰ ἐντὸς εἰλούμενα· ἢ ἀπὸ τοῦ δι᾽ αὐτῶν ῥεῖν[n] τὴν ἀπὸ τῆς τροφῆς περίσσειαν· λέγονται δὲ ἔνδινα[o], ὡς Ὅμηρος[p]·

ψαῦσαι ἐνδίνων, (Il. Ψ. 806.)

ἔνινα τινὰ ὄντα, τὰ ἐντὸς τῶν ἰνῶν ἢ[q] τῶν μελῶν· καὶ μὴν καὶ χολάδες λέγονται[r]· ὡς τὸ,

χῦντο χαμαὶ χολάδες· (Il. Δ. 526.)

χολάδες δὲ[s], διὰ τὸ κατὰ φύσιν δέχεσθαι τὸ χολῶδες περίττωμα· μετὰ δὲ τὰ σπλάγχνα, καὶ γαστέρα, καὶ ἔντερα, ὁ τόπος, ἐν ᾧ ἀποτελευτῶσιν αἱ νόθοι πλευραὶ, λαγὼν λέγεται, καὶ κενεὼν, καὶ λαπάρα· τὰ μὲν γὰρ πλήσιον τῶν πλευρῶν ὀστέα, λαγόνων ὀστᾶ λέγονται· εἰσὶ δὲ πλατέα· τὰ δὲ ἐπὶ τὴν ἐπίβασιν, ὄπισθέν τε καὶ κάτωθεν, ὀστᾶ ἰσχίων· τὰ δὲ εἰς τὸ πρόσω μέρος ἐντεῦθεν ἀνατεινόμενα, λεπτὰ ὄντα καὶ διατετρημένα,

[g] ἐπιμελόμενοι A. [h] ἐκ λ. B. [i] παραπέμποντες B. [k] χρονίζηται τὰ σιτία ἐν τ. ἐντ. καὶ σήπεται B. [l] ἐπιφέρῃ B.C. [m] πτύσματι B. om. C. [n] ἀπὸ τοῦ διαῤῥεῖν B. [o] δὲ καὶ ἔνδ. B. [p] ὡς καὶ Ὅμ. B. [q] ἤγουν B. [r] λέγονται δὲ καὶ χολ. B. [s] χολ. δὲ om. B.

καὶ συμφυόμενα κατὰ τὸ πέρας ἀλλήλοις, ἥβης καλέουσιν ὀστᾶ.

ΚΕΦ. ΚΔ.

Περὶ τοῦ τόπου τῆς Ἥβης καὶ τοῦ Ἴτρου.

Κατὰ γὰρ τὸν τῆς ἥβης χρόνον ἐκεῖσε φύονται αἱ τρίχες[t]· ὅντινα τόπον ἐφήβαιον καὶ ἴτρον[u] ἐκάλεσαν· ἴτρον μὲν διὰ τὸ ἔντερον, ἐκ τοῦ ἵημι τὸ πέμπω, ἵητρον, καὶ ἐν συγκοπῇ ἴτρον[v]· τὸ πέμπον τὸ περίττωμα κάτω· ἐφήβαιον δὲ, διὰ τὸ βαίνειν τὰς τρίχας ἐκεῖ, ὀλίγας τε καὶ μικράς· ὥστε μόνον βῆναι· βαιὸς γὰρ ὁ μικρός· ὁ δὲ τῆς ἥβης χρόνος ἀόριστος[w], διὰ τὴν ἀνισότητα τοῦ ἐν τοῖς ἡβάσκουσιν ἐμφύτου θερμοῦ· καὶ Ἡσίοδος[x]·

ἀλλ' ὅταν ἡβήσειεν, καὶ ἥβης μέτρον ἵκοιτο[y]· (Opp. I. 131.)

κενεὼν δὲ καὶ λαπαρὰ τὸ αὐτό· ὡς τὸ,

μίαν πόλιν ἐξαλαπάξαι,

τουτέστι, τῶν ὑπαρχόντων αὐτῇ κενῶσαι, πολίτων, καὶ πραγμάτων[z]· ἢ διὰ τὸ κενὸν εἶναι ὀστέων τὸν τόπον[a]· ἢ διὰ τὴν λάπαθον τὴν βοτάνην κενωτικὴν γαστρὸς οὖσαν[b]· λαγὼν δὲ παρὰ τὸ λήγω· ἐκεῖσε γὰρ λήγουσιν αἱ πλευραί.

Τοῦτον τὸν τόπον κατωτέρω λαγόνος, βουβῶνας καλοῦσι, τὰ ἔνθεν κἀκεῖθεν τῆς βαλάνου καὶ τῶν διδύμων· τὸ δὲ τῆς βαλάνου ἐξίσης[c] τὴν κύστιν λέγουσι, διὰ τὸ εἶναι ἐκεῖσε τὴν οὐρηδόχον κύστιν· κοινωνία γὰρ ἔρχεται δύο πόρων ἀπὸ τῆς ὀσφύος φυσικῷ[d] νόμῳ, τοῦ ἀπευθυσμένου καὶ τῆς οὐρηδόχου κύστεως· ἥτις δέχεται μὲν τὸ οὖρον ἀπὸ τοῦ νώτου αὐτῆς, ἔξωθεν ἀπὸ τῶν νεφρῶν, διὰ νεύρων καὶ φλεβῶν τῶν λεπτῶν, ὧν ἔχει· ὀξεῖα γάρ ἐστιν εἰς τὸ ἕλκειν· ἐκβάλλει δὲ ἀπὸ τοῦ τραχήλου αὐτῆς, καὶ ἀποκρίνει τὸ οὖρον ἔξωθεν, διὰ τῆς βαλάνου· ἐπεὶ δὲ τὸ λεγόμενον ἀρχὸν ἔντερον ὑπόκειται αὐτῇ, φλεγμαινούσης πολλάκις αὐτῆς[e], ἐπίσχεσις γίνεται τῆς κόπρου, οὐχ ἥκιστα δὲ τοῦ οὔρου[f].

[t] αἱ τριχ. φυ. B. [u] ἧτρον B.C. ἴτρον A. [v] ἧτρον B. ἴτρον A. [w] ἀορ. ἐστὶ B. [x] ὡς καὶ Ἡσ. B. [y] ἥκοιτο B. [z] hæc om. B. [a] εἶναι τὸν τόπον ὀστ. B. [b] hæc om. B. [c] ἑξῆς C. [d] ἀπ. τὴν ὀσφὺν φυσικῶν ὑπονόμων B. [e] αὐτ. πολλάκ. B. [f] καὶ οὐχ ἥκ. τοῦ οὐρ. B.

Βουβῶνας δὲ ὠνόμασαν τοὺς εἰρημένους τόπους, ἀπὸ τοῦ συμβαίνοντος οἰδήματος ἐν αὐτοῖς· ἐκ τοῦ βῶ τὸ βαίνω· παρὰ τὸ ἄγαν βαίνειν εἰς ὕψος· βῶ, βὼν[g], καὶ μετὰ τοῦ βου ἐπιτατικοῦ[h] μορίου, βουβών· ἐπεὶ[i] γὰρ οὗτος ὁ τόπος ἀδενώδης ἐστὶν, οἱ δὲ ἀδένες φύσει ὑπάρχουσιν ἀσθενεῖς καὶ ἀραιοὶ, ὑπέστρωσε γὰρ αὐτοὺς τοῖς μορίοις ἡ φύσις[k], εἰς χρείαν μόνην καὶ ὑποδοχὴν τῶν περιττωμάτων, ὡς ἐπιτηδείους, τηνικαῦτα χυμοῦ ἐμπίπτοντος αὐτοῖς, μὴ δυνάμενοι τοῦτον ἀποδιῶξαι διὰ τὴν φυσικὴν ἀσθένειαν, ἐπαίρονται εἰς ὄγκον· ἐπεὶ οὖν τοῦτο συχνοτέρως[l] συμβαίνει ἐν τοῖς τόποις τούτοις[m], εἰκότως τῆς ὀνομασίας ταύτης τετυχήκασιν· ἡ δὲ κύστις, ἀπὸ τοῦ κεύθειν τὸ οὖρον.

Τῶν οὐρητικῶν οὖν ὀργάνων, τὰ μὲν διακριτικὰ εἰσὶ τῶν οὔρων, ἢ ἀγγεῖον[n], ὥσπερ νεφροί· τὰ δὲ παροδευτικὰ, ὥσπερ τὰ ἐξ ἥπατος ἐρχόμενα πρὸς νεφροὺς[o] ἀγγεῖα· μέχρι γὰρ τῆς ὀσφύος αἱ μεσαραϊκαὶ φλέβες φέρονται· τὰ δὲ ὑποδεκτικὰ, ὥσπερ κύστις[p]· τὰ δὲ ἀποκριτικὰ, ὥσπερ ὁ τράχηλος τῆς κύστεως· καὶ τὰ μὲν αὐτῶν χρείαν μόνην παρέχεται, ὡς τὰ ἀγγεῖα τὰ παροδευτικά· ἐνέργειαν δὲ οὐδεμίαν ἔχει· τὰ δὲ ἐνεργεῖ, ὡς οἱ νεφροὶ καὶ ἡ κύστις· ἐκεῖ γὰρ τὸν πρέποντα κόσμον ἀπολαμβάνει τὸ οὖρον, ὄπισθεν τῆς κύστεως, καὶ βουβῶνος, καὶ λαγόνος.

Ὀσφὺς δὲ[q] λέγεται ὁ τόπος, ἐν ᾧ κεῖνται οἱ νεφροί· ἔστιν οὖν ἡ οὐσία αὐτῶν ἀδενώδης καὶ ψαφαρὰ, ὅμοια τοῖς ὄρχεσιν· αἴτιοι δὲ εἰσὶν οὗτοι οἱ νεφροὶ, καὶ τῆς κατὰ τὴν συνουσίαν ὀρέξεως, καὶ τῆς τοῦ αἵματος καθάρσεως· τὸ ὀῤῥῶδες αὐτοῦ ἕλκοντες, καὶ εἰδοποιοῦντες εἰς οὔρων σύστασιν· καθὼς κατόπιν ἐγράφη· νεφροὶ δὲ παρὰ τὸ νείφεσθαι[r] τῷ οὔρῳ, ὅ ἐστι βρέχεσθαι· ἡ δὲ ὀσφὺς, οἷον ἰσοφὺς, ἡ ἴση πρὸς τὰ ἄνω καὶ τὰ[s] κάτω πεφυκότα[t] τοῖς ὀστοῖς· σπόνδυλοι γὰρ εἰσὶ πέντε τὸν

[g] βοβῶν B. [h] μετὰ τοῦ ἐπιτ. βου. B. [i] ἐπειδὴ B. [k] ἡ φυσ. τοῖς μορ. B. [l] συχνότερον τοῦτο B. [m] ἐν τούτ. τοῖς τόπ. B. [n] ἢ ἀγγεῖον om. B.C. [o] πρὸς νεφρ. ἐρχ. B. [p] ἡ κυστ. B. [q] δὲ om. B. [r] νίφεσθαι B. [s] τὰ om. B. [t] πεφυκυῖα B.C.

ἀριθμὸν, παχύτατοι τῶν ἄλλων καὶ μέγιστοι· τὸ δὲ τρῆμα[u] τὰ[v] ἔνδοθεν στενὸν ἔχουσι· διότι καὶ ὁ νωτιαῖος μυελὸς κατὰ τὴν ὀσφὺν ἰσχνός ἐστιν· ὅσον γὰρ κατέρχεται, στενοῦται ὁ μυελός· τὰς ἀποφύσεις δὲ οὗτοι οἱ σπόνδυλοι ἄνω νευούσας ἔχουσι· λέγεται καὶ ὀστοφυὴς ἡ ὀσφύς· ὀστώδης γάρ ἐστιν ὅλος ὁ τόπος αὐτῆς· λέγεται καὶ ἰσχίον· ἰσχναίνεται γὰρ οἷον καὶ[w] λεπτύνεται, ὡς πρὸς τὸ ἀνεστηκὸς τοῦ ὅλου σώματος, τοῦτο τὸ μέρος.

ΚΕΦ. ΚΕ.

Περὶ Ἱεροῦ ὀστέου καὶ περὶ τοῦ Πρωκτοῦ.

Τὸ δὲ ἄκρον τῆς ὀσφύος ὀστοῦν πρὸς τὴν ἕδραν ἀνώτερον[x], ἱερὸν ὀστέον[y] καλεῖται· ἢ ὅτι μέγα ἐστὶν, ἱερὸν δὲ τὸ μέγα[z]· ἢ ὅτι κύριον· παθὸν γὰρ ἀναιρεῖ· ἢ ὅτι ἱερούργουν αὐτὸ τοῖς δαίμοσι[a] κατὰ τὸ ἀρχαῖον οἱ Ἕλληνες. Ἔστι δὲ αὐτὸ ὅμοιον τοῖς εἰρημένοις σπονδύλοις τῆς ῥάχεως· αἱ δὲ εἰς τὸ πλάγιον ἀποφύσεις αὐτοῦ, μεγάλαι τέ καὶ[b] πλατεῖαι, ἔχουσαι κοιλότητας· καθ' ἃς ἐπιβέβηκε τὰ τῶν λαγόνων ὀστᾶ· ὑπόκειται δὲ τούτῳ τῷ εἰρημένῳ ὀστῷ ἕτερον ὀστοῦν χονδρῶδες, πλατὺ, μικρὸν, κόκκυξ ὀνομαζόμενον· ὅπέρ τινες οὐρὰν λέγουσι· οὐ συνετῶς ταῦτο λέγοντες· ἐπὶ γὰρ τῶν ἀλόγων ζώων τοῦτο καλεῖσθαι χρεών· ὡς καὶ Ὅμηρος ἐπὶ τοῦ λέοντος·

> οὐρῇ δὲ πλευρὰς καὶ ἰσχία ἀμφοτερώθεν
> μαστίεται[c], ἐπὶ δ' αὐτὸν ἐποτρύνει μαχέσασθαι[d]· (Il. Υ. 171.)

κόκκυγα οὖν τὸ ὀστοῦν τοῦτο[e] καλοῦσιν, ὥς φησι Γαληνὸς[f], ὅτι τὰ ἐξερχόμενα ἐκεῖθεν πνεύματα διὰ τῆς ἕδρας, πρὸς[g] τοῦτο προσκρούοντα κοκκύζει· ἀπὸ μεταφορᾶς τῆς κοκκυζούσης ὄρνιθος· ἢ διὰ τὸ κολλᾶσθαι τῇ ἕδρᾳ· ἵνα μὴ ἐξανοίγοιτο ἐπὶ πλεῖον[h]· ἐκ τούτου δὲ[i] κόλαξ καὶ παράγωγον[k] κόκκυξ· κῶλον

[u] τρύμα B. [v] τὸ B. [w] καὶ οἷον B. [x] τῆς ὀσφ. μέσον ὡς πρὸς τ. ἕδρ. ἀν. B. [y] ὀστοῦν B. [z] haec om. B. [a] αὐτ. οἱ Ἑλλ. τ. δαιμ. B.C. [b] μεγ. τὲ εἰσὶ καὶ B. [c] μαστίεται B. μαστίζεται A. [d] μαχέεσθαι B. [e] τοῦτο τὸ ὀστ. B. [f] γηλὸς B. κατὰ τὸν Γαληνὸν C. [g] εἰς B.C. [h] ἐπιπλεῖον B. [i] δὲ om. B. [k] κόλον καὶ παραγ. B.

γὰρ καὶ αὐτὸ, ὡς[l] οὐχ ὁλόκληρον· τὸ γὰρ μικρὸν καὶ οὐχ ὁλόκληρον[m], καὶ Ὅμηρος κῶλον καλεῖ·

πάλλ'[n] αὔτως ἐν χειρὶ κόλον δόρυ. (Il. Π. 117.)

ἡ δὲ ἕδρα καὶ δακτύλιος λέγεται, διὰ τὸ δακτύλῳ ἐφικτὸν εἶναι· ἢ ἀπὸ τῆς στρογγυλότητος τοῦ σημαντῆρος· σημαντὴρ δὲ ὁ[o] σφιγκτήρ· διὰ τὸ σημαίνειν αὐτὸν καὶ μηνύειν τὴν ἔξοδον· τινὲς δὲ καὶ[p] τὸ ὀστοῦν τὸν κόκκυγα[q] ἐκ τούτου ἐνόησαν· μηνύτης γὰρ καὶ ὁ ἀλέκτωρ ἡμέρας· ἡ δὲ ἕδρα παρὰ τὸ ἑδραῖον τοῦ τόπου καὶ ἰσχυρὸν, ἢ παρὰ τὸ ἕζω τὸ καθέζομαι, ἐξ οὗ καὶ κάθεδρα.

ΚΕΦ. ΚΔ.

Περὶ τῶν Διδύμων, καὶ τῆς Βαλάνου, καὶ τῶν ἐν αὐτοῖς σωμάτων.

Τὰ περὶ τοὺς διδύμους[r] καὶ αὐτὴν τὴν βάλανον σώματα, οὕτω προσαγορεύονται αἰδοῖα· αἰδούμεθα γὰρ καὶ γυμνῶσαι αὐτὰ, καὶ ὀνομάσαι παρὰ καιρὸν, ἢ σκοπόν[s]· ἡ δὲ βάλανος[t] καὶ καυλὸς λέγεται, καὶ σηραγγῶδες νεῦρον· καὶ ψωλὴ, καὶ κύπρις· τὸ δὲ περικαλύπτον αὐτὴν δέρμα, ποστὴ, καὶ πρόσθεσμα[u] καλεῖται· ποστὴ μὲν[v], διὰ τὸ οἷον ἐπικεῖσθαι καὶ προσεθίσθαι[w] δοκεῖν· πρόσθεμα δὲ, παρὰ τὸ ἀλλήλοις ἐν ταῖς συνουσίαις προστίθεσθαι· ἢ διὰ τὸ ἐπὶ τὰ ἐμπρόσθια μέρη εἶναι· βάλανος δὲ, ὅτι κατὰ τὴν ἐμφέρειαν βαλάνῳ προσέοικε· ψωλὴ δὲ, παρὰ τὸ ἐμφυσάσθαι[x] κατὰ τὴν ὄρεξιν τῶν ἀφροδισίων[y]· καὶ ὅτι φυσῶδες φύσει παράπτωμα ἐστίν[z]· ἢ παρὰ τὸ ψῶ, τὸ ἅπτομαι καὶ κνήθω· κνησμὸς γάρ τις ἐστὶ τὸ τῆς ἡδονῆς[a]· σηραγγῶδες νεῦρον[b], ὅτι ποτὲ μὲν αὔξει, ποτὲ δὲ λήγει σηρούμενον[c], καθάπερ αἱ σήραγγες[d]· καυλὸς δὲ, ὡς ἐπίμηκες· πᾶν γὰρ ἐπίμηκες αὐλός· προσθέσει οὖν τοῦ κ[e], καυλός· διὰ τοῦτο δὲ κατεσκευάσθη ἐπίμηκες, ἵνα ὥσπερ ἐκ σφενδόνης παραπέμπῃ[f] τὴν γονὴν

[l] ὡς om. B. [m] hæc om. B. [n] πλὴν B. mox κῶλον. [o] καὶ ὁ B. [p] καὶ om. B. [q] κόκκυκα A. [r] τὰ δὲ παρὰ τοὺς διδ. B.C. [s] καὶ σκ. B. [t] ὁ δὲ β. B. [u] πρόσθημα καὶ πόσθη B. πρόσθμα κ. ποστὴ C. [v] πρόσθημα μὲν B.C. [w] προσκεῖσθαι B. [x] ἐμφυσσάσθαι B. [y] ἀφροδησίων B. [z] hæc om. B. [a] κνησ. γ. ἐστ. τῆς ἡδ. B. [b] σηρ. δὲ νευρ. B. [c] σηρ. om. B. συρόμενον C. [d] σύριγγες B. [e] τὸ κ. A. [f] παραπέμπει B.

ἐν τῇ μήτρᾳ ἐπὶ μῆκος, καὶ μὴ ἀπομένουσα ἔξω, ἀτεκνίας[g] αἴτιον γίνηται.

Ἔστι δὲ νευρῶδες[h] δι' ὅλου, μετὰ μυῶν τῇ οὐσίᾳ[i] ἔχον[k] καὶ φλέβας, καὶ χρείας, καὶ[l] ἀρτηρίας· ἡ δὲ χρεία αὐτοῦ διττή· πρός τε ἐξακοντισμὸν σπέρματος· καὶ πρὸς ἀποκένωσιν τοῦ οὔρου· οὖρον δέ ἐστιν τὸ περίηθημα τοῦ αἵματος· ἢ ὀῤῥὸς τῆς συμπάσης τροφῆς. οἱ δίδυμοι καὶ ὄρχεις καλοῦνται καὶ μήδεα· παρὰ τὸ μήδεω καὶ ἄρχειν τῆς γενεᾶς· καὶ Ὅμηρος,

μήδεα δ' ἐξερύσας[m] δώσω κυσί. (Od. Σ. 86.)

τὸ δὲ περιέχον αὐτοὺς δέρμα ὀσχεὸς ὠνομάσθη· ἀπὸ τοῦ περιέχειν τὰ ὑπ' αὐτοῦ περισχόμενα[n]· ὄρχεις φημὶ καὶ παραστάτας, καὶ τὰ σπερματικὰ ἀγγεῖα· καὶ τὸν ἐλυτροειδῆ[o] χιτῶνα, καὶ τοὺς δαρτούς· ταῦτα γὰρ πάντα[p] ὑπὸ τοῦ ὀσχεοῦ περιέχεται· ὄρχεις μὲν, παρὰ τὸ εἰς[q] τὰ ἀφροδίσια παρέχειν τὴν ὄρεξιν· ἢ οἷον ἔρχεις, εἰς οὓς ἔρχεται ἡ γονή· ἔστι δὲ αὐτῶν ἡ οὐσία[r] ἀδενώδης καὶ ψαφαρὰ, πεποιημένη εἰς τὴν τοῦ σπέρματος γόνιμον δύναμιν· οἱ δὲ παραστάται[s], οἱ καὶ κρεμαστῆρες λεγόμενοι, ἔκφυσίς ἐστι[t] τοῦ νωτιαίου μυελοῦ τῆς μήνιγγος· σὺν φλεψὶν ἀρτηριώδεσιν ἐν τοῖς διδύμοις καθήκουσαι· δι' ὧν ἡ τοῦ σπέρματος εἰς τὸ αἰδοῖον γίνεται πρόεσις· σπέρμα οὖν λέγεται, διὰ τὸ συνεσπαρμένην ἔχειν ἐν ἑαυτῷ τὴν τῆς δυνάμεως τελειότητα, τοῦ γενέσθαι τοίονδε τὸ ζῶον ἐξ ὧν καὶ ἀπεκρίθη.

Τὰ σπερματικὰ τοίνυν ἀγγεῖα, φλέβεις εἰσὶν, ἀπὸ τῆς κοίλης[u] φλεβὸς ἐρχόμεναι[v], ἥτις ἐπίκειται τῇ ῥάχι[w], ἄνωθεν ἕως κάτω· δι' ὧν φλεβῶν οἱ δίδυμοι τρέφονται· ἐν ταύταις γὰρ τὸ ὀῤῥῶδες ὑγρὸν πρῶτον τίκτεται, μεταβληθέντος τοῦ αἵματος καθάπερ ἐν τοῖς τιτθοῖς τὸ γάλα· πέττουσιν μὲν οὖν αἱ ἀρτηρίαι καὶ φλέβες, αἱ οὖσαι ἐν τοῖς διδύμοις, τὸ αἷμα εἰς τὸ ὀῤῥῶδες ὑγρὸν, ἵνα τρέφωνται· ὅτι ἐκ σπέρματος τὴν ἀρχὴν

[g] ἀτεχνίας B. [h] νευρώδης B.C. [i] τὴν οὐσίαν B. [k] ἔχων B. [l] καὶ χρ. om. B. [m] δ' ἐρύσας B. [n] περιέχειν τὰ ἀγγεῖα B. [o] ἐρυτροειδῆ B. [p] ταῦτα δὲ π. B. [q] πρὸς B. [r] ἡ οὐσ. αὐτῶν B. [s] παραστάτας B. [t] εἰσὶ B. [u] κοίλης om. A. [v] ἐρχόμενα B. [w] ῥάχη B.

ἡ γένεσις αὐτῶν ἔσχεν[x]· ὅσα γὰρ ἐκ σπέρματος γεννᾶται, ἐκ τούτου καὶ τρέφεται· καὶ ὅσα ἐξ αἵματος, ἐξ αἵματος· αὗται οὖν[y] ἐκ σπέρματος καὶ[z] γεννῶνται καὶ τρέφονται· καὶ τὸ περιττεῦον αὐταῖς γίνεται γονή.

Αἱ φλέβες δὲ αὗται καὶ αἱ ἀρτηρίαι εἰς τοὺς διδύμους ἐμπίπτουσαι, αἴτιοι τῆς συνουσίας γίνονται τρόπῳ τοιούτῳ[a]· διερχόμεναι διὰ τῶν νεφρῶν, ἀρύονται δριμύτητα τινὰ τὴν ἐρεθίζουσαν τὴν ὄρεξιν· ὥσπερ γὰρ τὸν κνησμὸν ἡ δριμύτης ποιεῖ, οὕτως καὶ τὴν ὄρεξιν ταύτην· ἐπεὶ δὲ τῶν διδύμων ἡ σὰρξ ἁπαλή ἐστι, πλείονα τὴν δριμύτητα δεχομένη ὑπὲρ τὸ δέρμα, ἐμμανῆ ποιεῖ τῆς γονῆς τὴν ἐπιθυμίαν πρὸς ἔκκρισιν.

Καὶ πρῶτα[b] μὲν ἀναφέρεται ἡ τοιαύτη γονὴ εἰς τὴν κεφαλήν· πάλιν δὲ ἀπὸ τῆς κεφαλῆς καταφέρεται διὰ δύο φλεβῶν καὶ δύο ἀρτηριῶν εἰς τὸν ὀσχεὸν, καὶ ἐμπίπτει εἰς ἑκατερὸν τῶν διδύμων μία ἀρτηρία τῶν εἰρημένων, καὶ μία φλὲψ πλήρης σπέρματος· καὶ ἐν τούτοις τελείως ἀποσπερματοῦται, καὶ διὰ τοῦ κισσοειδοῦς παραστάτου, ἀπὸ τῶν διδύμων μεταπέμπεται εἰς τὴν βάλανον· κακεῖθεν ἐκκρίνεται μετὰ πνεύματος[c], ὥσπερ ἐκ σφενδονίστρας τινός· τοῦτο δὲ γίνεται διὰ τὴν εἰρημένην αἰτίαν ἔμπροσθεν[d]· καὶ ὅτι ἀρτηρία ἐστὶν ἡ παραπέμπουσα· ὅτι δὲ ἡ γονὴ πρῶτα[e] εἰς τὴν κεφαλὴν ἀνέρχεται, δῆλον ἐντεῦθεν· εἰ γάρ τις ἐκτέμνει τὰς φλέβας τὰς παρὰ τὰ ὦτα καὶ παρωτίδας, ἄγονον ἀπομένει τὸ ζῶον.

Χιτὼν δέ ἐστι νευρώδης ὅλος, εἰς ὃν διέρχονται τὰ τῆς γονῆς ἀγγεῖα· λεγόμενος ἐρυτρός· κατὰ τοὺς βουβῶνας καὶ αὐτὸς κείμενος, καὶ τοὺς ὄρχεις ἀναβαστῶν· καὶ ἔστι κατὰ μὲν τὰ κυρτὰ τῶν διδύμων καὶ ἔμπροσθεν, ἀπόλυτος· κατὰ δὲ τὰ κοῖλα ὄπισθεν, προσπεφυκὼς τοῖς διδύμοις· ἀπόφυσις δέ ἐστιν οὗτος ὁ ἐρυτρὸς τοῦ περιτοναίου· εἴρηται δὲ περὶ αὐτοῦ ἔμπροσθεν, ὅτι τῇ γαστρὶ καὶ τοῖς ἐντέροις περιτέταται[f]· ἐν δὲ τοῖς κάτω μέρεσιν αὐτοῦ τινὲς ἀποφύσεις εἰσὶν, οἷον κόλποι βαλαντο-

[x] ἔσχεν om. A. ἡ γεν. τὴν ἀρχ. αὐτ. ἔσχ. B. [y] γοῦν B. [z] καὶ om. B. [a] τοιῷδε B. [b] πρῶτον B. [c] σπέρματος B. [d] ἔμπρ. αἰτ. B. [e] πρῶτον B. [f] περιτέτταται A.

ειδεῖς· ὁ μὲν περὶ τὰ δεξιὰ[g], ὁ δὲ περὶ τὰ ἀριστερὰ, ἐν οἷς οἱ δίδυμοι[h]· ἔσωθεν οὖν[i] εἰς τούτους τοὺς κόλπους ἐμβάλλουσι τὰ εἰρήμενα σπερματικὰ ἀγγεῖα, καὶ κομίζουσι τοῖς ὄρχεσι τὴν γονήν· τούτου δὲ τοῦ ἐρυτροῦ, ἤγουν τοῦ βαλαντοειδοῦς χιτῶνος, ἐκ βίας τινὸς, ἢ βάρους, ἢ πηδήματος, ἢ δρόμου, ἢ φωνῆς, ἢ συκώματος, ἀνοιγόμενον[k] τὸ ἔντερον εἰς τὸν ὀσχεὸν καταφέρεται, διὰ τὸ ἐπικεῖσθαι τῷ ἐρυτρῷ· καὶ γίνεται ἡ λεγομένη ἐντεροκοίλη[l]· ἐρυτρὸς δὲ ὠνόμασται, παρὰ τὸ ἐρύκω τὸ βοηθῶ· ἐκ τούτου ἔρυκος ὄνομα· καὶ παράγωγον, ἐρυκτὸς ὁ βοηθός· καὶ ἀποβολῇ τοῦ κ, καὶ προσθήκῃ[m] τοῦ ρ, ἐρυτρός· βοηθὸς γὰρ καὶ οὗτος τοῖς ὄρχεσιν, εἴπερ[n] ἐν αὐτῷ κρέμανται· ἢ οὕτως· εὐρὺς, εὐρυτὸς, καὶ ἐξ αὐτοῦ ἐρυτρὸς, ὁ πλατύς[o]· εἰσὶ δέ τινες ὑμένες προσκολλώμενοι τῷ ἐρυτρῷ· καὶ δι' αὐτοῦ τῷ ἔξωθεν δέρματι, δαρτοὶ προσαγορευόμενοι· οὐ γὰρ ἀμέσως ἐπίκεινται οἱ ὄρχεις τῷ ὀσχεῷ· ἵνα μὴ ῥᾳδίως ψύχωνται ὑπὸ τοῦ κρύους· μὴ δὲ ὑπὸ τῆς θερμότητος ὑποχαλῶσι.

Καὶ αἱ γυναῖκες καὶ πάντα τὰ αὐτὰ τοῖς ἀνδράσιν ἔχουσι μόρια· ἀλλ' ἔνδον, καὶ οὐκ ἔξω· περισσότερον δὲ αὐταῖς μόριον τῶν ἀνδρῶν, ἐν ᾧ βρεφουργεῖται τὰ ζῶα· ἤγουν ἡ μήτρα· ἔχει δὲ δύο κοιλίας, δεξιὰν καὶ ἀριστερὰν, ἐν αἷς ζωοῦται τὰ ἔμβρυα· φησὶ γὰρ Ἱπποκράτης· "ἔμβρυα τὰ μὲν ἄῤῥενα, ἐν "τοῖσι δεξιοῖσι, τὰ δὲ θήλεα, ἐν τοῖσιν ἀριστεροῖσι·" λέγουσι δέ τινες καὶ πλείονα τῶν δύο τίκτειν αὐτήν· εἰσὶ δὲ περισσοὶ καὶ οἱ μαστοὶ ἐν μεγέθει· καὶ τὸ ἐν αὐταῖς λευκαινόμενον γάλα· τὰ δ' ἄλλα πάντα παραπλήσια[p], πλὴν τῆς διαφορᾶς τοῦ ἄῤῥενος πρὸς τὸ θῆλυ· τὸ μὲν γὰρ ἔχει ἀῤῥενότητα τινὰ, οὐ μόνον ἐν τοῖς εἰρημένοις παιδουργοῖς μορίοις, ἄλλα καὶ ἐν δυνάμει καὶ θεωρίᾳ, καὶ ἤθει καὶ καταστήματι· τὸ δὲ θηλύτητα ἔχει ἐν τῇ τοῦ σώματος καταστάσει, καὶ τῇ φυσικῇ ἀσθενείᾳ, καὶ τῷ ὅλῳ συγκρίματι· ὅτι δέ ἐστι διαφορὰ τίς τοῦ ἄῤῥενος πρὸς τὸ θῆλυ, καὶ φυσικὴ, μαρτὺς ὁ φοῖνιξ· λέγουσι δέ τινες

g τὰ δεξ. μέρη B.C. h περιέχονται οἱ διδ. B.C. i ἐσ. δὲ B. k ἢ φωνῆς ἀνοιγομένης C. l ἐντεροκήλη A. m προσθέσει B. n ἐπειδήπερ B. o hæc om. B. p παραπλ. πάντα B.

τὴν ἀῤῥενότητα τοῖς ἀνδράσιν ἐν τοῖς ὄρχεσιν[q] ἔχειν· ὅτι ἀποτμηθέντων αὐτῶν θηλύνονται, καὶ γυναιξὶ παραπλήσιοι γίνονται· μήτε γένειον φέροντες, μήτε τὴν φυσικὴν δύναμιν ἔχοντες τῆς παιδοποιΐας· διὸ καὶ ἀμφιβόλους τῷ γένει αὐτοὺς ὁ Θεολόγος καλεῖ· ἀμείβεται δὲ αὐτοῖς καὶ τὸ τῆς φωνῆς ἀνδρεῖον, καὶ ὑπουργοῦσι τὰ πολλὰ παραπλησίως ἐκείναις.

ΚΕΦ. ΚΕ.

Περὶ Χειρῶν.

Τὰ μὲν οὖν τῶν μηρῶν[r] καὶ ποδῶν τε[s] ἀφέντες μόρια, ἐπὶ τὰ τῶν χειρῶν τρεψώμεθα, ἀπὸ τούτων τε πάλιν κἀκεῖνα σκεψώμεθα· τοῖς μὲν γὰρ ἄλλοις πᾶσι ζώοις τὰ ἔμπροσθεν κῶλα τοῦ σώματος πόδες εἰσί· διότι τὸ κεκυφὸς ἐδεῖτο τοῦ ὑπερείδοντος· ἐπὶ δὲ τῆς τοῦ ἀνθρώπου κατασκευῆς χεῖρες τὰ κῶλα ἐγένοντο· τῷ γὰρ ὀρθίῳ τοῦ σχήματος αὐτάρκες[t] ἦν πρὸς τὴν χρείαν, μία βάσις διπλοῖς ποσὶν ἐν ἀσφαλείᾳ τὴν βάσιν ἐρείδουσα· ἀλλὰ καὶ τῇ τοῦ λόγου χρείᾳ συνεργός ἐστιν ἡ τῶν χειρῶν ὑπουργία· καί τις ἴδιον τῆς λογικῆς φύσεως τὴν τῶν χειρῶν ὑπηρεσίαν εἰπὼν, οὐ τοῦ πρέποντος ἁμαρτήσει[u]· "Οὐ "μόνον πρὸς τὸ κοινὸν τοῦτο καὶ πρόχειρον ἀποτρέχων τῇ δια"νοίᾳ· ὅτι γράμμασι τὸν λόγον διὰ τῆς τῶν χειρῶν εὐφυΐας "ἐνσημαινόμεθα· ἔστι γὰρ καὶ τοῦτο λογικῆς χάριτος, τὸ "φθέγγεσθαι διὰ γραμμάτων ἡμᾶς· καὶ τροπόν τινα διὰ "χειρὸς διαλέγεσθαι, τοῖς τῶν στοιχείων χαρακτῆρσι τὰς "φωνὰς ἐναρμόζοντες· ἀλλ' ἐγὼ πρὸς ἕτερα βλέπων," φησὶν ὁ Νύσσης Γρηγόριος, "συνεργεῖν φημὶ τὰς χεῖρας τῇ ἐκφω"νήσει τοῦ λόγου· εἰ γὰρ καὶ μυρίας ἐστὶν ἀπαριθμήσασθαι "τὰς κατὰ τὸν βίον χρείας, πρὸς ἃς τὰ εὐμήχανα ταῦτα καὶ "πολυαρκῆ τῶν χειρῶν ὄργανα χρησίμως ἔχει, πᾶσαν τέχνην, "καὶ πᾶσαν ἐνέργειαν, τὴν κατὰ πόλεμον καὶ εἰρήνην, σαφῶς "μετιόντα· ἀλλάγε πρὸ τῶν ἄλλων τοῦ λόγου χάριν διαφε"ρόντως[v] προσέθηκεν αὐτὰς τῷ σώματι ὁ Κύριος[w]· εἰ γὰρ

[q] ἔρχεσιν B. [r] περὶ τῶν μ. B. [s] τέως B. [t] αὐτάρκης B.C.
[u] ἐκπέσοι B. [v] διαφ. τοῦ λογ. χάρ. B. [w] Θεὸς C.

“ ἄμοιρος τῶν χειρῶν ὁ ἄνθρωπος ἦν, πάντως ἂν αὐτῷ καθ' “ ὁμοιότητα τῶν τετραπόδων, καταλλήλως τῇ τῆς τροφῆς τῇ “ χρείᾳ, διεσκεύαστο τοῦ προσώπου τὰ μόρια· ὥστε προμήκη “ τὴν μορφὴν ἔχειν, καὶ ἐπὶ μυκτῆρας ἀπολεπτύνεσθαι, καὶ “ προβεβλῆσθαι τὰ χείλη τοῦ στόματος, τυλώδη[x] ὄντα, καὶ “ σταθερὰ[y], καὶ παχέα· πρὸς τὴν ἀναίρεσιν τῆς πόας ἐπιτη- “ δείως ἔχοντα· ἐγκεῖσθαι δὲ τοῖς ὀδοῦσι τὸ ὑπ' ὀδόντα γινό- “ μενον· καὶ τὴν γλῶτταν οὐ τοιαύτην εἶναι· ἀλλὰ[z] πολύσαρ- “ κόν τινα καὶ ἀντίτυπον, καὶ τραχεῖαν, καὶ συγκατεργαζο- “ μένην τοῖς ὀδοῦσι τὸ ὑπ' ὀδόντα γινόμενον· ἢ ὑγράν τε καὶ “ διακεχυμένην κατὰ τὰ πλάγια· οἷαι αὐτῶν κυνῶν[a] τε, καὶ τῶν “ λοιπῶν αἱμοβόρων εἰσίν· εἰ οὖν μὴ παρῆσαν αἱ χεῖρες τῷ “ σώματι, πῶς ἂν ἔναρθρος ἐνεσημάνθη φωνή· τῆς κατασκευῆς “ τῶν κατὰ στόμα μορίων οὐ συνδιασχηματιζομένης πρὸς τὴν “ χρείαν τοῦ φθόγγου· ὡς ἐπάναγκες εἶναι βληχᾶσθαι πάντως “ ὡς πρόβατον, ἢ μυκάζειν, ἢ ὑλακτεῖν ὡς κῦνα, ἢ χρεμετίζειν “ ὡς ἵππον, ἢ βουσὶ καὶ ὄνοις βοᾷν παραπλήσιον· ἢ τινὰ θη- “ ριώδη ἀφιέναι φωνήν· νυνὶ δὲ τῆς χειρὸς ἐντεθείσης τῷ “ σώματι, κατὰ τὴν ἄῤῥητον σοφίαν τοῦ κτίσαντος, εὔστολόν[b] “ ἐστι τὸ σῶμα[c] τῇ ὑπηρεσίᾳ τοῦ λόγου· καὶ γὰρ μουσικῶς[d] “ ᾄδων τις, τῇ χειρὶ συναρμόζει τὸ ᾀδόμενον[e]· καὶ ἅπερ μετὰ “ τῆς χειρὸς τυποῖ, ταῦτα καὶ διὰ τῶν φωνητικῶν ὀργάνων “ δημοσιεύει[f] τῇ μελῳδίᾳ· ἀλλὰ καὶ ψαλμῳδοὶ οἱ τῶν χορῶν[g] “ προϊστάμενοι, εἰ μὴ χρήσοιντο ταῖς χερσὶ[h] συνεπακολου- “ θούσαις[i] τοῖς ᾀδομένοις, καταγέλαστοι δείκνυνται· διὸ καὶ “ τινὲς ἐν τῷ διαλέγεσθαι τὰς χεῖρας κινοῦσι· δεικνύντες[k] ἐκ “ τούτου, ὅτι τῆς λογικῆς φύσεως ὄργανον ἴδιον[l] αἱ χεῖρες ἀνα- “ πεφήνασι[m], καὶ μάλιστα τῆς ἐννοίας·” διὰ τοῦτο καὶ ὁ ψαλμῳδὸς φησὶ, “ κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν δὸς αὐτοῖς·”

[x] τηλώδη B. [y] σταθηρὰ C. [z] ἀλλ' ἄλλην B. [a] ἡ τῶν κυνῶν B. [b] εὔστοχον B. [c] τὸ στόμα B. [d] μουσικὸς et mox τις om. B.C. [e] πρὸς τὸ ᾀ. B.C. [f] διμοσιεύει A. [g] ψαλμῳδὸς ἢ οἱ τῶν χειρῶν B.C. [h] τὰς χεῖρας B. [i] συνεπακολουθούσας B. [k] hæc om. A. [l] ἴδιον ὀργ. B. [m] ἐναπεφήνασι B.

καὶ ἄλλος προφήτης· "οὐαὶ τῷ ἀνόμῳ, πονηρὰ γὰρ κατὰ τὰ "ἔργα τῶν χειρῶν αὐτοῦ συμβήσεται αὐτῷ·" οὐ γὰρ δὴ τοὺς "ἐν ταῖς τέχναις ἐργαζομένους εἰς πορισμὸν τροφῆς καὶ ὠφέ-"λειαν πολλῶν οἱ προφῆται καταβοῶσιν, ἀλλὰ τοὺς κατεργα-"ζομένους τὴν ἀνομίαν ὑποδεικνύουσιν· ὥστε καὶ τῶν τοῦ νοὸς "ἐνεργειῶν αἱ χεῖρες ἀποτελεστικαί· ὡς ἂν οὖν κινῇ τὸ κατ-"άρχον, οὕτω κινεῖται καὶ τὸ ἐνεργοῦν."

Χεῖρες οὖν ἀπὸ τῆς χρήσεως λέγονται, ὡσανεὶ χρεῖαι οὖσαι· οὐδέμια γὰρ[n] τέχνη προκόπτει δίχα χειρῶν· καθὼς καὶ[o] ὁ ποιητὴς φησὶν[p],

χειρῶν ὀλλυμένων ἔρρει πολύεργος Ἀθήνη·

ἡ χεὶρ παρὰ τὸ ῥᾶον χεῖσθαι· ἢ παρὰ τὸ ἴσχω τὸ κρατῶ[q]· ἡ ἐπιτήδειος πρὸς τὸ κρατεῖν· ἢ ἀπὸ τοῦ διϊστᾷν τοὺς δακτύλους καὶ διαχεῖν· λέγονται καὶ ὠλέναι, ἀπὸ τοῦ δι' αὐτῶν εἰλοῦσθαι τὰς τάξεις[r]· τουτέστι πληροῦσθαι· τῆς οὖν χειρὸς τὸ μὲν βραχίων καλεῖται, τὸ δὲ πῆχυς· τὸ δὲ καρπὸς, τὸ μετακάρπιον, τὸ δὲ παλάμη· ἀφ' ἧς οἱ δάκτυλοι· καὶ βραχίων μὲν, οἷον βραχυκίων· βραχύτερον γάρ ἐστι τοῦ μηροῦ, τὸ ὀστοῦν τοῦ βραχίονος· διαρθροῦται γὰρ κατ' ἄμφω τὰ πέρατα· καὶ κατὰ μὲν τὸν ὦμον, ἐπίφυσιν ἔχει τῆς κεφαλῆς εὐμεγέθους· τὸ δὲ κάτω πέρας αὐτοῦ, εἰς κονδύλους ἀνίσους τελευτᾷ· καὶ πρὸς μὲν τὸν ἔξω κόνδυλον, ἡ τῆς κερκίδος κεφαλὴ ἀρθροῦται[s]· πρὸς δὲ τὸν ἔνδον, οὐδέν.

Κοιλότης δέ ἐστιν ἐν τῷ κάτω[t] πέρατι τοῦ βραχίονος τροχιλίῳ[u] ἐοικυῖα· περὶ ἣν ὁ πῆχυς κινεῖται, καὶ ἔνδον αὐτοῦ ἄλλη[v]· ὑποδέχονται δὲ αὗται αἱ κοιλότητες τὰς κορώνας τοῦ πήχεως· ἐν μὲν ταῖς ἔσω κάμψεσιν, ἡ πρόσω κοιλότης τὴν πρόσω κορώνην· κατὰ δὲ τὰς ἐκτάσεις, ἡ ὀπίσω τὴν ὄπισθεν· ἡ κεφαλή τε τοῦ βραχίονος πρὸς τὴν τῆς ὠμοπλάτου διαρθροῦται κοιλότητα· ὑπερανέστηκε δὲ αὐτῷ τῷ ὤμῳ ἡ ἀγκυροειδὴς

[n] οὐδὲ γὰρ μία B. [o] καὶ om. B. [p] φησὶν om. A. anonymi poetæ non Homeri hæc est citatio; in qua Lat. Vers. ἀπολλυμένων leg. [q] κρατῶ om. A. [r] πράξεις B. [s] διαρθροῦται B. [t] κατὰ B. [u] τροχηλίῳ B. [v] καὶ αὐτ. ἄλλη ἐνδ. B.

τῆς ὠμοπλάτου ἀπόφυσις· ᾗ ἐπίκειται μῦς ὁ λεγόμενος δικέφαλος· καὶ[w] κατά τε τὸ ἀκρώμιον καὶ τὴν διάρθρωσιν τοῦ κλειδὸς, νεῦρα ἀποτείνων κατ' ἔμπροσθεν τῶν δύο ἀκρωμίων, τένοντας ὀνομαζομένους, ἀναβαστάζοντας καὶ αὐτὸν τὸν βραχίονα· εἰσὶ δὲ καὶ ἄλλοι τένοντες ἐκ μυῶν ὑποκάτω τοῦ ὤμου· ἐν ᾧ τόπῳ ἡ μασχάλη ἐστίν· ὁ μὲν εἷς ἐκ τοῦ στέρνου, ὁ δὲ ἕτερος ἐκ τῶν ὄπισθεν πρὸς τὸν βραχίονα, ἐφαπλούμενοι μέχρι ἀγκῶνος· πάσας τὰς τῆς χειρὸς εὐστροφίας ἀπεργαζόμενοι· ἡ οὖν μασχάλη ἐτυμολογεῖται παρὰ τὸ λίαν κατέχειν[x] ἅτινα ἂν σχῇ· ἢ ἀπὸ τοῦ κεχαλᾶσθαι εἰς μαστόν· ἢ εἰς ἣν χαλᾶται ὁ μῦς· ἢ παρὰ τὸ μαστεύειν τι ὑπ' αὐτήν[y]· ἐπειδὴ ἀφαιρούμενοί τι ἐξ ἄλλων[z] κρύπτομεν· τὸ μὲν οὖν βραχίονος ὀστοῦν ἔστιν ἕως ἀγκῶνος· ἐκεῖσε δὲ συμφύεται καὶ συναρμόζεται τῷ πήχει· τῷ δὲ πήχει σύγκειται ἡ κερκὶς ἄνωθεν ἕως κάτω πρὸς τοὺς καρπούς.

Πῆχυς δὲ εἴρηται ἀπὸ τοῦ πεπήγεναι ἄκρῳ τῷ βραχίονι· καὶ μείζων μέν ἐστιν ὁ πῆχυς τῆς κερκίδος· ὑπόκειται δὲ ὁ πῆχυς αὐτῇ, καὶ ὀχεῖ πρὸς ἐνέργειαν· ὡς εἶναι τὴν μὲν[a] κερκίδα πρὸς τὸ τοῦ ἀντίχειρος μέρος, τὸν δὲ πῆχυν πρὸς τὸ τοῦ μικροῦ δακτύλου· παρὰ δὲ τὸ κρέκειν[b], ὅ ἐστιν ἠχεῖν, κερκὶς ἐκλήθη· συνδεῖται δὲ καθ' ἑκάτερον τῶν περάτων ὁ πῆχυς τῇ κερκίδι συνδέσμοις ἰσχυροῖς· τὸ μέσον δὲ ἅπαν ἀλλήλων διεστήκασι· κύκλῳ δὲ τούτων τένοντες εὐμήκεις μετὰ μυῶν[c] ἐνειλημμένοι τὴν χεῖρα, τὴν κινητικὴν δύναμιν καὶ ἐνέργειαν ἐκτελοῦσιν, ἐκ ψυχῆς δεχόμενοι τὴν ὁρμήν· εἴρηται γὰρ καὶ[d] κάτοπιν, ὅτι ὅσα διὰ νεύρων καὶ μυῶν κινεῖται, πάντα ψυχικά τε ἐστὶ, καὶ κατὰ προαίρεσιν ἀποτελεῖται.

Πρὸς δὲ τὴν τοῦ βραχίονος καὶ τοῦ πήχεος[e] ζεῦξιν, κατέμπροσθεν τῆς χειρὸς, τρεῖς διέρχονται φλέβες καὶ ἀρτηρίαι, πρὸς τοὺς ῥιζοδακτύλους τῆς χειρὸς πολυσχιδῶς περαιούμεναι[f]· ἡ ὠμιαία, ἣν καὶ κρανιακὴν λέγομεν[g]· ἡ μέση τε, καὶ ἡ ἔσω·

[w] καὶ om. B. [x] κατ. καὶ κρύπτειν B. [y] hæc om. B. [z] παρ' ἄλλων B. [a] μὲν om. B. [b] κέρκειν B. [c] μετὰ τῶν μ. B. [d] καὶ om. B. [e] πήχεως B. [f] πολυσχεδῶς περεούμεναι B. [g] λέγουσιν B.

τὴν μὲν οὖν μέσην καθόλου καλοῦμεν, ὥσπερ τὴν ἔσω σπληνικήν[h]· πρὸς ἣν καὶ ἡ ἀρτηρία ἐγγίζει· τῇ οὖν καθόλου φλεβὶ, νεῦρον ὑπόκειται ὥσπερ τῇ σπληνικῇ ἀρτηρίᾳ· καὶ χρὴ παρατηρεῖσθαι ταύτας ἐν τῷ φλεβοτομεῖν· χρὴ δὲ γινώσκειν ὅτι τῆς μὲν ἀριστερᾶς χειρὸς ἡ ἔσω φλὲψ ἀπὸ τοῦ σπληνὸς ἐφορμᾶται[i]· τῆς δεξιᾶς δὲ ἀπὸ τοῦ ἥπατος· ἡ δὲ μέση καὶ μεγίστη ἐξ ἀμφοτέρου[k] τοῦ σώματος· σχίζονται δὲ αὗται αἱ τρεῖς ὥσπερ ἔνδον τοῦ πήχεος καὶ ἐν τοῖς καρποχειρίοις, εἰς πολλὰς[l] καὶ μικρὰς ἐπιμιγνυμένας[m] ἀλλήλαις, οὕτω καὶ ἐκτός· εἰς ταυτὸν γὰρ ἔρχονται ἑνούμεναι πρὸς ἀλλήλας τε καὶ τὰς ἔνδον· ἐκτείνονται δὲ ὑπὸ πᾶν τὸ δέρμα τὸ κατὰ τὸν κάρπον καὶ μετακάρπιον, καὶ τοὺς δακτύλους· τὸ αὐτὸ δὲ σχῆμα καὶ ἐπὶ τῶν ποδῶν εὕροις, πολυειδῶς καὶ πολυσχιδῶς τῶν ἀπὸ τῶν νεφρῶν ἐκεῖσε φερομένων φλεβῶν[n] περαιουμένων.

Ἐν ᾧ οὖν τελευτᾷ μέρει ἡ κερκὶς καὶ ὁ πῆχυς, τὸ τοιοῦτον καρπὸς καλεῖται· συντίθησι[o] δὲ τὸν καρπὸν ὀστᾶ τὸν ἀριθμὸν ὀκτὼ, ἐπὶ δύο στίχους συγκείμενα, σκληρὰ καὶ μικρὰ, καὶ ἀμύελα καὶ πολυειδῆ, κατὰ τὸ σχῆμα· πῇ μὲν γὰρ εἰσὶ κυρτὰ, πῇ δὲ σιμά· καὶ πῇ μὲν εὐθέα, πῇ δὲ περιφερῆ· συνδεῖται δὲ πάντα δεσμοῖς χονδρώδεσι[p] νεύρων συνηρθρώμενα πρὸς ἄλληλα· ἡ μὲν οὖν ἄνωθεν μοίρα τοῦ καρποῦ, διαρθροῦται πρὸς πῆχύν τε καὶ κερκίδα· ἡ δὲ κάτω, τοῖς τέτρασιν ἑαυτῆς ὀστοῖς συνήρθρωται τοῦ μεταπαρπίου[q], τέτταρα γὰρ καὶ αὐτὰ εἰσί[r]· πεντεκαίδεκα δὲ τὰ τῶν δακτύλων τῶν πέντε· τριφάλαγγοι γὰρ εἰσὶν, ἢ τρικόνδυλοι, ἢ τρισκύταλοι· λέγονται γὰρ κατ᾽ ἀμφότερα.

Ἔστιν οὖν τὸ μετακάρπιον τὸ ὄπισθεν τῆς παλάμης· ὁ δὲ καρπὸς τὸ ὑποκάτωθεν[s] τούτου· ἐν τούτῳ οὖν αἱ ἔμπροσθεν ἀρτηρίαι[t] ἐγκείμεναι, τὴν σφυγμικὴν ἐκδιδάσκουσι[u] κίνησιν· ἔστιν οὖν τῆς πάσης χειρὸς ἡ σύνταξις τῶν ὀστῶν[v] οὕτως· ὁ

[h] πληνικὴν A. [i] ἐξορμᾶται B. [k] ἀμφοτέρων B.C. [l] ὡς πολλαὶ B. [m] μικραὶ ἐπιμιγνύμεναι B. [n] πολυσχεδῶς τὰς ἀπὸ τ. ν. ε. φερομένας φλέβας B.C. [o] συντίθη B. [p] χονδρόδεσι B. [q] τῷ μετακαρπίῳ B.C. [r] εἰσὶ τοῦ μετακαρπίου B. τοῦ om. C. [s] ὑποκάτω B. [t] ἔμπρ. αἱ ἀρτ. B. [u] διδάσκουσι B. [v] ἐστ. οὖν ἡ συντ. τῶν ὀστ. τ. π. χειρ. B.

βραχίων· ὁ πῆχυς· ἡ[w] κερκίς· ὀκτὼ τοῦ καρποῦ· τέσσαρα τοῦ μετακαρπίου· δεκαπέντε τῶν δακτύλων· οἱ κόνδυλοι, τρεῖς καθ' ἑκάτερον· ὡς εἶναι πάντα τριάκοντα· τὸ δὲ ἔμπροσθεν τοῦ μετακαρπίου, παλάμη καλεῖται καὶ θέναρ[x]· παλάμη μὲν[y], ὅτι δι' αὐτῆς πολλὰ πεπαλήμεθα καὶ τετεχνώμεθα[z], ἤγουν μαιώμεθα[a]· αἱ τέχναι γὰρ παλάμαι, παρὰ τὸ πάλλειν τὰς χεῖρας ἐν ταύταις· καὶ Ὅμηρος,

πάλλε δὲ Γερήνιος ἱππότα Νέστωρ. (Il. H. 181.)

θέναρ[b] δὲ, διὰ τὸ θέσεως εἶναι χωρίον· εἰς ἣν ἐντίθενται τὰ διδόμενα· ἢ παρὰ τὸ δι' αὐτῆς θείνειν, ὅ ἐστι τύπτειν· δι' αὐτῆς γὰρ καὶ τοῦτο τελεῖται.

ΚΕΦ. ΚΗ.

Περὶ Δακτύλων.

Οἱ δὲ δάκτυλοι δράκτυλοί τινες εἰσὶ, παρὰ[c] τὸ δράττεσθαι· ἢ δέκτυλοι[d], δεκτικοὶ ὄντες τῶν διδομένων· ἢ δείκτυλοι, ἀπὸ τοῦ δι' αὐτῶν γίνεσθαι τὰς δείξεις· τῶν δὲ δακτύλων ὁ μὲν μέγας, ἀντίχειρ λέγεται, ὁ δὲ μετ' αὐτὸν[e] λιχανός· ὁ δὲ μετ' αὐτὸν[f] μέσος· ὁ δὲ μετ' ἐκεῖνον παράμεσος· καὶ ὁ ὕστερος μικρός· καὶ ἀντίχειρ μὲν[g], ὅτι ἀντίκειται τοῖς ἄλλοις· ἢ ὅτι τὸ ἴσον δύναται τῇ ὅλῃ χειρί· ἀργοὶ γάρ εἰσιν οἱ ἄλλοι ὅλοι χωρὶς αὐτοῦ· ὁ δὲ λιχανὸς, ὅτι δι' αὐτοῦ τὰ ἐλίγματα[h] λαμβάνομεν.

Εἰσὶ δὲ τρικόνδυλοι πάντες, καθὼς κατόπιν ὁ λόγος ἔδειξε· καὶ ὁ μὲν πρῶτος προκόνδυλος λέγεται· ὁ δὲ δεύτερος μέσος· ὁ δὲ τρίτος μετὰ τοῦ ὄνυχος μετακονδύλιον[i]· παρὰ οὖν[k] τὴν κάμψιν τῶν δακτύλων ἐκλήθησαν κόνδυλοι· περὶ αὐτοὺς γὰρ ἡ κάμψις γίνεται· ἢ οἷον κένδυλος[l] τίς ὢν, ὁ εἰς τὰ κενὰ δυόμενος τῶν ῥαπιζομένων[m]· ἡ δὲ μετὰ τῶν δακτύλων γινομένη πλήγη, ἢ κατὰ σιαγόνος, ἢ κατά τινος ἄλλου τόπου τοῦ σώμα-

[w] ὁ A. [x] θαίναρ B. [y] καὶ παλ. μὲν B. [z] τεχνόμεθα B. [a] μαιόμεθα B. quæ seq. om. usque ad θέναρ δέ. [b] θαίναρ B. [c] εἰσὶ δὲ παρὰ B. [d] δείκτυλοι C. [e] ἀπ' αὐτὸν B. [f] ὁ δ' ἑξῆς C. [g] μὲν om. B. [h] ἑλκίματα B. ἑλίκματα A. ἐλίγματα C. [i] οἱ φιλόσοφοι ὠνόμασαν B. [k] γοῦν B. [l] ἢ οἰκόκονδυλος B. [m] ῥυπιζομένων B.

τος, κόλαφος λέγεται· ἀπὸ τοῦ κολάψαι τὸ μέρος, ὅ ἐστι πλῆξαι· ἐξ οὗ καὶ ὁ δενδροκόλαψ[n]· καὶ τὸ "ἐκολάφισάν σε "οἱ Ἰουδαῖοι."

Χρὴ οὖν γινώσκειν, ὅτι ὅταν συνάγονται[o] οἱ τέσσαρες δάκτυλοι κατ' εὐθεῖαν, παλαιστὴ λέγεται· οἷον πελαστή τις οὖσα· ὅτι ἐκ τοῦ πέλας συνήγαγε τοὺς δακτύλους· ἢ δῶρον, παρὰ τὸ δωρεῖσθαι ἡμᾶς ἐν αὐτῇ[p]· ἢ παρὰ τὸ μέτρον αὐτῆς· τὸ τρίτον γάρ ἐστι τῆς σπιθαμῆς· ὡς καὶ Ὅμηρος·

τοῦ κέρα ἐκ κεφαλῆς ἑκκαιδεκάδωρα[q] πεφύκει· (Il. Δ. 109.)

καὶ ὡς τὸ,

ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου·

ἀντὶ τοῦ μετρητάς· κοιλαινομένη δὲ κατὰ βάθος ἡ παλαιστὴ, κοτύλη ὠνόμασται· ὅθεν καὶ τὸ,

κοτυλήρυτον[r] αἷμα· (Il. Ψ. 34.)

διὰ τὸ ἐν τῷ κοίλῳ τῆς χειρὸς ἀρύεσθαι· διϊσταμένων δὲ τῶν δακτύλων[s], ἀπὸ τοῦ μικροῦ δακτύλου ἕως τοῦ ἀντίχειρος, σπιθαμῆς μέτρον[t] ἀποτελεῖται· σπιθαμὴ δὲ, παρὰ τὸ ἀποσπασμὸν ποιεῖν τῶν δακτύλων· ἢ διασπᾶσθαι τὴν ὅλην χεῖρα· ἡ δὲ σπιθαμὴ ποιεῖ μὲν παλαιστὰς τρεῖς, δακτύλους δὲ δώδεκα· ἀπὸ δὲ τοῦ μεγάλου δακτύλου ἕως τοῦ λιχανοῦ μετακονδύλιον, δακτύλων δέκα· καὶ ἀπὸ τοῦ ἀγκῶνος πρὸς τὸ τοῦ μέσου δακτύλου μετακονδύλιον, πήχεος μέτρον· ἀγκὼν δὲ εἴρηται ἀπὸ τοῦ ἐγκεῖσθαι τῷ ἑτέρῳ ὀστέῳ· ἢ παρὰ τὸ ἀνέχειν, ὅ ἐστιν ἐξέχειν· πῆχυς δὲ ἀπὸ τοῦ πεπηγέναι, ἢ περιχεῖσθαι ἄκρῳ τῷ[u] βραχίονι· ἐκταθεισῶν δὲ τῶν δύο χειρῶν ἐξ ἀλλήλων[v] εἰς τὰ πλάγια, ὀργυῖα[w] λέγεται· διὰ τὸ ἐκτείνειν τὰ γυῖα, τουτέστι τὰ τῶν χειρῶν μέλη· τέτακται[x] δὲ τὸ γυῖα καὶ ἐπὶ τῶν ποδῶν, ὡς Ὅμηρος·

γυῖα δ' ἔθηκεν ἐλαφρὰ, πόδας καὶ χεῖρας ὕπερθεν· (Il. E. 122.)

ἔχει δὲ ἡ ὀργυῖα[y] σὺν πλάτει τοῦ στήθους, πήχεις τέσσαρας·

[n] δενδροκόλαφος A. δενδοροκόλαψ B. [o] συνάγωνται B. [p] αὐτῷ B. [q] ἑκκεδεκάδωρος B. [r] κοτύλη ῥυτὸν A. [s] δ. κατὰ μικρὸν B. [t] μέτροις B. [u] τῷ om. B. [v] ἀπ' ἀλλ. C. [w] οὐργυῖα B. [x] τέταται B. [y] οὐργυῖα B.

τηλικαῦται δὲ κατὰ μέγεθος οὖσαι αἱ χεῖρες, κάτω ἐκταθεῖσαι οὐκ ἐφικνοῦνται τῶν γονάτων, ἀλλ' ἀποδέουσαι.

Αἱ δὲ ἀποτελευτήσεις τῶν ἐν τοῖς δακτύλοις νεύρων οἱ ὄνυχές εἰσιν, εὐπρεπείας χάριν γεγονότες· καὶ ὥστε λαμβάνεσθαί τι τοῖς δακτύλοις εὐκολώτερον· παρὰ δὲ τὸ νύσσειν ὄνυξ λέγεται[z]· ἢ οἷον ἄνυξ, ὁ ἀνοίγων τὴν σάρκα ἐν τῷ φύεσθαι, καὶ προκύπτων δι' αὐτῆς[a], παρέχουσι δὲ τοῖς ἔχουσι[b] τὴν[c] τοῦ κνήθεσθαι χρείαν, πρὸς τὸ διαφορεῖν τὴν τοῦ δέρματος δριμύτητα· καὶ τοῖς ἄκροις δὲ τῶν δακτύλων ὄπισθεν ἀντιβαίνοντες, στηρίζουσι τὴν λαβὴν αὐτῶν· πολλοῖς δὲ τῶν ζώων καὶ ἀμυντήριον ἐδόθησαν, ὡς τοῖς γαμψώνυξιν[d], ὥσπερ ὄργανον ὄντα τοῦ θυμικοῦ· καὶ ἄλλοις τισὶ τῶν τετραπόδων· ἄλλοις δὲ[e], ἀμυντήριον ἅμα καὶ στήριγμα τῆς βάσεως, ὡς τοῖς ἵπποις, καὶ παντὶ μονώνυχι[f] ζώῳ· αὔξει δὲ ὁ ὄνυξ ἀεὶ, καὶ πίπτων ἐκφύεται· διὸ καί τινες ἱστοροῦσιν[g], ὅτι καὶ μετὰ θάνατον αὔξουσιν[h] ἐν τοῖς συνισταμένοις σώμασι τῶν ἀνθρώπων· τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῶν τριχῶν γίνεσθαι λέγεται.

Οὐκ ἰσόμετροι δὲ πάντες ἡμῶν εἰσὶν οἱ δάκτυλοι, διά τε τὴν εὐπρέπειαν, καὶ τὴν τῆς χειρὸς εὐστροφίαν· εἰ γὰρ ἦν ἐξίσου[i] αὐτοῖς ἡ ἀποτελεύτησις[k], οὐ μόνον ἀτερπεῖς ἂν ἦσαν, ἀλλὰ καὶ ἀνεπιτήδειοι πρὸς τὰς πράξεις καὶ ἀνίσχυες[l], ἐξίσης[m] ἐμπίπτοντες ἐν τῇ ἐνεργείᾳ, καὶ ἀτυχοῦντες[n]· ἐν δὲ τῷ ἀποδέειν κατὰ μῆκος, οἱ κόνδυλοι ἀλλήλοις ἐπιστηριζόμενοι, καὶ ἐνισχύοντες ἑαυτοὺς, εὐτονώτεραν τὴν ἀφὴν καὶ εὐστροφώτεραν ποιοῦσι· καὶ τὴν ἐνέργειαν πᾶσαν ἰσχυρότεραν.

Λέγεται δὲ ἡμῖν δεξιὰ χείρ, ἡ δὲ ἀριστερὰ, ἡ εὐώνυμος, ἡ λαιά· λαιὰ μὲν, ἀπὸ τοῦ λελειᾶσθαι[o]· ὅ ἐστι κεχωρίσθαι τῶν πράξεων, διὰ τὸ ἀδίδακτον· ἀριστερὰ δὲ καὶ εὐώνυμος κατ' εὐφημισμόν[p]· ἐκ τοῦ ἄριστος γὰρ γίνεται ἀριστερὰ, καὶ ἐκ τοῦ

[z] εἴρηται B. tum add. αὔξει δὲ ὄνυξ ἀεὶ καὶ πίπτων ἐκφύεται. [a] ultima om. B. [b] παρεχ. δὲ τοῖς ἐχ. om. B. [c] καὶ τὴν B. [d] γαμψώνυξιν B. [e] ἄλλοις δὲ om. B. [f] μονόνυχι B. [g] πλὴν ἱστ. τινες B. [h] οἱ ὄνυχες B. [i] ἐπίσης B. ἐξίσης C. [k] ἀκροτελεύτησις B. [l] ἀνίσχυροι B. [m] ἐξίσου B. [n] καὶ τῇ ἐνεργ. ἀτυχ. B. [o] λαιλιᾶσθαι B. λαλιᾶσθαι C. [p] εὐφημησμὸν A.

καλώνυμος, εὐώνυμος· ἢ ἀριστερὰν καλοῦμεν τὴν οὐκ οὖσαν ἀρίστην[q], *ἀλλὰ τῇ ἑτέρᾳ ὑπηρετοῦσαν· λέγεται καὶ σκαιὰ*[r], *παρὰ τὸ σκάζειν περὶ τὰς πράξεις· ἢ ὅτι ἀσθενεστέρα τῆς δεξιᾶς ἐστίν· ὁ δὲ ἀσθενὴς*[s] *σκάζει· ὅθεν καὶ σκαιὸς ἄνθρωπος, ὁ σκαμβὸς κατὰ γνώμην καὶ οὐκ ὀρθός· δεξιὰ δὲ λέγεται ἡ ἑτέρα, ἀπὸ τοῦ δέχεσθαι δι' αὐτῆς τὰ διδόμενα ὡς ἐπὶ τὸ πλεῖστον· ἢ οἷον δεξιὰ, ἀπὸ τοῦ δι' αὐτῆς τὰς πλείονας διεξιέναι πράξεις· εὕρηνται δὲ πολλοὶ ἀμφοτεροδέξιοι ἐν ταῖς ἐνεργείαις, τὸ ἴσον τῇ δεξιᾷ*[t] *καὶ μετὰ τῆς ἀριστερᾶς ἐνεργοῦντες· τινὲς δὲ τῇ δεξιᾷ ἀπρακτοῦντες, μετὰ τῆς λαιᾶς τὰ τῆς τέχνης μετέρχονται· ὅθεν δέδεικται, ὅτι οὐκ ἔστιν ἡ δεξιὰ κρείττων τῆς εὐωνύμου κατά τι, ὥς τινες τῶν ἀγροίκων λέγουσιν, ἀλλὰ τῇ παιδεύσει καὶ ἀπαιδευσίᾳ τῶν ἐχόντων αὐτὰς, ἐξ ὑπαρχῆς ἐδιδάχθησαν οὕτως.*

Τῶν δὲ χειρῶν τὰ ἔσωθεν, καὶ μᾶλλον τὰ τῶν δακτύλων τὰ[u] *ἄκρα, ὥσπερ γνώμονας τινὰς εἰς τὴν ἁφὴν ἔχομεν· δι' αὐτῶν ἀκριβοῦντες τὸ λεῖον καὶ τραχὺ, καὶ ὁμαλὸν καὶ ἀνώμαλον· ἀκριβεστάτην γὰρ ἔχει ταύτην τὴν αἴσθησιν τῶν ἄλλων ζώων ὁ ἄνθρωπος*[v]*· οὐ μόνον γὰρ ἀντιληπτικὸν ὄργανον ὁ δημιουργὸς τὰς χεῖρας κατεσκεύασεν, ἀλλὰ καὶ ἁπτικόν· διὰ τοῦτο καὶ δέρμα λεπτότερον ἔχουσι, καὶ μῦς αὐταῖς ὑπέστρωται ἔσωθεν· καὶ τριχῶν ἀμοιροῦσι, ἵνα μᾶλλον τῶν ἁπτῶν ἀντιλαμβάνωνται τάχιστα· τῶν δὲ χειρῶν αἱ μὲν σκληρότεραι, πρὸς ἀντίληψιν εἰσὶν ἰσχυρότεραι, ὥσπερ τῶν γεωργῶν καὶ κωπηλατῶν· αἱ δὲ μαλακώτεραι πρὸς τὴν ἁφὴν ἀκριβέστεραι, ὥσπερ αἱ τῶν γραφέων ἢ τῶν ῥαπτῶν· καὶ γὰρ τῶν νεύρων, τὰ μὲν σκληρὰ πρὸς κίνησιν, τὰ δὲ μαλακὰ πρὸς αἴσθησιν εἰσὶν*[w] *ἐπιτηδειότερα· ταῦτα δὲ καὶ τῆς ἁφῆς ἐστὶν ὄργανα· διὰ γὰρ τούτων ἡ τῆς ἁφῆς αἴσθησις γίνεται· θερμοῦ καὶ ψυχροῦ, ὑγροῦ καὶ ξηροῦ, καὶ τῶν τούτοις ἑπομένων.*

Καὶ ταῦτα μὲν τὰ ἐκ κατασκευῆς, καὶ φυσικῶς, καὶ διὰ μαθήσεως προσόντα τῇ χειρί· ἅπερ δὲ ἐκσχετικοῖς[x] *οἷον ἀγά-*

[q] ἄριστον A. [r] σκαιὴ B. [s] ἀσθενῶν B. [t] τῆς δεξιᾶς B. [u] τὰ om. B. [v] ὁ ἀνθρ. τ. ἀλλ. ζ. B. [w] εἰσὶν om. B. [x] ἐκσχετικῆς C.

πης κέκτηται πρὸς ὅλον τὸ σῶμα, οὐδὲ τυφλοῖς, ὅ φασιν, ἠγνόηται[y]· προσέπταισε γὰρ εἰς λίθον ὁ δάκτυλος τοῦ ποδός; καὶ αὐτὴ εὐθὺς ἐρεθεῖσα[z] ἐκεῖ περιπλέκεται, περισφίγγει, περισύρεται τῷ ὀδυνωμένῳ[a], καὶ οἷον ἀσπαζομένη παραμυθεῖται τὴν ἐπελθοῦσαν ὀδύνην· ἄκανθα ἐνεπάγη τῷ ποδί; καὶ σκόπει αὐτὴν περιτρέχουσαν ἔνθεν κἀκεῖθεν[b], ἐξελκύσασθαι ταύτην σπουδάζουσαν· ψύλλα[c] τὴν κεφαλὴν ἔδηξεν, ἢ τὴν ῥάχιν; καὶ μετὰ συντονίας πρὸς ἄμυναν ἔδραμε· καὶ ἁπαξαπλῶς πᾶσαν ὀδύνην ὅλων τῶν τοῦ σώματος[d] μορίων διὰ τῆς ἁφῆς αὐτῆς καὶ περιπλοκῆς καταπραΰνει· τοσαῦτα αὐτῇ προτερήματα, καὶ ἐνεργείας, καὶ εὐστροφίας, πρὸς παραμυθίαν ἡμῶν καὶ ἑτέρων, ἡ τὰ σύμπαντα οἰκονομοῦσα πρόνοια ἐχαρίσατο, ὡς μηδὲ ῥᾴδιον ἐφευρεῖν, ἢ κατὰ μέρος ἐπεξελθεῖν.

ΚΕΦ. ΚΘ.

Περὶ Μήρων[e].

Σκόπει δὲ μετὰ τὰς χεῖρας, καὶ τῶν ποδῶν τὴν κατασκευὴν, καὶ τὰς ἁρμονίας τούτων καὶ ἐνεργείας· πῶς μεταβατικὸν ὄργανον τοῦ παντὸς σώματος, ἡ φύσις ἡ δημιουργὸς[f] αὐτοὺς ἐτεχνάσατο· καὶ πῶς τὴν κατὰ τῶν τόπων[g] κίνησιν διὰ τούτων ποιούμεθα; διὰ τῆς καθ' ὁρμὴν[h] κινήσεως, ἤτοι μεταβατικῆς· ἔστι δὲ μεταβατικὴ κίνησις τῶν ὅλων τοῦ[i] σώματος μερῶν καθ' ὁρμὴν γινομένων· κατάρχοντος μὲν τοῦ ἡγεμονικοῦ, ὑπηρετοῦντος δὲ τοῦ ἐν τοῖς νεύροις καὶ μυσὶ πνεύματος· συνεκτεινομένου τούτοις καὶ περιφέροντος τὰ μέλη· ἡ γὰρ κινητικὴ δύναμις αὕτη ἐστὶν ἡ ἐν τοῖς νεύροις καὶ μυσὶν ἐνεργοῦσα, καὶ τὸ σῶμα ὀχοῦσα· ὅτι αὐτὸ[k] μὲν ὀχεῖ ὡς ψυχικὴ δύναμις· ὀχεῖται δὲ ὅλον τὸ σῶμα διὰ τῆς τῶν ποδῶν μεταβάσεως· ἐδείχθη γὰρ

[y] διὰ τῆς καταμηνύσεως τοῦ νόος. add. B. [z] εὑρεθεῖσα B. [a] ὀδυνωμένῳ B. [b] ἐνθ. κὰκ. περιτρ. B. [c] ψίλλη B. [d] πασ. ὀδ. τὴν τ. σωμ. ὁλ. μορ. φανερῶν ἢ ἀφανῶν B. [e] sic Cod. A. περὶ Ποδῶν Cod. C. [f] ἡ δημ. φυσ. B. [g] τῶν τόπων (ον ον superscr.) A. κατὰ τόπον B. [h] καθ' ὁμὴν A. [i] τοῦ ὅλου C. [k] αὕτη B.

ὅτι ὅσα διὰ νεύρων καὶ μυῶν κινεῖται, ψυχικά τέ ἐστι, καὶ κατὰ προαίρεσιν ἀποτελεῖται· ὁμοίως καὶ τὰ ὀργανικὰ πάντα· τὰ δὲ ὀργανικὰ σκοπεῖται κατὰ σχῆμα· κατὰ μέγεθος· κατὰ ἀριθμόν· κατὰ θέσιν· εἰ γὰρ καὶ ἀντιληπτικὴν ἡ χεὶρ ἐνέργειαν ἔχει[l], καθὼς ὁ λόγος κατόπιν ἀπέδειξεν, ἀλλ' οὐκ ἂν γένοιτο αὐτῇ[m] καλῶς, μὴ τοῦ τῶν δακτύλων ἀριθμοῦ τελείου ὄντος, καὶ μήτε ἐλλιποῦς[n], μήτε πλεονάζοντος· ἀλλὰ μὴν καὶ τοῦ σχήματος, ὡς εἶναι διηπλωμένην· καὶ τοὺς δακτύλους μὴ ἐξισάζοντας· καὶ ἐν τῷ μεγέθει, μήτε μικρὰν ἄγαν εἶναι, μήτε μεγάλην· καὶ κατὰ τὴν θέσιν δὲ, μὴ ἔξω τῆς κατὰ φύσιν αὐτῆς εὑρίσκεσθαι διαρθρώσεως.

Τοῦτο γοῦν καὶ ἐπὶ τῶν ποδῶν ἡ πάντα σοφῶς καὶ ἐντέχνως οἰκονομοῦσα πρόνοια ἐξειργάσατο· καὶ ἑκάστῳ τῶν μορίων τὴν οἰκεῖαν ἔδωκε[o] θέσιν· εἰδυῖα γὰρ ὅτι τὸ ζῶον τοῦτο ὁ ἄνθρωπος τῇ μεταβατικῇ κινήσει ἔμελλε χρᾶσθαι, τῇ ἀπὸ τόπου[p] ἐπὶ τόπον, τὰ μὲν τῶν ὀστῶν κοῖλα ἐποίησε· τοῖς δὲ ἐξοχὰς εἰργάσατο· ἐμβάλλουσα[q] αὐτὰς εἰς τὰς τῶν ἄλλων κοιλότητας· ἵνα περὶ αὐτὰς[r] ποιῆται τηνικαῦτα τὴν κίνησιν· περιέδησέ τε ταῦτα συνδεσμοῖς, καὶ τοῖς ἔξω γενομένοις ἄμωσιν[s]· ἄμωνες[t] δέ εἰσιν ἐξοχαὶ[u] τινὲς, οἷον τείχη κωλύοντα[v] τὰς ἐξαρθρώσεις γίνεσθαι· τοῦτο δὲ οἱ τεχνῖται[w] ποιοῦσιν ἐπὶ τῶν ἀεὶ κινεῖσθαι μελλόντων θυρῶν, στροφέας τινὰς μετὰ λειότητος κατασκευάζοντες· τὴν ἀεικίνητον τῶν θυρῶν εὐκόλως ἐνέργειαν προνοούμενοι· τὰ γοῦν τῶν κοτυλῶν σφαιρώματα, ἤγουν τοὺς λεγομένους γλουτοὺς, ταῖς κοτύλαις ἐνήρθρωσε· τὴν τοῦ μήρου κίνησιν μηχανωμένη· γλουτοὶ οὖν λέγονται τὰ τῶν κοτύλων σφαιρώματα· κοτύλαι δὲ ὅπου ἔγκεινται αἱ κεφαλαὶ τῶν μηρῶν· διὰ δὲ τὴν ἐκεῖσε κοιλότητα κοτύλη ἐκλήθη· οἱ δὲ γλουτοὶ, διὰ τρυφερίαν καὶ ὑγρότητα, οἷον γλυοί τινες ὄντες· καὶ γὰρ οὗτοι μετὰ λειότητος ἔνυγροι εἰσὶ, διὰ τὴν εὐθύτητα τοῦ στρέφεσθαι καὶ

[l] ἡ χεὶρ ἐχ. ἐνεργ. B. [m] αὕτη B. [n] ἐλλειποῦς B. [o] δέδωκε B. [p] τόπον B. [q] ἐμβαλοῦσα B. [r] αὐτὰ B. [s] ἄμμωσιν B. ἄμβωσιν C. [t] ἄμμωνες B. ἄμβωνες C. [u] ἐξωχαὶ B. [v] κωλύοντες A. [w] καὶ οἱ τ. B.

κινεῖσθαι, καθάπερ οἱ στρόφιγγες· τοῦτο γὰρ ἔργον τῆς διαρθρώσεως.

Εἴδη *δὲ αὐτῆς τρία· τὸ μὲν, ἐνάρθρωσις, ὅταν ἡ κοιλότης ἡ ὑποδεχομένη βάθος ἱκανὸν ἔχῃ, καὶ ἡ ἐγκαταβαίνουσα κεφαλὴ προμήκης ὑπάρχῃ, ὥσπερ ἡ κεφαλὴ τοῦ μήρου καὶ ἡ κοτύλη· ἄρθρωσις*[x] *δὲ, ὅταν ἡ κοιλότης ἐπιπόλαιος ᾖ, ἥτε κεφαλὴ ταπεινὴ, ὥσπερ ἡ τοῦ βραχίονος πρὸς τὴν ὠμοπλάτην*[y]*· τὸ δὲ τρίτον εἶδος τῆς διαρθρώσεως γυγγλισμὸς λέγεται· γίνεται δὲ τῶν συνταττομένων ἀλλήλοις ὀστῶν ἀντεμβαινόντων, καθάπερ ἐπί τε τῶν σπονδύλων ἔχει, καὶ τῆς τοῦ πήχεος πρὸς τὸν βραχίονα διαρθρώσεως· τὰ δὲ σφαιρώματα ταῦτα, ποτὲ μὲν καλεῖται κεφαλὴ, ποτὲ δὲ αὐχὴν, ποτὲ δὲ κορώνη, ποτὲ δὲ γλουτός· αἱ δὲ κοιλότητες, ποτὲ μὲν κοτύλη, ποτὲ δὲ γλήνη· καὶ ἔστιν ἡ μὲν κοτύλη βαθεῖα, ἡ δὲ γλήνη ἐπιπολῆς*[z]*· τὸ οὖν τοῦ μήρου ὀστοῦν, ἔνεστιν ὥσπερ καὶ τὸ*[a] *τοῦ βραχίονος· μέγιστον δέ ἐστιν ἁπάντων τῶν κατὰ τὸ ζῶον ὀστῶν*[b]*· διαρθροῦται δὲ ἄνω μὲν, πρὸς ἰσχίον καὶ βουβῶνα· κάτω δὲ, πρὸς τὴν κνήμην· καὶ ἔχει ἄνω μὲν, ἐπίφυσιν κεφαλῆς ἀκριβῶς περιφεροῦς, κάτω δὲ εἰς δύο κονδύλους τελευτᾷ· καὶ συνδεῖται πρὸς τὴν κνήμην, οὐ διὰ τῶν ὑμενωδῶν μόνον συνδέσμων τῶν ἐν κύκλῳ πᾶσαν διάρθρωσιν περιειληφότων, ἀλλὰ καὶ δι' ἄλλων*[c] *τριῶν στρογγύλων καὶ δυνατῶν.*

Μηρὸς *δὲ καλεῖται ὅτι μερίζεται κατ' ἐκεῖνο τὸ μέρος τὸ σῶμα· τὸ γὰρ ἀπὸ τοῦ τραχήλου μῆκος*[d] *μέχρι τῶν αἰδοίων, ὅλμος καλεῖται διὰ τὴν εὐρυχωρίαν τοῦ τόπου· ἀποκεκλιμένων γὰρ τῶν χειρῶν ὅλμῳ ἔοικεν· ἔστι δὲ ὅλος ὁ μηρὸς τῷ σχήματι*[e]*, κυρτὸς μὲν ἐν τοῖς πρόσω καὶ ἔξω· σιμὸς δὲ ἐν τοῖς ὀπίσω καὶ ἔνδον· ἀποφύσεις δὲ ἔχει δύο εἰς ἄκρον μικρὸν ὑποκάτω τοῦ αὐχένος· ἃς τροχαντῆρας*[f] *καλοῦσι· πολλῷ δὲ μείζων ἡ ἔσω τῆς ἔξωθεν ἐστί· καὶ ἡ μὲν ἔσω, διήρθρωται εἰς τὸν βουβῶνα· ἡ δὲ ἔξω, εἰς τὴν κοτύλην.*

[x] *ἀρθρωδία* B. [y] *ὠμοπλάτιν* B. [z] *ἐπιπολλῆς* B. [a] *τὸ* om. B.
[b] *ἐστιν τῶν κατὰ τὸ ζῶον ἀπ. ὀστ.* B. [c] *διὰ ἄλλων* A. [d] *κῦτος* B.C.
[e] *ἐν τ. σχ.* B. [f] *ἃς καὶ τρ.* B.

ΚΕΦ. Λ.

Περὶ Σκέλους.

Τὰ δὲ τοῦ σκέλους ὀστᾶ[g], τὸ μὲν ἓν κνήμη λέγεται, τὸ δὲ ἄλλο[h] περόνη· καὶ ἔστιν ἡ μὲν κνήμη ἔμπροσθεν καὶ μεγάλη[i]· ὀπίσω δὲ ἡ περόνη ἀποδέουσα τῆς κνήμης καὶ τῷ πάχει καὶ τῷ μήκει· συναρθροῦται δὲ τῇ κνήμῃ πρὸς ἄμφω τὰ πέρατα· τὰ δὲ ἐν τῷ μέσῳ ἀφεστήκασιν ἀλλήλοις[k]· καὶ ἡ μὲν κνήμη συντέτακται τῷ μηρῷ, μεγάλην ἐπίφυσιν ἔχουσα κατὰ τὸ ἄνω πέρας αὐτῆς· καὶ ὑποδέχεται τὸν μηρὸν δύο κοιλότησιν αὐτῆς ἐπιβαίνοντα· ἐπὶ δὲ τοῖς κάτω μέρεσι κνήμης τὲ καὶ περόνης, ὁ ἀστράγαλος περιλαμβάνεται.

Λέγεται δὲ τὸ ὅλον μέρος τοῦτο ἀπὸ τοῦ γόνατος ἕως τοῦ ἀστραγάλου κνήμη, ἀπὸ τοῦ ὑπερέχοντος[l] ὀνομασθέν· ὅσον δὲ ἄσαρκον αὐτοῦ καὶ λεπτὸν, ἐν τοῖς πρόσω τῆς κνήμης, ἀντικνήμιον ὀνομάζεται· τὸ δ' ὄπισθεν μετὰ τῶν μεγάλων μυῶν, γαστροκνήμιον· τὰ δὲ κυρτὰ καὶ παντελῶς ἄσαρκα, καὶ τῶν ἄλλων ἐκκείμενα[m] ὀστᾶ, ἀστραγάλους καλοῦσιν οἱ πολλοὶ, τοῦ παντὸς ἁμαρτάνοντες· ὁ γὰρ ἀστράγαλος, ὑπὸ τούτων ἑκατέρωθεν περιλαμβάνεται· πέρατα δέ ἐστι ταῦτα τῶν τῆς κνήμης τε[n] καὶ περόνης ἀποφύσεων· κυρτὰ μὲν ἔξωθεν, ὥσπερ καὶ φαίνεται, κοῖλα δὲ ἔνδοθεν[o]· μεθ' ἃ καὶ ἡ πτέρνα ὄπισθεν· εἶτα ὅλος ὁ πούς· ὁ δὲ πρὸς τοὺς δακτύλους τόπος ταρσὸς λέγεται· τινὲς δὲ κτένα τοῦτο καλοῦσιν, ἢ πεδίον· τὸ δὲ ὑποκάτω τοῦ ποδὸς, πέλμα προσαγορεύουσιν· εἶτα οἱ δάκτυλοι ἐκ τριῶν κονδύλων συγκείμενοι, πλὴν τοῦ μεγάλου· ἐκεῖνο γὰρ ἐκ δυοῖν[p] σύγκειται ὀστῶν· τῷ δὲ τοῦ μηροῦ ὀστῷ καὶ τῆς περόνης[q] ἐπίκειται ἡ ἐπιγονατὶς, χαῦνον οὖσα ὀστοῦν[r] καὶ στρογγύλον· δι' ὅ τινες μύλην αὐτὴν καλοῦσιν· ἀπὸ τῆς πρὸς τὰ ἔξωθεν μηχανῆς καὶ ἐμφερείας τοῦ μύλου[s], διὰ τὸ ἄνωθεν εἶναι τοῦ ἄρθρου τὸ κοῖλον, ὡς καὶ τῆς μύλης τὸ ὕπερθεν· ἐν ᾧ πρὸς τὸ ἀλήθεσθαι τὰ σπέρματα βάλλονται· λέγεται δὲ ἐπιγονατὶς, διὰ

[g] ὀστὰ B. [h] ἄλλον A. [i] ἐμπρ. μεγ. ἔσω καὶ ἔξω B. [k] ἀλλήλων B. [l] περιέχοντος B. [m] ἐγκείμενα B.C. [n] τε om. B. [o] τὰ ἔνδ. B. [p] δύο B. [q] τῷ τ. περ. B. [r] χ. ὀστ. ὂν B. [s] τῆς μύλης B.

τὸ ἐπὶ τοῦ γόνατος κεῖσθαι[t]· ἢ οἷον ἐπιγουνὶς[u], ὡς καὶ Ὅμηρος·

οἵην ἐκ ῥακέων ὁ γέρων ἐπιγουνίδα φαίνει. (Od. Σ. 73.)

Τὸ δὲ γόνυ ἐκ τοῦ κονεῖν καὶ ἐνεργεῖν ἐτυμολογήθη· ἐξ οὗ καὶ κόνατα, ἢ γόνατα· ἢ ὅτι τὸ σκέλος[v] καμπτόμενον[vv] ὥσπερ γωνίαν ἀποτελεῖ· ἰγνὺς δὲ τὸ ὑποκάτω τοῦ γόνατος καλεῖται[w]· διότι αἴτιόν ἐστιν ἡμῖν τοῦ ἐκνεῖσθαι[x], ἤγουν ἁπλοῦσθαι· ἢ παρὰ τὸ εἴκειν ἐν ταῖς κάμψεσιν· ἢ παρὰ[y] τὸ τὸ γόνυ συνέχειν· τὸ δὲ σκέλος παρὰ τὴν σχέσιν ἐκλήθη· διέσχισται γὰρ ἀπ' ἀλλήλων· ἢ παρὰ τὴν κέλευθον, ὅ ἐστιν ὁδὸς[z], δι' ἧς[a] βαδίζομεν· ἢ παρὰ τὸ ἐσκληκέναι καὶ σκληρότερον εἶναι τῶν ὕπερθεν μορίων. τὰ γὰρ σκέλη πεποίηκεν ἡ δημιουργὸς φύσις, ἵνα τὸ ὅλον ὀχῶσι σῶμα, ὥσπέρ τινες κίονες, καὶ μεταφέρωσιν ἐκ τόπου εἰς τόπον, ἀντὶ βάσεων τοὺς πόδας ποιήσασα· ἐν οἷς ὁ ἄνθρωπος ἐπιστηριζόμενος, τόπους ἀμείβει, καὶ πόλεις μετέρχεται, καὶ ἔργα ἐπιτελεῖ, καὶ βάρη φορτίζεται, καὶ μεταφέρει, καὶ μετατίθησι.

Τούτους οὖν τοὺς πόδας, δεῖ ἐπὶ τὰ ἔνδον ἠρέμα νεύειν· ὅπως ἀλλήλοισιν ἐπικουροῦντες[b], μίαν ποιοῖντο ἐνέργειαν, κοινήν τε καὶ ἄμεμπτον· εἰ δέ γε ποτὲ παρὰ τὴν θέσιν γένηται τούτων θάτερος, ἄπορος ἡ τοῦ ζώου κίνησις γίνεται, καὶ οἴχεται τούτου ἡ κρείττων ἐνέργεια· διά τοι τοῦτο τένοντες κατὰ τὴν ἰγνύην, καὶ μύες, καὶ σύνδεσμοι, καὶ νεῦρα περικυκλοῦσιν[c] αὐτούς· τὴν κίνησιν αὐτῶν ἐξασφαλιζόμενοι καὶ περιφυλάττοντες.

Οὐ γὰρ μόνον περὶ τὰ ἄρθρα αὐτῆς ἡ ἀσφάλεια, ἀλλὰ καὶ πανταχόθεν· τὰ γὰρ τῶν ὤμων καὶ μασχαλῶν, καὶ τῶν ἰγνύων καὶ σφυρῶν, καὶ πάντα τὰ ἐκ μυῶν καὶ μετὰ μυῶν κινούμενα νεῦρα, τένοντες ὀνομάζονται· παρὰ τὸ τείνειν τὰ μόρια πρὸς

[t] ἐπάνω B. [u] hæc cum cit. om. B.C. [v] ἢ ὅτι κατ' αὐτὸ τὸ σκελ. B. [vv] καμπτόμενον C. καμπτόμενα A.B. [w] καλ. τοῦ γον. B. [x] ἰκνύσθαι B. κινεῖσθαι C. [y] διὰ B. [z] ἡ ὁδὸς B. [a] ἀφ' ἧς τὸ ὄνομα τοῦ σκέλους ἐγένετο· τὰ γὰρ σκέλη πεπ. B. [b] ἀλλήλοις συνεπικουροῦντες, B. [c] συνδ. ἐγένοντο καὶ νεῦρα περικ. B.

ἐνέργειαν· ὅτι καὶ τρεῖς εἰσι τῶν νεύρων διαφοραί· τὰ μὲν γὰρ ἐξ ἐγκεφάλου καὶ νωτιαῖα πεφυκότα, νεῦρα κυρίως προσαγορεύοντες[d]· τὰ δὲ ἐκ μυῶν τένοντες· τὰ δὲ ἐξ ὀστῶν, σύνδεσμοι· ὁ δὲ τοῦ ἀστράγλου τόπος καὶ σφυρὰ λέγεται, παρὰ τὸ συνεσφίχθαι τὰ ἄρθρα τῇ συνθέσει· καὶ οἷον σφαῖρα τοῖς ὀστοῖς καὶ τοῖς νεύροις πεπῆχθαι ἀστράγαλος· παρὰ τὸ ἀστραβῆ καὶ ὀρθὴν φυλάττειν τὴν βάσιν τοῦ ποδός· κυκλοῖ δὲ τὸν ἀστράγαλον τὸ κυκλοειδὲς λεγόμενον ὀστοῦν· ἐν ᾧ τὸ λεγόμενον κότζιον[e] διὰ συνδέσμων τῇ περόνῃ προσαρμοσθὲν ἄνω, τὸ κυφοειδὲς κάτωθεν ὑποκείμενον[f] ἔχει, καὶ συνδέδεται μετ' αὐτοῦ πρὸς ὃ ἡ βάσις τῶν σφυρῶν καὶ τῆς πτέρνης· αὕτη γὰρ ὑπόκειται τὰς ὀφρυώδεις ἐξοχὰς τῆς κνήμης τε καὶ περόνης, καὶ τὰ περιφερῆ τοῦ ἀστραγάλου περιλαμβάνουσα, δύο τινὰς ἐξοχὰς εἰς ἐπιτηδείους κοιλότητας ἐναρμόζει[g]· τὸ δὲ κατέμπροσθεν μέρος αὐτῆς ἡ ἀρχή ἐστι τοῦ λεγομένου ταρσοῦ· μετ' αὐτὸν δὲ ἄρχεται τὸ πεδίον, ἐκ πέντε συγκείμενον ὀστῶν· ἀφ' οὗ οἱ κόνδυλοι τῶν δακτύλων τὴν ἁρμονίαν λαμβάνοντες, ἐπὶ τὰ τοὺς ὄνυχας ἔχοντα μετακονδύλια τελευτῶσι· συνδοῦσι δὲ τὰς τούτων διαρθρώσεις, ὑμενώδεις τινὲς σύνδεσμοι· τὰς δὲ κατὰ τὸν ἀστράγαλον καὶ τὴν πτέρναν, ἰσχυροί τε πάνυ, καὶ[h] στρογγύλοι, καὶ νευροχονδρώδεις.

Ἔστι γὰρ καθόλου τοῦ ποδὸς οὐ μόνον συνάρθρωσις καὶ διάρθρωσις, ἀλλὰ καὶ συννεύρωσις καὶ συγχόνδρωσις· πολὺ γὰρ αὐτῷ ἀσφαλὲς ἐδόθη[i] διὰ τὴν ὀχὴν ὅλου τοῦ σώματος, καὶ τὸν ἀναβασταγμὸν, καὶ τὴν οἷον ἐπικειμένην βαρύτητα, καὶ τὰς λοιπὰς ἐνεργείας πάσας. Λέγεται δὲ ποὺς, παρὰ τὸ πεπαῦσθαι ἀπὸ τοῦ ὅλου σώματος[k] ἢ τὸ παῦον καὶ λῆγον τοῦ σώματος· λέγεται δὲ καὶ ἴχνος, παρὰ τὸ[l] ἴσχειν καὶ συνέχειν ὅλον τὸν πόδα· ἢ ἀπὸ τοῦ ἀνέχεσθαι τῆς γῆς· ὁ δὲ ταρσὸς διὰ τὸ ξηρὸν τοῦ τόπου καὶ ἄσαρκον οὕτως ἐκλήθη· καὶ Ὅμηρος[m]·

νῦν δὲ μ' ἐπιγράψας ταρσὸν ποδὸς εὔχεαι αὔτως. (Il. Λ. 388.)

[d] προσαγορεύονται B. [e] κότζιν B.C. [f] ὑποκ. κατ. B. [g] συναρμόζει B. [h] καὶ πάνυ B. [i] τὸ ἀσφ. ἐδωρήθη B. [k] ὅλ. τοῦ σωμ. B. [l] τὸ om. A. [m] cit. om. B.C.

πεδίον δὲ τὸ ἔμπροσθεν, διὰ τὸ ὁμαλόν[n]· τὸ δὲ ὑποκάτωθεν τοῦ ποδὸς δέρμα πέλμα καλεῖται, διὰ τὸ πεπιλῆσθαι, ἤγουν ἐσφίχθαι τοῦ ὅλου δέρματος πλέον· ἡ δὲ πτέρνα, παρὰ τὸ ἐπιπεπτωκέναι αὐτῇ ὅλον τὸ σῶμα· ἡ δὲ τῶν ἄρθρων ὀνομασία εὕρηται ἐκ τοῦ ἀρῶ ῥήματος, τοῦ σημαίνοντος[o] τὸ ἁρμόζω· ἢ διὰ τὸ ἀρηρέναι ἀλλήλοις, ὅ ἐστι συναρμόζεσθαι, καὶ συνεσφίχθαι, καὶ βοηθεῖν.

ΚΕΦ. Λ.

Περὶ Δέρματος καὶ περὶ Τριχῶν[p].

Καλύπτεται οὖν[q] ἅπαν τὸ σῶμα ὑπὸ τοῦ δέρματος· καὶ ἔστι τὰ μὲν αὐτοῦ, τετριχωμένα, τὰ δὲ ἄτριχα· τετριχωμένα μὲν ἡ κεφαλή· καὶ τὰ μέρη τῆς ἄνω, καὶ[r] τῆς κάτω γένυος· καὶ τὰ τοῦ χείλους· αὗται γὰρ σκέπης καὶ κόσμου ἐγένοντο χάριν[s]· αἱ δὲ τῶν ὀφρύων καὶ τῶν βλεφαρίδων, ἀσφαλείας· αἱ δὲ τῶν μασχαλῶν καὶ τῆς ἥβης, κατὰ συμβεβηκός· οὔτε γὰρ δι' ἀσφάλειαν, ἐπειδὴ ἄκαιρός ἐστιν ὁ τόπος· οὔτε διὰ σκέπην, ἐπειδὴ σκέπονται ὑπὸ τῶν χειρῶν καὶ τῶν πλευρῶν αἱ μασχάλαι· ἀλλ' οὔτε διὰ κόσμον, κρυπτόμενον γὰρ κόσμον ἡ φύσις οὐκ εἶδε[t]· ὧν γὰρ τὸ κάλλος[u] κρύπτεται, οὐ δὲ πόθου δέχονται[v] γένεσιν.

Λέγομεν δὲ τὰς τρίχας κατὰ συμβεβηκὸς γίνεσθαι οὕτως· ὥσπερ γὰρ ὁ γεωργὸς κατὰ πρῶτον μὲν λόγον ἀρδεύει τὰ χρήσιμα τῶν λαχάνων, ἢ τῶν φυτῶν· κατὰ δεύτερον[w] δὲ, καὶ τὰς ἀκάνθας, καὶ τὰς ἄλλας τῶν βοτανῶν, εἰς φραγμὸν ταύτας καὶ ἄλλην[x] χρείαν ἐπινοούμενος· οὕτως καὶ ἡ θρεπτικὴ δύναμις εἰς τὰς εἰρημένας αἰτίας τὰς τρίχας καὶ τοὺς ὄνυχας ἐπινοουμένη, καὶ τρέφει, καὶ αὔξει, καὶ συνιστᾷ· τῶν γὰρ καπνῶν τῶν ἀτμωδεστάτων[y], τῶν ἐκ τοῦ σώματος ἀναπεμπομένων πῆξιν λαμβανόντων, αὗται συνίστανται· τρίχες δὲ λέγονται, οἷον

[n] hæc etiam om. B.C. [o] σημαίνον A. [p] sic Cod. C. minus commode in tab. div. [q] γοῦν B. [r] ἐκ A. [s] κοσμ. χαρ. ἐγ. B. [t] οἶδεν B. [u] κάλος B. [v] δέχεται B. [w] κατὰ συμβεβηκὸς B. [x] ἢ εἰς ἀλλ. B. [y] ἀτμῶν τ. καπνωδεστάτων B.

θέρικες· θέριξ γὰρ καὶ θρὶξ κατὰ συγκοπήν[z]· ὅτι θερίζεται καὶ τέμνεται συνεχῶς· οὐδὲν γὰρ οὕτω τῶν ἐν ἡμῖν πηδᾷ πρὸς τὰ ἐκτὸς ὥσπερ ἡ θρὶξ[a]· ἐν οἷς μὲν οὖν τόποις ἄτριχον ὑπάρχει τὸ σῶμα[b], μῦες δηλονότι κατ' ἐκείνους τοὺς τόπους ὑπάρχουσιν[c]· ὥσπερ ἐπὶ τῆς παλάμης καὶ τῶν δακτύλων, καὶ τοῦ πέλματος τῶν ποδῶν· ἐν οἷς δὲ μῦες αἴτιοι οὐκ εἰσὶ, τρίχες φύονται· πῇ μὲν πλείους, πῇ δὲ ὀλίγαι· σκέπασμα μὲν[d] γὰρ τὸ ὅλον δέρμα γέγονε καὶ περίβλημα τῆς ἁπαλῆς σαρκὸς, καὶ τῶν ἄλλων πάντων τῶν ἐντοσθίων.

Ἔστι δὲ τὸ δέρμα τῇ φύσει τυλῶδες[e], ὑπό τε τοῦ περιέχοντος καὶ τῶν προσομιλούντων σωμάτων τυλωθέν[f]· ἡ δὲ ἁπαλὴ σὰρξ, πῇ μέν ἐστιν ἁπλῆ[g], πῇ δὲ σύνθετος· καὶ πῇ μὲν μετὰ μυῶν καὶ ἰνῶν, πῇ δὲ καθ' ἑαυτήν· καὶ αὕτη γὰρ ὥσπερ καὶ τὸ δέρμα καθόλου τοῦ σώματος ἥπλωται· ἵνα καὶ τοῦ θέρους ἀναψύχῃ τὸ ζῶον, νοτίδα ἐκπέμπουσα ἔσωθεν· καὶ χειμῶνος δὲ τὴν τῶν πιλητῶν εἰρίων αὐτοῖς χρείαν παρέχῃ[h]· σὰρξ δὲ εἴρηται παρὰ τὸ σύρεσθαι[i] τὸ δέρμα ἀπ' αὐτῆς.

Τὸ δὲ δέρμα ὥσπερ τέρμα τοῦ σώματος, ἔξωθεν ἐπιβέβληται παντὶ τῷ σώματι· ἢ οἷον δέρμα[k], τὸ συνισχηκὸς τὸ σῶμα καὶ συνδεσμοῦν· ἢ οἷον δέρμα, παρὰ τὸ ἀποδέρεσθαι ὡς ἐπὶ τῶν ζώων· ἢ οἷον δέμας, διὰ τὸ καὶ τὸ σῶμα οὕτως καλεῖσθαι, ὅτι δεσμός ἐστι τῆς ψυχῆς· ἢ περιδόμημα αὐτῆς καὶ οἰκητήριον· χρείας δὲ μόνης ἕνεκα[l] τὸ δέρμα γεγένηται ἐν τῷ σώματι, καὶ οὐκ ἐνεργείας· οὔτε γὰρ πρὸς πέψιν, οὔτε[m] πρὸς ἐξαιμάτωσιν, οὔτε πρὸς ἀνάδοσιν τροφῆς, οὔτε κίνησιν καθ' ὁρμὴν, οὔτε ὅλως ἐνέργειαν τινὰ τῷ ζώῳ παρέχεται, ἀλλὰ πάντων ἔξωθεν κείμενον τὰ τοῦ σώματος ὅλα[n] περιττὰ εὐλόγως[o] ἐκδέχεται[p], ὅθεν καὶ οἱονεὶ κατατέτρηται[q] διόλου πρὸς ἀναπνοὴν καὶ ἱδρώτων ἀπόκρισιν· καὶ ἔστιν ἀσθενέστερον τῶν ἄλλων μο-

[z] κατὰ συγκ. om. B. [a] hæc om. B. [b] δέρμα B. [c] κατὰ τὸν τόπον ὑπ. ἐκεῖνον B. [d] μὲν om. B. [e] τηλῶδες B. [f] τηλωθὲν B. [g] ἁπαλὴ B. [h] παρέχει B. [i] ἀποσύρεσθαι B.C. [k] ὡσπ. τ. συνεσχηκὸς τὸ σῶμα καὶ συνδεσμοῦν· ἢ οἷον δέμας B. ὥσπερ τέλμα C. [l] ἕνεκα om. B. [m] οὔτε γὰρ A. [n] ὅλου B. [o] εὐκόλως B. [p] εἰσδέχεται B. [q] κατατέρυται B.

ρίων· οὐκ ἴσην γὰρ τὴν ῥώμην ἅπαντα τὰ μόρια κέκτηνται[r]· ἀλλὰ τὰ κυριώτερα, καὶ οἷον αἱ ἀρχαὶ τοῦ σώματος, ῥωμαλεώτερα[s] ἐξ ὑπαρχῆς[t] ἐγεγόνει καὶ ἰσχυρότερα· ἵνα καὶ τὴν ἐκ πλημμελοῦς διαίτης ἀπωθῆται κακίαν, καὶ τὴν φυσικὴν δύναμιν περισώζῃ.

Ἔχει δὲ ὁ ἄνθρωπος καθ' ὅλων τῶν μορίων, καὶ ἐν τῇ γαστρὶ καὶ ἐν τοῖς ἐντέροις πιμελὴν, ἀλλ' οὐ στέαρ· ὅτι διαφέρει πιμελὴ στέατος, τῷ τὴν πιμελὴν ψυχομένην, ἄπηκτον διαμένειν, τὸ δὲ στέαρ ἅμα πήσσεσθαι[u], ὥστε καὶ θρύπτεσθαι· διὸ καὶ οἱ ζωμοὶ τῶν μὲν πιμελωδῶν, οὐ πήσσονται[v] ὡς βοὸς, αἰγὸς, καὶ προβάτου· συνίσταται δὲ ἡ πιμελὴ ἐκ τῶν ἐν τῷ αἵματι φερομένων ἐλαιωδῶν, ἐκ τῶν[w] λιπαρωτέρων τροφῶν, ἃ ἐν τοῖς ψυχροτέροις τῶν μορίων καθιζάνοντα πήγνυνται[x]· πιμέλη δὲ λέγεται παρὰ τὴν πῆξιν τῆς τροφῆς· ἢ πιμέλη τίς ἐστι, παρὰ τὸ πιαίνειν· ὑγραίνουσα[y] τὰ μέλη· ὁ δὲ σύνδεσμος περίβλημά ἐστι νευρῶδες, ἐξ αὐτοῦ τὴν γένεσιν ἔχων[z], ὅπερ συνδέεται ταῖς ἀρθρώσεσιν[a]· ὁ δὲ ὑμὴν σῶμά ἐστι νευρῶδες πλατύ· ἡ δὲ σὰρξ ἡ ἁπλῆ[b] αἷμά ἐστι πεπηγός.

Τὸ δὲ αἷμά ἐστι θερμὸν καὶ ὑγρὸν κατὰ σύστασιν· κατὰ δὲ γεῦσιν γλυκύ· παρὰ δὲ τὸ αἴθω τὸ καίω αἷμα ἐκλήθη· οὐδὲν γὰρ τῶν ἐν τῷ σώματι χυμῶν θερμότερον τοῦ αἵματος ἐστί· ἱλαρωτέραν δὲ τὴν ψυχὴν τοῦτο ἐργάζεται, ἐν οἷς πλεονάζει· ἡ δὲ ξανθὴ χολὴ, γοργοτέραν ἢ θρασυτέραν[c]· ἡ δὲ μέλαινα, σεμνοτέραν καὶ εὐσθενεστέραν· τὸ δὲ φλέγμα, ἀργωδεστέραν καὶ σκληρωδεστέραν· ἔστι δὲ τὸ φλέγμα συμμέτρως παχὺ κατὰ σύστασιν· ἁλμυρὸν δὲ κατὰ γεῦσιν[d]· ἡ δὲ ξανθὴ χολὴ, λεπτοτέρα τὲ καὶ κατὰ γεῦσιν πικρά· ἡ δὲ μέλαινα, ὀξεῖα μὲν κατὰ γεῦσιν[e], παχεῖα δὲ κατὰ σύστασιν, καὶ γεώδης· καὶ ἔστι τὸ μὲν αἷμα ἐρυθρὸν τῇ χροιᾷ· λευκὸν δὲ τὸ φλέγμα· ὠχρὰ δὲ ἡ ξανθὴ χολή· μέλας δὲ ὁ μελαγχολικὸς χυμός· οὗτοι γάρ εἰσιν

[r] κέκτηται B. [s] ῥωμαλαιότερα B. [t] ἐξ ἀπαρχῆς B. [u] πήσεσθαι B. [v] πήσονται B. [w] τῶν om. B. [x] πήγνυται B. [y] ἡ ὑγρ. B. [z] ἔχον B. [a] διαρθρώσεσιν B. [b] ἁπαλὴ B. [c] καὶ θρ. C. [d] κατὰ τὴν γεῦσιν B. [e] τὴν γεῦσιν B.

οἱ συγγενεῖς τοῦ σώματος χυμοί· ἐξ ὧν τὰ μὲν ἁπλᾶ γέγονε μόρια· τὰ δὲ ὀργανικὰ, ἢ σύνθετα· καὶ ὑπάρχει τοῖς μὲν ὁμοιομερέσι καὶ ἁπλοῖς κατ' οὐσίαν, τὸ θερμόν· τὸ ψυχρόν· τὸ ξηρόν· τὸ ὑγρόν· τοῖς δὲ συνθέτοις καὶ ὀργανικοῖς, τὸ κατὰ φύσιν τῆς ἁρμονίας, καὶ τὸ συντεθεῖσθαι καλῶς· ὡς μήτε τὸν ὀφθαλμὸν στασιάζειν, μήτε σκάζειν τὸν πόδα.

Ἐξ ἀναγκῆς δὲ ἕπεται τοῖς ὁμοιομερέσιν ἡ τῶν κράσεων συμμετρία· ἡ κατὰ δασύτητα καὶ ψιλότητα· ἡ κατὰ παχύτητα καὶ ἰσχνότητα· καὶ ἡ κατὰ τὴν εὔχροιάν τε καὶ ἄχροιαν· καὶ προσέτι μαλακότητα καὶ σκληρότητα· τοῖς δὲ ὀργανικοῖς κατ' οὐσίαν μὲν ἡ συμμετρία· καὶ ἡ σύνθεσις· καὶ ὁ ἀριθμός· καὶ τὸ σχῆμα· ἐξ ἀνάγκης δὲ τὸ καλῶς τὰς ἐνεργείας[f] ἕκαστον τῶν ὀργανικῶν ἐκτελεῖν· οἷον τὴν χεῖρα καλῶς ἀντιλαμβάνεσθαι· καὶ τὰ σκέλη καλῶς βαδίζειν· καὶ τὰ ὦτα ἀκούειν· καὶ τοὺς ὀφθαλμοὺς καλῶς βλέπειν· τηνικαῦτα γὰρ[g] τὴν οἰκεῖαν ἀρετὴν ἔχειν κατὰ τὸ σῶμα τὸν ἄνθρωπον[h] λέγομεν, ὅταν τὰς οἰκείας ἐνεργείας ἀμέμπτως ἐπιτελῇ· τὰς κατὰ λογισμόν[i]· τὰς κατὰ μνήμην· τὰς κατὰ φαντασίαν· τὰς κατ' αἴσθησιν· καὶ τὰς λοιπὰς τοῦ σώματος ἐνεργείας.

Ἐπεὶ δὲ λογισμὸς[k] κυρίως τότε λέγεται ὁ ἄνθρωπος, εἰ καὶ φύσει ἐστὶ λογικὸς, ὅταν ἤδη ἱκανός ἐστιν ἑρμηνεὺς εἶναι τῶν συνήθων ὀνομάτων τε καὶ ῥημάτων, καὶ[l] τὴν λογικὴν ἕξιν περιποιούμενος, ἤγουν κατὰ τὴν πρώτην ἑπταετίαν· τὰ γὰρ πρὸ ταύτης ἔτη, ἀλογίας, καὶ ἀσυνεσίας, καὶ ἀφροσύνης ἀνάμεστα· κατὰ δὲ τὴν ἑτέραν ἑπταετίαν ἄκρως τελειοῦσθαι· τελείωσις δέ ἐστι δύναμις τῆς τοῦ ὁμοίου σπορᾶς· περὶ γὰρ τὴν τεσσαρεσκαιδεκάτην ἡλικίαν τὸ ὅμοιον γεννᾶν δυνάμεθα· τρίτη πάλιν[m] ἑπταετία πέρας ἐστὶν αὐξήσεως· ἄχρι γὰρ ἑνὸς καὶ εἴκοσιν ἐτῶν ἐπιδίδωσιν εἰς μέγεθος ὁ ἄνθρωπος· καὶ καλεῖται παρὰ πολλοῖς ὁ χρόνος οὗτος ἀκμή· ψυχῆς μὲν οὖν τὸ ὅλον ἑπταμερές· αἰσθήσεις πέντε· ὅρασις· ὄσφρησις· ἀκοή· γεῦσις·

[f] τὰς ἐνεργ. αὐτοῦ B. [g] τηνικ. γὰρ λέγομεν B. [h] ἐχ. τὸν ἄνθρ. κατὰ τὸ σ. B. [i] κατὰ τὸν λογ. B. [k] ἐπεὶ καὶ λογικὸς B. mox om. τότε. [l] καὶ om. B. [m] τρ. γὰρ πάλιν B.

καὶ ἁφή· τὰ φωνητήρια[m] ὄργανα, ἤγουν ἡ γλῶσσα καὶ τὸ τῆς γονῆς[n] ἀποκριτικόν· πάλιν σώματος κινήσεις ἑπτά· ὀργανικὰ μὲν ἕξ· ἡ ἄνω· ἡ κάτω· ἡ ἔσω· ἡ δεξιά· ἡ ἀριστερὰ, καὶ ἡ κυκλική· ἢ οὕτως· γέννησις· αὔξησις· μείωσις· φθορά· ἀλλοίωσις· μεταβολὴ καὶ στάσις· αἵ τε ἀποκρίσεις τοῦ σώματος ἑπτά· δάκρυα· μύξαι[o]· σίελος· σπέρμα· διττοὶ περιττωμάτων ὀχετοί· καὶ ὁ δι' ὅλου τοῦ σώματος ἱδρώς.

Ὥσπερ δὲ πάντων[p] τῶν ἐν τῷ κόσμῳ γενομένων, τὰ μὲν δι' ἑαυτὰ γέγονε· καὶ δι' ἑαυτὰ[q], καὶ δι' ἕτερα· καθὼς ἐν τοῖς προλαβοῦσιν ἐδείχθη· οὕτως καὶ ἐπὶ τῶν μορίων τοῦ ζώου εὑρήσεις, ἐν τοῖς ἄρχουσι καὶ ἐν τοῖς ἀρχομένοις· ταῦτα γὰρ προηγουμένως καὶ κατὰ πρῶτον λόγον κατεσκεύασται· ἃ καὶ κατὰ φύσιν κυρίως λέγεται.

Ἡ δὲ ξανθὴ χολὴ, καὶ δι' ἑαυτὴν γέγονε, καὶ δι' ἄλλο· καὶ γὰρ πρὸς πέψιν συντελεῖ[r], καὶ ἐρεθίζει τὴν ἔκκρισιν, καὶ γίνεται τρόπον τινὰ τῶν θρεπτικῶν ἕν τι μόριον[s]· ἀλλὰ καὶ θερμασίαν παρέχει τῷ σώματι, καθάπερ ἡ ζωτικὴ δύναμις· καθαίρει δὲ καὶ τὸ αἷμα, ὅπερ δι' ἄλλο δοκεῖ πῶς[t] γεγονέναι· καὶ ὁ σπλὴν δὲ, καὶ δι' ἑαυτὸν γέγονε, καὶ δι' ἄλλο· δι' ἑαυτὸν μὲν, ὅτι μόριον ὑπάρχει τῶν θρεπτικῶν, καὶ δοχεῖον τοῦ μέλανος χυμοῦ· διὰ δὲ τὸ ἐπισπᾶσθαι τὰ περιττὰ τοῦ ἥπατος, καὶ οἷον διακαθαίρειν αὐτὸ, δι' ἄλλο πῶς καὶ αὐτὸς ὑφιστάναι[u] δοκεῖ· καὶ οἱ νεφροὶ δὲ, τοῦ τε αἵματος καθάρσιον[v], καὶ τῆς κατὰ συνουσίαν ὀρέξεως αἴτιοι· καὶ οἱ ἀδένες ὄχημα εἰσὶ τῶν ἀγγείων· καὶ ἡ σὰρξ σκέπασμα· καὶ τὸ δέρμα ὁμοίως περίβλημα· καὶ τὰ ὀστᾶ στήριγμα· καὶ οἱ ὄνυχες χάριν τοῦ κνήθεσθαι, καὶ εἰς ἀντίληψιν· καὶ αἱ τρίχες ὁμοίως εἰς σκέπην καὶ κόσμον· οἱ ὀφθαλμοὶ διὰ τὴν ὅρασιν· τὰ ὦτα χάριν τῆς ἀκοῆς· ἡ ῥὶς διὰ τὴν ἀναπνοὴν καὶ τὴν ὄσφρησιν· ὁ θώραξ διὰ τὴν τῆς καρδίας ὑπηρεσίαν· αἱ χεῖρες διὰ τὰς εἰρημένας χρείας· καὶ οἱ πόδες διὰ τὴν μετάβασιν· ἡ γλῶσσα διὰ τὴν λαλιάν[w]· τὴν γλῶσ-

[m] φωνητικὰ B. [n] φωνῆς B. [o] μίξαι A. [p] καὶ πάντων B.
[q] τὰ δὲ δι' ἑαυτὰ B. [r] συνεργεῖ B. [s] μορίων B. [t] πῶς δοκεῖ B.
[u] ὑφεστάναι B. [v] καθ. εἰσὶ B. [w] hæc om. A.

σαν δὲ διὰ τὸ προπετὲς αὐτῆς καὶ ἀφύλακτον, καὶ ὥστε μὴ προτρέχειν τῆς διανοίας, δισσῶς αὐτὴν ἠσφαλίσατο· τὴν τῶν ὀδόντων πυκνότητα ὥσπερ φυλακὴν ἢ τειχίον αὐτῇ ἐπιστήσας, καὶ τὰ χείλη θυροῦντα, καὶ ἐν περιοχῇ ταύτην φυλάττοντα· ἵνα μὴ ἁπλῶς, καὶ ὡς ἔτυχεν[x] φθέγγηται· καὶ ἀπαξαπλῶς[y], οὐδὲν παρὰ σκοπὸν ἢ ἀνεργὲς παρὰ τοῦ δεσπότου δεδημιούργηται.

Ταῦτα οὖν πάντα καὶ τὰ λοιπὰ[z] τοῦ σώματος μόρια τότε ὑγιαίνειν αὐτὰ καὶ καλῶς ἔχειν λέγομεν, ὅταν εὐκρασίαν μὲν ἔχῃ ἐν τοῖς ὁμοιομερέσι καὶ ἁπλοῖς· συμμετρίαν δὲ[a] ἐν τοῖς συνθέτοις καὶ ὀργανικοῖς. ἐκ γὰρ τῶν ὁμοιομερῶν συγκείμενα τὰ ὀργανικὰ ὑπὸ τούτων ὑπηρετεῖται· οἷον, ἡ καρδία ἀρχή ἐστι τοῦ σώματος, καὶ ὀργανικόν· ὑπηρετοῦσιν οὖν αὐτῇ ἀρτηρίαι καὶ θώραξ· ἀρτηρίαι μὲν χορηγοῦσαι τῷ παντὶ σώματι αἷμα, καὶ πνεῦμα τὸ ἐξ αὐτῆς· θώραξ δὲ, διὰ τῆς συστολῆς καὶ διαστολῆς ἐπεισάγων αὐτῇ[b] ἀέρα καθαρόν· ὑπηρετεῖ δὲ[c] ἐγκεφάλου τὰ νεῦρα, καὶ ὁ νωτιαῖος· ἥπατι δὲ, αἱ φλέβες· τοῖς δὲ ὄρχεσιν, οἱ σπερματικοὶ πόροι· ταῦτα γὰρ ἀρχαὶ τοῦ σώματος, καὶ[d] λέγονται, καὶ εἰσὶ, καθὼς ἐδείξαμεν ὄπισθεν· οἱ δὲ κατὰ παντὸς τοῦ σώματος χόνδροι, σώματα εἰσὶ, τοῦ μὲν ὀστοῦ μαλακώτερα, τῆς δὲ σαρκὸς διαφερόντως ξηρότερα· οἱ δὲ ἀδένες, σώματα σπογγώδη εἰσὶ, τοῦ μὲν χόνδρου μαλακώτερα, σκληρότερα δὲ τῆς σαρκός· διάφορος δὲ τούτων ἡ χρεία· οἱ μὲν γὰρ ἀντὶ στοιβῆς ἐτάγησαν εἶναι μεταξὺ τῶν ἀγγείων· οἱ δὲ ὑπεστρώθησαν τοῖς ἀγγείοις, οἷον φλεψὶ καὶ ἀρτηρίαις· ἄλλοι δὲ καὶ χάριν ἐνεργείας ἐγένοντο, ὥσπερ οἱ ἐν τοῖς τιτθοῖς[e]· οἱ τὸ αἷμα εἰς τὸ[f] γάλα μεταβάλλουσιν· καὶ οἱ ἐν τοῖς ὄρχεσιν, οἱ ποιοῦσι τὸ σπέρμα· καὶ οἱ ἐν τοῖς παρισθμίοις, οἱ τὸν σίελον ἀναγκαίως ποιοῦσιν· ἐπειδὴ γὰρ ἐκ τῆς συνεχοῦς κινήσεως τὰ φωνητικὰ ὄργανα ξηραινόμενα ἱστᾶ τὴν φωνὴν, καὶ τὴν ὁμιλίαν διακρατεῖ, τούτου χάριν οἱ σιελίται μῦες σὺν ἀδέ-

[x] ἔτυχε B. [y] ἀπαξπλῶς A. [z] καὶ πάντα τὰ λ. B. [a] δὲ om. B. [b] αὐτῷ B. [c] δὲ καὶ B. [d] καὶ om. B. [e] τιθοῖς A. [f] τὸ om. B.

σιν ἐντὸς τοῦ στόματος[g] κεῖνται[h], ἵνα καθυγραίνουσιν[i] ὅλον τὸ στόμα καὶ τὴν ἀρτηρίαν, πρὸς ἐκφωνήσεις καὶ ὁμιλίας, καὶ παρέκτασιν λόγων· εἰ μὴ γὰρ[k] τοῦτο παρὰ τοῦ τεχνίτου τῆς φύσεως ἐπενοήθη, ἐξ ὁμιλίας μικρᾶς, ἢ ῥημάτων ὀλίγων, ἢ μελῳδίας οὐχ ἱκανῆς, ἄφωνος ὁ ἄνθρωπος εὐθέως ἐγένετο· ἀλλὰ τούτων οὕτως κειμένων, καὶ ἐφ' ἱκανὸν φθέγγεται, καὶ ἐς ὕψος αἴρει φωνὴν, καὶ ἐν ἡδύτητι φωνῆς διαρκεῖ· καὶ τοὺς ἀκούοντας τέρπει, καὶ ἡδονὴν ἐναφίησιν· εἰ γὰρ καὶ ἡδύνουσι τέττιγες[l] καὶ ἀηδόνες, καὶ ἕτερα ζῶα[m] τὸν ἄνθρωπον, ἀλλὰ καὶ[n] διαφερόντως ὁ ἄνθρωπος τοῦτο ποιεῖ· ὃ καὶ Ὅμηρος ἐπιστάμενος ἔλεγε·

καλέσατε θεῖον ἀοιδόν·
τῷ[o] γ' ἄρα θεὸς πέρι δῶκεν[p] ἀοιδὴν
τέρπειν, ὅπῃ[q] θυμὸς ἐποτρύνησιν ἀείδειν. (Od. Θ. 43.)

Μόνος γὰρ ὁ ἄνθρωπος ἡδύτητα φωνῆς διακρίνει καὶ ἀποδέχεται· μόνος ὄργανα πρὸς ᾠδὰς κατασκευάζειν δύναται, καὶ θελκτήρια μέλη ποιεῖν· μόνος ὁ[r] ἄνθρωπος διὰ γραμμάτων καὶ πόῤῥωθεν τοὺς φίλους ἀσπάζεται· μόνος ὁ[s] ἄνθρωπος διανοητικὸν καὶ βουλευματικὸν[t] ἐστὶ ζῶον· μόνος ὁ ἄνθρωπος ζῶον γελαστικόν ἐστιν· εἰ καὶ τὴν μιμὼ λέγουσι σχηματίζεσθαι τοῦτο· μόνος ὁ ἄνθρωπος διὰ τῶν φωνητικῶν ὀργάνων τυποῖ τὰ λεγόμενα ἢ φωνούμενα, καὶ διαρθροῖ· τῶν ἄλλων ζώων ἀνάρθρως φωνούντων· εἰ δὲ καὶ τοὺς ἀγγέλους καὶ δαιμόνας ὁμιλεῖν λέγεται λογικῶς, ἀλλ' οὐ διὰ φωνητικῶν ὀργάνων, οὐ δὲ διὰ πνοῆς ὥσπερ ἡμεῖς· μόνος ὁ ἄνθρωπος μετὰ θάνατον ἀνίσταται· καὶ θνητὸς ὢν ἀπαθανατίζεται[u]· μόνος ὁ ἄνθρωπος ζῶον ἐστὶν ἐνταῦθα οἰκονομούμενον, καὶ ἀλλαχοῦ μεθιστάμενον· μόνος ὁ ἄνθρωπος ἐν μέσῳ δύο ζώων γινώσκεται· καὶ τῆς μὲν παρούσης φροντίζεται, καὶ προνοεῖται πῶς ζήσεται· τῆς δὲ μελλούσης ἐπιμελεῖται μὴ ἐκπεσεῖν· καὶ τὴν μὲν πρόσκαιρον οἶδε, τὴν δὲ αἰώνιον[v]· καὶ τὴν μὲν, πολυπαθῆ, καὶ πολυώδυνον, καὶ πολύδακρυν·

g σώματος A. h κινεῖται C. i καθυγραίνωσιν B.C. k γὰρ om. B.
l καὶ τέττιγες A. m ἑτ. τῶν ζώων B. n καὶ om. B. o τὸ A.
p περιδῶκεν A. q ὅπη A. r ὁ om. B. s ὁ om. B. et sic in rel.
t βουλευτικὸν B. u hæc om. B. v μέλλουσαν B.

τὴν δὲ, ἀπαθῆ, καὶ ἀνώδυνον, καὶ πολυχαρῆ[v]· μόνος ὁ ἄνθρωπος πταίων ἐνταῦθα παιδεύεται, καὶ μετανοῶν συγχωρεῖται παρὰ τοῦ κτίσαντος· μόνος ὁ ἄνθρωπος παρὰ τοῦ δημιουργοῦ διαφερόντως τῶν ἄλλων ζώων προνοεῖται, καὶ ἐπιμελείας ἠξίωται.

Καὶ[w] ἵνα τοῦτο μὴ ἀγνοῶν μάθῃς πλέον, καὶ τῆς προνοίας θαυμάσῃς τὸ μέγεθος, σκόπει[x] τὴν διαμονὴν τῶν ἁπάντων, καὶ μάλιστα τῶν ἐν γενέσει καὶ φθορᾷ φυλαττομένην[y] ἀεὶ διά σε τὴν τάξιν τῶν ὄντων καὶ τὴν[z] θέσιν· ὡσαύτως τὴν τῶν ἄστρων φορὰν, μηδὲν μηδέποτε διαλλάττουσαν τὸν κύκλον τοῦ ἐνιαυτοῦ· τῶν ὡρῶν τὴν ἀποκατάστασιν· τῶν νυκτῶν καὶ ἡμερῶν[a] τὴν ἰσότητα· παρὰ μέρος ἑκατέρας αὐξανομένης ἢ μειουμένης· τὴν φυτῶν[b] καὶ σπερμάτων πληθύν· τὴν τῶν ζώων διαφορὰν καὶ κατασκευήν· τῆς κτίσεως ἁπάσης τὰ ἔργα, καὶ τὴν ἀναλογίαν, καὶ ἁρμονίαν, καὶ εὐρυθμίαν[c]· καὶ ἵνα πάντα παρῶ διὰ τὴν σὴν πρόνοιαν[d] καὶ συντήρησιν γεγονότα, περὶ τῆς μορφῆς ἡμῶν καὶ ἰδέας, τὴν παραλλαγὴν διάφορον ἐχούσης[e], διασαφήσω ὀλίγα[f]· ἵνα προσκυνήσῃς[g] τὴν περὶ σὲ[h] τοῦ δεσπότου σου πρόνοιαν, τὸ ἔργον τούτου θαυμάσῃς.

Τίς γὰρ ὁρῶν τὰς μορφὰς τῶν ἀνθρώπων ἐν τοσαύταις μυριάσι[i] διαλλαττούσας, καὶ μηδαμοῦ κατὰ πάντα συμπιπτούσας[k], οὐ θαυμάσει μὲν τὸ ἔργον· ἀναλογιζόμενος δὲ τὴν αἰτίαν, εὑρήσει προνοίας ἕνεκα διαφερούσης, τὴν διαφορὰν τῆς μορφῆς παρηλλαγμένην ἐν τοῖς καθ' ἕκαστον[l]· σκόπει γὰρ, εἰ τὸν[m] αὐτὸν ἅπαντες ἔσωζον ἀπαραλλάκτως χαρακτῆρα, πόση σύγχυσις τῶν πραγμάτων ἐγίνετο· πόση δὲ ἄγνοια καὶ σκότος κατεῖχε τὸν ἄνθρωπον· οὔτε τὸν ἀλλότριον, ἢ πολέμιον, ἢ χρηστὸν, ἢ φαῦλον διακρῖναι[n] δυνάμενον· τούτου γὰρ ὄντος οὕτως, οὐδὲν ἐκώλυεν ἀδελφαῖς καὶ μητράσι συμμίγνυσθαι· τί δὲ, εἰ κλέπτων τὶς κρατηθεὶς ἀπέδρα μικρὸν, καὶ συνεμίγη ἐν τοῖς

[v] post hæc Lat. Vers. ita se habet. "Ut Callimachus, ἴθι πρηύα "γυναικῶν τὴν ὁδὸν ἣν ἀνίαι θυμοφθόροι οὐ περόωσιν" p. 137, 3. hoc vero frag. carent omnes nostri Codd. [w] καὶ om. B. [x] καὶ σκόπει B. [y] φυλαττομένων A. [z] τὴν om. B. [a] καιρῶν B. [b] τὴν τῶν φ. B. [c] καὶ εὐρ. om. B. [d] προν. καὶ προμήθειαν B. [e] διαφ. ἐχ. om. B. [f] σοι ὀλίγα B. [g] θαυμ. τὸ ἔργον καὶ προσ. B. [h] σοῦ B. [i] μυριάσι om. A. [k] συνεκπιπτούσας B. [l] καθέκαστα B. [m] καὶ τὸν B. [n] διακρίναι B.

παροῦσιν; ἆρα ἂν ἀνεγνωρίσθη; οὐδαμῶς· ἀλλ' οὐδὲ πατέρες καὶ παῖδες ἀλλήλους ἐγνώριζον· ἀλλ' οὐδὲ ἄλλο τί συνέστη τῶν κατὰ βίον[o] ἐν ἀνθρώποις χρηστόν· τυφλὸς γὰρ ἂν ἦν ἕνεκα τῶν ἀνθρώπων ὁ ἄνθρωπος, μικρὰ τοῦ βλέπειν αὐτῷ παρεσχομένων· πλὴν γὰρ ἡλικίας καὶ μεγέθους οὐδὲν ἄλλο διεγίνωσκε[p]. τοσούτων ἡμῖν ἀγαθῶν αἰτία γέγονεν ἡ πρόνοια ποικίλλουσα[q] τὴν μορφὴν τῶν ἀνθρώπων διὰ παντὸς, καὶ μηδένα χρόνον τοῦτο[r] παραλείπουσα· καὶ οὐ μόνον ἐν μορφῇ, ἀλλὰ καὶ ἐν φωναῖς, καὶ ἐν τῇ τῶν χρωμάτων διαφορᾷ, καὶ ἐν ἡλικίαις· ἵνα πολυτρόπως βοηθῆται τῆς ἀνθρωπίνης φύσεως ἡ ἀσθένεια, καὶ γινώσκοντες ὡς λογικοὶ, οἵας προνοίας ἀξιούμεθα καὶ τιμῆς[s], μὴ καταισχύνωμεν τὴν φύσιν· μηδὲ τῶν τοῦ Θεοῦ δωρεῶν ἀποφανθῶμεν[t] ἀνάξιοι.

Τοσαῦτά μοι περὶ τοῦ σώματος ἡμῶν καὶ τῆς τούτου κατασκευῆς, καὶ διαπλάσεως, καὶ συνθέσεως συνήνωται[u], καὶ συλλέλεκται, καὶ συντέθειται, καὶ οἷον συνυφάνθη καὶ συνηρμολογήθη· οὐκ οἶδα μὲν εἰ ἐντέχνως ἢ συνετῶς, ἢ ἀποδεκτῶς τοῖς πολλοῖς· τίς γὰρ ἱκανὸς λαλῆσαι τὰς δυναστείας τοῦ Κυρίου, ἢ ἀκουστὰς ποιῆσαι πάσας τὰς αἰνέσεις αὐτοῦ· ἢ τῶν ὁδῶν αὐτοῦ τὸ ἀνεξιχνίαστον καὶ ἀκατάληπτον καταλαβεῖν; πλὴν ἀλλὰ καὶ Θεῷ φίλον τὸ κατὰ δύναμιν.

Καὶ σὺ δ' ἂν κατὰ σεαυτὸν ἀναλεγόμενος πολλοὺς εὑρήσεις[v] σκοποὺς ἔχοντας τὶ τῶν εἰρημένων[w] βαθύτερον· καὶ ὅτι ἂν συνεισφέρῃς[x] εἰς τὴν παροῦσαν ὑπόθεσιν, καὶ ἡμῖν τοῦτο ἔσῃ συνειληχώς· οἷον πῶς τὸ ἡγεμονικώτατον[y] τοῦ ζώου πρόσωπον, ἑπταχῇ[z] κατατέτρηται· δυσὶν ὀφθαλμοῖς, καὶ ὠσὶ δύο· ἴσοις μυκτῆρσιν· ἑβδόμῳ στόματι; πῶς ὁ ἐγκέφαλος, ὁ τὰς αἰσθήσεις δεχόμενος, ψυχρός ἐστι καὶ ὑγρὸς, ὑπὲρ πάντα τὰ ζῶα[a]· καὶ πῶς τυποῦται τὸ νόημα, καὶ οὐκ ὀλισθαίνει διὰ ὑγρότητα; πῶς τὰ μὲν μόρια[b] θερμά εἰσι, τὰ δὲ ψυχρὰ[c], τὰ δὲ κατ'

[o] τὸν βίον B. [p] hæc a τυφλὸς usque om. B.C. [q] ποικίλουσα B. [r] ποιεῖν τοῦτο B. [s] τιμαῖς A. [t] ἀναφανῶμεν B. [u] συνείλεκται καὶ συνήνωται B. [v] εὑρήσοις B. [w] εὑρημένων A. [x] συνφέροις B. [y] ἡγεμωνικώτερον B. [z] ἑπταχὶ B. [a] πάντων τῶν ζώων B. [b] τῶν μορίων B. [c] τὰ δὲ ἰσχυρὰ B.

ἀμφότερα; πῶς τὰ μὲν ἀσθενῆ, τὰ δὲ ἰσχυρά; πῶς[d] τὰ μὲν ἁπλᾶ, τὰ δὲ σύνθετα· πῶς τὰ μὲν συμφύτους ἔχει[e] δυνάμεις, τὰ δὲ ἐπιῤῥύτους· τὰ δὲ συμφύτους ἅμα καὶ ἐπιῤῥύτους[f]· πῶς ἕκαστον αὐτῶν τέσσαρας δυνάμεις ἔχει ἐν ἑαυτῷ ζωτικάς; πῶς τῶν ἀγγείων τὰ μὲν πέμπει, τὰ δὲ δέχεται· τὰ δὲ κατέχει· τὰ δὲ ἀποκρίνει; πῶς τροφαὶ τὸ σῶμα διακρατοῦσι; καὶ πῶς ἐπιλειπουσῶν[g] διαφθείρεται; πῶς ἡ καρδία τὴν ἔμφυτον χορηγοῦσα τῷ σώματι θερμανσίαν, τῆς ἐνεργείας οὐχ ἵσταται ἔχουσα αὐτὴν[h] κατὰ φύσιν; πῶς χυλοῦται τὰ σιτία, καὶ καθαίρεται τὸ αἷμα, καὶ διατρέφεται τὸ σῶμα, καὶ τὰ σκύβαλα διακρίνεται, καὶ τὸ οὖρον συναποβάλλεται; πῶς δὲ συνδέδεται[i] τὰ μέλη, καὶ συνήρθρωται τὰ μέρη, καὶ διήρθρωται τὰ ἄρθρα, καὶ συντίθεται[k] τὰ ὀστᾶ; καὶ[l] πῶς τῶν ὀστῶν τὰ μὲν σκληρὰ, τὰ δὲ μαλακά· τὰ δὲ[m] κοῖλα, τὰ δὲ ἄκοιλα· τὰ δὲ μετὰ μυελῶν, τὰ δὲ ἀμύελα; πῶς τῶν νεύρων τὰ μὲν κατὰ συζυγίαν, τὰ δὲ καὶ μοναδικὰ διόλου τοῦ σώματος ἐγκατέσπαρται; ὁμοίως καὶ[n] φλέβες καὶ ἀρτηρίαι; πῶς τῶν μορίων ἢ στοιχείων τοῦ σώματος τὰ μὲν δι' ἑαυτὰ[o] γέγονε, τὰ δὲ δι' ἄλλα[p]; καὶ πῶς οὐχ ἡλικίαι πᾶσιν αἱ αὐταὶ[q], οὐ δὲ προσώπων χαρακτῆρες, οὐ δὲ ὁμοιότητες φωνῶν· οὐδὲ χρωμάτων ἐμφέρειαι;

Καὶ ἵνα εἰς πλέον[r] πλείονα δόξαν τὴν ἐπανάληψιν πλέξωμεν ἐκ τῶν λόγων τοῦ Θεολόγου[s] συνεξυφανῶ σοι ῥήματα· "θαύμασον," λέγοντος, "ἄνθρωπε, πῶς ἐπλάσθης; καὶ[t] πῶς συνετέθης; καὶ τίς ἡ περὶ σὲ σοφία; καὶ τί τῆς φύσεως τὸ μυστήριον; πῶς μετρῇ τόπῳ καὶ νοῦς οὐχ ὁρίζεται[u], ἀλλ' ἐν τούτῳ μένων πάντα ἐπέρχεται; πῶς ὄψις ὀλίγη καὶ ἐπὶ πλεῖστον φθάνουσα; καὶ πότερον παραδοχὴ τίς ἐστιν τοῦ ὀφθέντος, ἢ πρὸς ἐκεῖνο διάβασις; πῶς τὸ αὐτὸ κινεῖ καὶ κινεῖται διὰ βουλήσεως κυβερνώμενον[v]; τίς δὲ παῦλα κινή-

[d] καὶ πῶς B. [e] ἔχει om. B. [f] ult. hæc om. B. [g] ἐπιλειπούσαι B. [h] ταυτὴν B. [i] πῶς δέδεται B. [k] συντέθηται B. [l] καὶ om. B. [m] τὰ μὲν B. [n] καὶ om. B. [o] ἑαυτῶν B. [p] δι' ἄλλων B. [q] ἑαυταὶ A. [r] πλέον om. B. [s] τοῦ θεολ. ἐκλόγων B. [t] καὶ om. B. [u] μετρεῖται τόπῳ ψυχὴ καὶ νοῦς οὐ χωρίζεται C. [v] κυβερνώμενος B.

“ σεως; καὶ πῶς ὁ νοῦς διὰ τούτων ὁμιλεῖ τοῖς ἔξω, καὶ τὰ[w] “ ἔξωθεν παραδέχεται; πῶς ἀναλαμβάνει τὰ εἴδη; καὶ τίς ἡ “ τήρησις τοῦ ἀναληφθέντος, ἡ μνήμη; καὶ τίς ἡ τοῦ ἀπελ- “ θόντος ἀνάληψις ἢ ἀνάμνησις; πῶς ἡ αἴσθησις ἐν τῷ αὐτῷ “ μένει, καὶ τὸ ἐκτὸς ἐπισπᾶται[x]; πῶς ὁ[y] λόγος νοῦ γέννημα, “ καὶ γεννᾷ λόγον ἐν ἄλλῳ νοΐ; καὶ πῶς λόγῳ νόημα διαδί- “ δοται; πῶς στρέφεται[z] διὰ ψυχῆς τὸ σῶμα; καὶ πῶς ψυχὴ “ διὰ σώματος κοινωνεῖ πάθους; πῶς πήγνυσι φόβος, καὶ λύει “ θάρσος; καὶ συστέλλει λύπη, καὶ διαχεῖ ἡδονὴ, καὶ τήκει “ φθόνος, καὶ μετεωρίζει τύφος, καὶ κουφίζει ἔλπις; πῶς ἐκ- “ μαίνει θυμὸς, καὶ ἐρυθαίνει δι' αἵματος αἰδώς[a]· ὁ[b] μὲν “ ζέσαντος[c], ἡ δὲ ἀναχωρήσαντος; καὶ πῶς οἱ χαρακτῆρες “ τῶν παθῶν ἐν τοῖς σώμασι; τίς[d] ἡ τοῦ λογισμοῦ προεδρία[e]; “ καὶ πῶς πᾶσι τούτοις ἐπιστατεῖ, καὶ ἡμεροῖ τὰ τῶν παθῶν “ κινήματα; πῶς αἵματι κρατεῖται καὶ πνοῇ τὸ ἀσώματον; “ καὶ πῶς ἡ τούτων ἔκλειψις[f] ψυχῆς ἐστιν ἀναχώρησις; πῶς “ ὁ νοῦς καὶ περιγραπτὸς καὶ ἀόριστος ἐν ἡμῖν μένων, καὶ “ πάντα ἐφοδεύων, τάχει φορᾶς καὶ ῥεύσεως; τίς ἡ τῆς φύ- “ σεως[g] ὁλκὴ, καὶ πρὸς ἄλληλα σχέσις τοῖς γεννῶσι καὶ γεν- “ νωμένοις, ἵνα τῷ φίλτρῳ συνέχηται;”

Πολλὰ δ' ἂν ἔτι φιλοσοφήσῃς[h] περὶ μερῶν καὶ μελῶν, καὶ τῆς εἰς ἄλληλα τούτων εὐαρμοστίας· πρὸς[i] χρείαν τὲ ὁμοῦ καὶ κάλλος συνεστώτων τὲ καὶ διεστώτων καὶ σχιζομένων[k], περιεχόντων τὲ καὶ περιεχομένων[l], νόμῳ καὶ λόγῳ φύσεως· πολλὰ περὶ φωνῶν καὶ ἀκοῶν· πῶς, αἱ μὲν φέρονται διὰ τῶν φωνητικῶν ὀργάνων[m]· αἱ δὲ ὑποδέχονται διὰ τῆς ἐν μέσῳ τοῦ ἀέρος πληγῆς καὶ διατυπώσεως[n]· πολλὰ περὶ τοῖς ἐν ὕπνοις ἀναπαύσεως ἢ ἀναπλάσεως, λογισμοῦ τὲ, καὶ θυμοῦ, καὶ ἐφέσεως· καὶ συντόμως εἰπεῖν, ὅσα περὶ τὸ ζῶον τοῦτο τὸ λογικὸν

[w] τοῖς A. [x] πῶς usque ad ἐπισπᾶται om. A. [y] ὁ om. B. [z] τρέφεται B. [a] καὶ αἰδ. ἐρυθραίνει δι' αἵμ. B. [b] ἡ A. [c] ζώσαντος A. [d] καὶ τίς B. [e] προεδρεῖα A. [f] ἔκκλειψις B. [g] φύσε A. [h] φιλοσοφήσοις B. [i] πρὸς om. B. [k] καὶ σχιζ. om. B. [l] προεχόντων τε καὶ προεχομένων, ἑνουμένων καὶ σχιζομένων· περιεχ. τε καὶ περιεχομένων B. [m] hic desinit B. [n] τυπώσεως C.

ἡ τὰ πάντα σοφῶς[o] οἰκονομοῦσα τοῦ Θεοῦ προσέποιησε[p] δύναμις, καὶ σοφία καλῶς ἐτεχνήσατο[q]· καὶ οὕτω καλῶς, ὡς οὐκ ἐνεδέχετο ἄλλως γενέσθαι ἢ συνεστάναι τουτὶ τὸ ζῶον· τί γὰρ νοῦς τοσοῦτος τῶν μὴ προσηκόντων εἰργάσατο; οὐ μόνον δὲ φιλοσοφήσεις τοιαῦτα, ὡς εἴρηται, καὶ θαυμάσεις· πῶς μέσον μεγέθους καὶ ταπεινότητος γέγονας· καὶ βασιλεύεις τῶν ἐπὶ γῆς βασιλευόμενος ἄνωθεν· καὶ τῇ πρὸς Θεὸν νεύσει· τὸ μέτριον τῆς ἀληθείας φῶς ἐλλαμπόμενος[r], ὅλος θεοῦσαι[s], καὶ μετατίθεσαι πρὸς τὰ ἄνω[t], ἀξίαν τοῦ καὶ συνδήσαντος καὶ λύσοντος[u], καὶ αὖθις συνδήσοντος, ὑψηλότεραν τὴν πολιτείαν ποιούμενος· ἀλλὰ καὶ μετὰ τοῦ Προφήτου ἐκπλήκτως[v] ἀναβοήσεις, " ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε· πάντα ἐν σοφίᾳ " ἐποίησας."

Περὶ Ψυχῆς.

ἘΠΕΙ δὲ ἐκ ψυχῆς καὶ σώματος συνέστη ὁ ἄνθρωπος, καὶ τοῦτο ἐστὶ ζῶον λογικὸν, ἡ σύνοδος τῶν συναμφοτέρων, καὶ διαμονὴ, καὶ συνοίκησις, φέρε καὶ περὶ ψυχῆς ὀλίγα τινὰ διαλάβωμεν· ἵνα μὴ δόξωμεν θάτερον μέρος τοῦ ζώου καταλιπεῖν· ἀρχώμεθα δὲ ἐντεῦθεν· ἡ ψυχὴ νοητὴ καὶ νοερά· νοητὴ μὲν, καθὸ νοεῖται νοητῶς· νοερὰ δὲ, ὡς ἀμιγὴς τῆς ὕλης τοῦ σώματος· ψυχῆς δὲ ἐνέργειαι γνωστικαὶ καὶ ζωτικαὶ, ὅτι σύμφυτος ἡ ζωὴ τῇ ψυχῇ· τῷ σώματι δὲ κατὰ μέθεξιν· ὄργανον γὰρ τῇ ψυχῇ τὸ σῶμα· ὑποκείμενον δὲ τοῦ σώματος ἡ ψυχή· κινήσεις ψυχικαί· αἴσθησις· νόησις· ἐνέργεια· κινεῖται δὲ ἡ ψυχὴ κυκλικῶς, ἑλικοειδῶς, καὶ κατ' εὐθείαν· νοῦς ἐστι κατὰ γνώμην ἄπταιστος, πρώτης προσβολῆς τῶν πραγμάτων ἁπτόμενος, καὶ κρεῖττον ἢ κατὰ ἀπόδειξιν ἀπαλαμβάνων[w] τὰ πράγματα· δι' ὧν ἐστὶ συνιδεῖν πῇ ποῦ πορευόμεθα, ὁδὸν ζητοῦντες τῆς ἀποδείξεως.

[o] σοφ. καὶ ἐντέχνως C. [p] πρὸς A. [q] ἐτεχνάσατο C. [r] τῷ μετρίῳ τῆς ἀληθείας ἐκλαμπόμενος C. [s] τέως ὅλως θεοῦσ. C. [t] τοὺς ἄνω C. [u] λύσαντος C. [v] ἐμπλήκτως μετὰ τοῦ πρ. βοήσεις· ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ C. [w] sic A.

Ὁ δὲ περὶ ψυχῆς λόγος, οὐ τὸ τί ἐστιν ἡ ψυχὴ κατ᾽ οὐσίαν διδάσκει· ἀλλ᾽ εἴτι οὐκ ἔστι δηλοῖ· τὸ γὰρ τῆς οὐσίας αὐτῆς παρ᾽ ἡμῖν ἄγνωστον καὶ ἀγνώριστον· πῶς οὖν, ἐρεῖ τίς τυχὸν, εἴπερ οὐκ ἐπίστασαί τι περὶ ψυχῆς, γράφεις περὶ ψυχῆς; ἄτοπον γὰρ, τὸ μὴ βεβαίως ἔχοντα περί τι, γράφειν ἢ ἐξηγεῖσθαι περὶ αὐτοῦ· εἰδέναι γὰρ δεῖ πρῶτον τὸν χαρακτῆρα τοῦ ᾱ· εἶτα τὴν τοῦ στοιχείου γνῶσιν ἑτέροις ἀποτιθέναι· πρὸς ὃν ῥη * *[x] τὰ θεῖα ἀόριστα, ἀλλὰ καὶ ἄγνωστα κατ᾽ οὐσίαν· διὸ καὶ τὸν Θεὸν εἰδέναι λέγομεν, μὴ ἰδόντες· ὡς τὸ "εἶδον τὸν "Θεὸν ἐπὶ θρόνου ὑψηλοῦ." καὶ "εἶδον τὸν Θεὸν πρόσωπον "πρὸς πρόσωπον·" ἀλλ᾽ οὐ κατ᾽ οὐσίαν ἰδόντες Θεὸν, ταῦτα εἰρήκασιν οἱ ἑωρακότες, ἀλλ᾽ ἐνεργηθέντες τοιῶσδε· ἐπεὶ "Θεὸν "ἑώρακεν οὐδεὶς πώποτε·" κατ᾽ οὐσίαν δηλαδὴ, οὐκ ἐκ τῶν κατ᾽ αὐτὸν, ἀλλ᾽ ἐκ τῶν περὶ αὐτόν· ἀλλ᾽ οὐχ ὁ τὴν οὐσίαν μὴ εἰδέναι εἰπὼν τοῦ Θεοῦ, μὴ ἐπίστασθαι τὸν Θεὸν ὡμολόγησεν; ἀλλ᾽ οἶδε μὲν αὐτὸν ἐκ τῶν ἐνεργειῶν· οἷον, παντοδύναμον, παντεπόπτην, ἀγαθὸν καὶ φιλάνθρωπον, δημιουργὸν καὶ κηδεμόνα, καὶ προνοητικόν· ἀγνοεῖ δὲ τὴν φύσιν ὁποία· οὐ μὴν διὰ τὸ ἀγνοεῖν τὴν οὐσίαν Θεοῦ, μὴ δὲ ὅτι Θεός ἐστι δύναται λέγειν· τοῦτο γὰρ τῶν ἀφρόνων· "εἶπε γὰρ ἄφρων ἐν καρδίᾳ αὐτοῦ, "οὐκ ἔστι Θεός·" ἡμεῖς δὲ ὁμολογοῦμεν ὅτι Θεός ἐστι· καὶ ἐκ τῶν ποιημάτων αὐτοῦ γνωρίζειν αὐτὸν λέγομεν· τῇ δὲ οὐσίᾳ αὐτοῦ προσεγγίζειν οὐχ ὑπισχνούμεθα.

Ἐπεὶ οὖν καὶ ἡ ψυχὴ κατ᾽ εἰκόνα Θεοῦ ἐστι, διαπέφευγε τὴν ἡμετέραν κατάληψιν· καὶ ὅτι μέν ἐστιν ἐν τῷ ἀνθρώπῳ ψυχὴ, οἶδα σαφῶς, καὶ ἐκ τῶν ἁγίων γραφῶν ἔμαθον ταύτην ἀθάνατον εἶναι, κατ᾽ εἰκόνα τοῦ κτίσαντος· τί δὲ ἡ οὐσία αὐτῆς ἐστὶν, ὑπὲρ διάνοιαν τίθεμαι· καὶ οἶδα οὖν, καὶ οὐκ οἶδα· οὐ μὴν κατὰ ταυτὸν, ἀλλὰ κατ᾽ ἄλλο μὲν οἶδα, κατ᾽ ἄλλο δὲ ἀγνοῶ· καὶ εἰκότως· εἰ μὲν γὰρ καταληπτὴ ἦν ἡ τῆς εἰκόνος οὐσία, ἡ δὲ τοῦ Θεοῦ ἀκατάληπτος, ἡ ἐναντιότης τῶν ἐπιθεωρουμένων τὸ διημαρτημένον τῆς εἰκόνος διήνεγκε.

Ἐπεὶ δὲ φεύγει τὴν γνῶσιν ἡμῶν τῆς οὐσίας αὐτῆς ἡ κατά-

[x] ῥητέον vid. leg.

ληψις, τὴν ἀκατάληπτον φύσιν Θεοῦ τῷ καθ' αὐτὴν ἀγνώστῳ χαρακτηρίζει· καὶ ἀκριβῶς πρὸς τὰ ὑποκείμενα τὴν ὁμοιότητα ἔχει ὡς εἰκὼν ἀληθής· εἰ δὲ ὅτι ἄναρχός ἐστιν ὁ Θεὸς καὶ ἀτελεύτητος, ἤρξατο δὲ ἡ ψυχὴ, εἰ καὶ τέλος οὐχ ἕξει, διαπίπτει τοῦ εἶναι εἰκὼν ἀληθής· οὐ δὲ τοῦτο ἄπορον εἰς ἀπολογίαν· διατί; ὅτι εἰκόνα λεγόμεν τὸ τοῦ βασιλέως ὁμοίωμα, ἀλλὰ πολὺ διάφορον τῆς αἰσθανομένης· καὶ Θεοὶ λεγόμεθα, ἀλλ' οὐχ ὡς ὁ φύσει Θεός· καὶ οἱ υἱοὶ Ὑψίστου, ἀλλ' οὐ κατὰ τὸν μονογενῆ Υἱόν· καὶ εἰκὼν Θεοῦ, ἀλλ' οὐχ ὡς τὸ πρωτότυπον· διὰ πολλὰς αἰτίας, ἃς[x] οἴδασι μόνοι οἱ γνῶσιν ἐν συνέσει κατορθωκότες.

Ἐπεὶ οὖν τοῦθ' οὕτως ἔχει, εἴπωμεν περὶ αὐτῆς ὅσα οἱ πάλαι σοφοὶ ἐδόξασαν. οἱ μὲν γὰρ τῶν φιλοσόφων σῶμα τὴν ψυχὴν ἀποφαίνονται, οἱ δὲ ἀσώματον· κοινὴ μὲν οὖν πρὸς πάντας τοὺς λέγοντας σῶμα τὴν ψυχὴν, οἷον νοῦν, ἢ πῦρ, ἢ ὕδωρ, ἢ αἷμα, ἢ ἀέρα, ἢ εἴτι ἄλλο, ἀρκέσει τὰ παρὰ Ἀμωνίου[y] τοῦ Πυθαγορικοῦ εἰρημένα· εἰσὶ δὲ ταῦτα· "τὰ σώματα τῇ οἰκείᾳ φύσει "τρεπτὰ ὄντα καὶ σκεδαστὰ, καὶ διόλου εἰς ἄπειρον τμητὰ, "μηδενὸς ἐν αὐτοῖς ἀμεταβλήτου ὑπολειπομένου, δεῖται τοῦ "συνέχοντος καὶ συνάγοντος, καὶ ὥσπερ συσφίγγοντος καὶ "συγκρατοῦντος αὐτά· ὅπερ ψυχὴν λέγομεν· εἴτοι νῦν σῶμα "ἐστιν ἡ ψυχὴ, οἷον δήποτε, εἰ καὶ λεπτομερέστατόν τι, πάλιν "ἔστι τὸ συνέχον ἐκείνην· ἐδείχθη γὰρ πᾶν σῶμα δεῖσθαι τοῦ "συνέχοντος· καὶ οὕτως εἰς ἄπειρον· ἄλογον δὲ παντελῶς τὸ "ζητεῖν ἀρχὴν κατ' ἀρχήν· ὥστε οὐ σῶμα ἡ ψυχή."

Πρὸς δὲ τοὺς λέγοντας αὐτὴν ἀσώματον, μὴ καλῶς σκεπτομένους, ὁ Πλάτων ἀπολογείσθω "Δεῖ," λέγων, "τὸν μέλλοντα "βουλεύεσθαι καλῶς, εἰδέναι καλῶς περὶ ὅτου ἡ σκέψις, ἢ τοῦ "παντὸς ἁμαρτάνειν ἀνάγκη·" ὑμεῖς δὲ προσκρούοντες, τί διορεῖσθε; ᾧ γὰρ τὰ καθ' ἕκαστα ὁρᾶται ἔχετε· ᾧ δὲ τὰ καθόλου οὐχί· ἀλλὰ καὶ ὁ Θεολόγος Γρηγόριος, πρὸς τοῦτον φησὶ τὸν σκοπόν· "οὐδεμία φύσις ὅτι μὴ τόδε ἐστὶν, ἀλλ' ὅτι "τόδε, ἡ τοῦ ὄντος θέσις, οὐχ ἡ τοῦ μὴ ὄντος ἀναίρεσις· τὸ

[x] αἱ A. [y] sic Cod.

" γὰρ λέγειν ἀσώματον τὴν ψυχὴν, οὐχ ὅτι ἔστι δηλοῖ * * " εἴτι οὐκ ἔστι τυχὸν ὅτι σῶμα οὐκ ἔστι."

Δείναρχος δὲ ἁρμονίαν ὡρίσατο τὴν ψυχὴν εἶναι, καὶ λύραν τὸ σῶμα· ἀλλ' ἡ ἁρμονία ἐπιδέχεται τὸ μᾶλλον καὶ ἧττον, τῷ χαλᾶσθαι καὶ ἐπιτείνεσθαι· ψυχὴ δὲ ψυχῆς οὐκ ἔστι μᾶλλον καὶ ἧττον· ἀλλ' οὐ δὲ αὐτὴ ἑαυτῆς· οὐκ ἄρα ἁρμονία ἡ ψυχή. ἔτι ἡ ψυχὴ ἀρετὴν καὶ κακίαν ἐπιδέχεται καὶ ἁρμονίαν, εὐαρμοστίαν καὶ ἀναρμοστίαν οὐκ ἐπιδέχεται, οὐκ ἄρα ἡ ψυχὴ ἁρμονία· ἔτι ἡ ψυχὴ τῷ ἐπιδέχεσθαι τὰ ἐναντία παρὰ μέρος, οὐσία ἐστὶ καὶ ὑποκείμενον· ἡ δὲ ἁρμονία ποιότης, καὶ ἐν ὑποκειμένῳ· οὐκ ἄρα ἁρμονία ἡ ψυχή.

Γαληνὸς δὲ ἀποφαίνεται μὲν οὐδὲν περὶ ψυχῆς· ἐκ δὲ τῶν Ἱπποκράτους λόγων κατασκευάζει κρᾶσιν εἶναι αὐτήν· εἰ δὲ τοῦτο, δηλονότι καὶ θνητὴν οἴεται αὐτήν· ὅτι δὲ οὐ δύναται τοῦ σώματος ἡ κρᾶσις εἶναι ψυχὴ, δῆλον ἐντεῦθεν· πᾶν σῶμα, ἔμψυχόν τε καὶ ἄψυχον, ἐκ τῶν τεσσάρων στοιχείων κέκραται, ἡ γὰρ τούτων κρᾶσις τὰ σώματα ἀπεργάζεται· εἰ τοίνυν ἡ κρᾶσις τοῦ σώματος ἔστιν ἡ ψυχὴ, οὐδὲν ἄψυχον ἔσται, καὶ συνάγεται ὁ λόγος οὕτως· εἰ ἡ κρᾶσις τοῦ σώματος ψυχή ἐστι· πᾶν δὲ σῶμα κρᾶσιν ἔχει· καὶ πᾶν σῶμα δηλονότι ψυχὴν ἔχει· εἰ δὲ πᾶν σῶμα ψυχὴν ἔχει, οὐδὲ ἓν σῶμα ἐστὶν ἄψυχον, οὔτε λίθος ἄρα, οὔτε ξύλον, οὔτε σίδηρος, οὔτε ἄλλο τι ἄψυχον ἔσται· ἔτι εἰ ἡ ψυχὴ κρᾶσις ἐστὶν, αἱ δὲ κράσεις ἐναλλάσσονται, κατά τε τὰς ἡλικίας, καὶ τὰς ὥρας, καὶ τὰς διαίτας, ἡ ψυχὴ ἄρα ἐναλλάσσεται· εἰ δὲ ἐναλλάσσεται, οὐ τὴν αὐτὴν ἔχομεν ψυχήν· ἀλλὰ ποτὲ μὲν λέοντος, ποτὲ δὲ προβάτου, ἢ ἄλλου τινὸς ζώου· ἔτι ἡ κρᾶσις οὐκ ἐναντιοῦται ταῖς ἐπιθυμίαις τοῦ σώματος, ἀλλὰ καὶ συνεργεῖ· αὕτη γάρ ἐστιν ἡ κινοῦσα· ἡ δὲ ψυχὴ ταῖς ἐπιθυμίαις ἐναντιοῦται· οὐκ ἄρα κρᾶσις ἡ ψυχή· ἔτι εἰ κρᾶσις ἔστιν ἡ ψυχὴ, ἡ δὲ κρᾶσις ποιότης· ποιότης δὲ, καὶ γίνεται, καὶ ἀπογίνεται, χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς, καὶ ἡ ψυχὴ ἄρα χωρισθήσεται καὶ οὐ φθαρήσεται τὸ σῶμα· τοῦτο δὲ οὐκ ἀληθές· οὐκ ἄρα κρᾶσις, οὐδὲ ποιότης ἡ ψυχή· ἔτι παντὸς σώματος αἱ ποιότητες αἰσθηταί εἰσιν, ἡ δὲ

ψυχὴ οὐκ αἰσθητὴ, ἀλλὰ νοητή· οὐκ ἄρα ποιότης ἀσώματος ἡ ψυχή.

Πρὸς δὲ τοὺς λέγοντας, ἁρμονίαν τῆς ὑγείας, καὶ τῆς ἰσχύος, καὶ τοῦ κάλλους εἶναι τὴν ψυχὴν, οὕτω συλλογιζόμεθα· εἰ ἡ ἁρμονία τῆς ἰσχύος, καὶ τῆς ὑγείας, καὶ τοῦ κάλλους ψυχή ἐστιν, ἀνάγκη ἦν τὸν ἄνθρωπον μήτε νοσεῖν, μήτε ἀσθενεῖν, μήτε ἄμορφον εἶναι· συμβαίνει δὲ πολλάκις, οὐ μίαν μόνην ἀλλ' ὁμοῦ τὰς τρεῖς ταύτας εὐκρασίας ἀπόλλυσθαι, καὶ ζῆν τὸν ἄνθρωπον· συμβαίνει γὰρ τὸν αὐτὸν ὁμοῦ καὶ ἄμορφον εἶναι, καὶ ἀσθενεῖν, καὶ νοσεῖν· οὐκ ἄρα εὐκρασία τοῦ σώματος ἔστιν ἡ ψυχή.

Πῶς οὖν φασὶ φυσικαί τινες κακίαι καὶ ἀρεταὶ τοῖς ἀνθρώποις ἕπονται; τοῦτο ἐκ τῆς τοῦ σώματος ἀληθεστέρας κράσεως γίνεται· ὡς γὰρ φυσικῶς ὑγιεινοὶ καὶ νοσώδεις εἰσί τινες ἐκ τῆς κράσεως, οὕτως τινὲς φυσικῶς πικρόχυλοι ὄντες ὀργίλοι εἰσὶν, ἄλλοι δὲ δειλοί· ἄλλοι καταφερεῖς· ἀλλ' ἔνιοι κρατοῦσι καὶ περιγίνονται· δῆλον δὲ ὅτι τῆς κράσεως κρατοῦσιν· ἄλλο δέ ἐστι τὸ κρατοῦν, καὶ ἄλλο τὸ κρατούμενον· ἄλλο ἄρα κράσις, καὶ ἄλλο ψυχή· ὄργανον γὰρ ὂν τὸ σῶμα τῆς ψυχῆς, ἐὰν μὲν ἐπιτηδείως κατασκευασθῇ, συνεργεῖ τῇ ψυχῇ· ἂν δὲ ἀνεπιτηδείως ἐμποδίζει· καὶ τότε χρεία τῇ ψυχῇ πραγμάτων ἀπομαχομένῃ πρὸς τὴν ἀνεπιτηδειότητα τοῦ ὀργάνου, καὶ ἐὰν μὴ σφόδρα νήφῃ καὶ συνδιαστρέφηται αὐτῷ, καθάπερ μουσικὸς συνεξαμαρτάνει τῇ τῆς λύρας διαστροφῇ, ἐὰν μὴ πρότερον αὐτὴν καταστήσῃ καλῶς· διὸ καὶ χρεία τῇ ψυχῇ τῆς ἐπιμελείας τοῦ σώματος, ἵνα καταρτίσῃ αὐτὸ ὄργανον ἐπιτήδειον ἑαυτῇ· τοῦτο δὲ ποιεῖ διά τε τῶν λόγων καὶ τῶν ἠθῶν, ὡς ἐν ἁρμονίᾳ· τὰ μὲν χαλῶσα, τὰ δὲ ἐπιτεινάσα, ἵνα ἁρμόδιον αὐτὸ ἑαυτῇ κατασκευάσῃ, καὶ χρήσηται ἐπιτηδείῳ ὀργάνῳ.

Ἀριστοτέλης δὲ ἐνδελεχείαν λέγων τὴν ψυχὴν, οὐδὲν ἧττον συμφέρεται τοῖς ποιότητα λέγουσιν αὐτήν· Πυθαγόρας δὲ, ἀριθμὸν ἑαυτὸν κινοῦντα· Ξενοκράτης δὲ, καὶ ἀριθμὸν συνεχῆ, καὶ ἀναθυμίασιν τοῦ παντός· οἱ δὲ Μανιχαῖοι ἀθάνατον αὐτὴν καὶ ἀσώματον λέγουσι· μίαν δὲ μόνην εἶναι τὴν τῶν πάντων

ψυχὴν κατακερματιζομένην καὶ κατατεμνομένην εἰς τὰ καθ' ἕκαστα σώματα ἔμψυχα καὶ ἄψυχα· ὁ δὲ Πλάτων καὶ μίαν εἶναι καὶ πολλὰς ψυχὰς ἀποφαίνεται· Κρόνιος δὲ καὶ Πορφύριος πάντα τὰ εἴδη λέγουσι μιᾶς ψυχῆς πέλειν· Ἰάμβλιχος δὲ τὴν ἐναντίαν τούτοις δραμὼν, καθ' ἓν εἶδος ζώου ψυχῆς εἶδος εἶναι λέγει.

Ἀλλ' ἡμεῖς τούτους ἐάσαντες ὑπ' ἀλλήλων ἀνατρέπεσθαι, ἀρκεσθῶμεν πρὸς ἀπόδειξιν τῆς ἀθανασίας αὐτῆς ἐκ τῆς θεοπνεύστου γραφῆς· τὸ πίστον καὶ βέβαιον ἐξ ἑαυτῆς ἐχούσης, διὰ τὸ εἰρῆσθαι παρὰ Χριστοῦ καὶ τῶν αὐτοῦ μαθητῶν· εἰ γὰρ μηδέν ἐστι τῶν φθειρομένων, ἔστι δὲ ἄφθαρτος, ἔστι καὶ ἀθάνατος· λέγουσι δέ τινες περὶ τῆς ἑνώσεως αὐτῆς, ὅτι πάντα τὰ συνιόντα εἰς μιᾶς οὐσίας ὑπόστασιν, διαπαντὸς ἑνοῦται· πάντα δὲ τὰ ἑνούμενα ἀλλοιοῦται, καὶ οὐ μένει ἃ πρότερον ἦν, ὡς ἐπὶ οἴνου καὶ ὕδατος· πῶς ἢ τὸ σῶμα ἡνώμενον τῇ ψυχῇ, ἔτι μένει σῶμα, ἢ πάλιν ἡ ψυχὴ ἀσώματος οὖσα καὶ οὐσιώδης καθ' ἑαυτὴν, πῶς ἑνοῦται σώματι, καὶ μέρος γίνεται ζώου, σώζουσα τὴν ἰδίαν οὐσίαν ἀσύγχυτον καὶ ἀδιάφθορον; ἀνάγκη γὰρ, ἢ ἡνῶσθαι τὴν ψυχὴν καὶ τὸ σῶμα, καὶ συνηλλοιῶσθαι ἀμφότερα, ἢ παρακεῖσθαι, ὡς χορευτὰς ἐν χορῷ, ἢ ψῆφον ἐν ψήφῳ· ἢ εἰ ἀσώματός ἐστι, πῶς χωρίζεται ἀπὸ τοῦ σώματος; οὐδὲν γὰρ ἀσώματον ἀπὸ σώματος χωρίζεται· οὐδὲ γὰρ ἐφάπτεται σώματος ἀσώματον· ἡ δὲ ψυχὴ καὶ ἐφάπτεται καὶ χωρίζεται τοῦ σώματος.

Λέγομεν οὖν, ὅτι τὸ μὲν χωρίζεσθαι τὴν ψυχὴν ἀπὸ τοῦ σώματος ἐν τῷ θανάτῳ, ἀληθές ἐστι· τὸ δὲ μὴ ἐφάπτεσθαι ἀσώματον σώματος, ψεῦδος μέν ἐστι καθόλου λεγόμενον, ἐπὶ δὲ τῆς ψυχῆς ἀληθές· οὐ δὲ γὰρ ἐφάπτεται τοῦ σώματος ἡ ψυχή· ψεῦδος μὲν, ἐπειδὴ καὶ ἡ γραμμὴ ἀσώματος οὖσα ἐφάπτεται τοῦ σώματος καὶ χωρίζεται, ὁμοίως καὶ ἡ λευκότης· ἐπὶ δὲ τῆς ψυχῆς ἀληθὲς, οὐ δὲ γὰρ ἐφάπτεται τοῦ σώματος ἡ ψυχή· εἰ γὰρ ἐφάπτεται, δηλονότι παράκειται αὐτῷ· ἀδύνατον δὲ ἀσώματον σώματι, ὅλον ὅλῳ παρακεῖσθαι· ὥστε οὐδὲ ἔμψυχον ἔσται

ὅλον τὸ ζῶον· εἰ δέ ἐστιν ὅλον ἔμψυχον, οὔτε ἐφάπτεται καὶ χωρίζεται, ἀσώματος οὖσα.

Εἰ δὲ μὴ ἥνωται φησὶ, μήτε παράκειται, μήτε κέκραται, τίς ὁ λόγος τοῦ ζώου ἓν λέγεσθαι, ὅτι ἐπὶ μὲν τῶν σωμάτων, ἡ ἕνωσις ἀλλοίωσιν τῶν συνιόντων πάντων ἐργάζεται, ἐπειδήπερ εἰς ἄλλα σώματα μεταβάλλεται· ὡς τὰ στοιχεῖα εἰς τὰ συγκρίματα, καὶ αἱ τροφαὶ εἰς αἷμα, τὸ δὲ αἷμα εἰς σάρκα καὶ τὰ λοιπὰ μόρια τοῦ σώματος; ἐπὶ δὲ τῶν νοητῶν ἕνωσις μὲν γίνεται, ἀλλοίωσις δὲ οὐ παρακολουθεῖ· οὐ γὰρ πέφυκε νοητὸν κατ' οὐσίαν ἀλλοιοῦσθαι· καὶ ἡ ψυχὴ ζωὴ οὖσα, εἰ ἐν τῇ κράσει ἢ ἑνώσει μετεβάλλετο, ἠλλοιώθη ἂν καὶ οὐκ ἦν ζωή· τί δὲ συνεβάλλετο τῷ σώματι, εἰ μὴ παρεῖχεν αὐτῷ τὴν ζωήν; καὶ ἥνωται τοίνυν ἡ ψυχὴ ἐν τῷ σώματι, καὶ ἀσυγχύτως ἥνωται.

Ὅτι μὲν γὰρ ἥνωται δείκνυσιν ἡ συμπάθεια· ὅτι δὲ καὶ ἀσύγχυτος μένει, οὐκ ἀγνοεῖται· ὅταν γάρ τι καθ' ἑαυτὰ τῶν ὄντων ἐπισκέπτεται τοῦ σώματος, ὡς οἷοντε ἑαυτὴν χωρίζουσα τοῦτο ποιεῖ· ἀσώματος γὰρ οὖσα, δι' ὅλου κεχώρηκεν εἰς τὰ συνεφθαρμένα· καὶ ἀφεῖσα ταῦτα μένει ἀδιάφθορος καὶ ἀσύγχυτος· καὶ τὸ καθ' ἑαυτὴν καθαρὸν ἐνδιασώζουσα, καὶ ἐν οἷς γένηται τρέπουσα κατὰ τὴν ἑαυτῆς ζωὴν, καὶ ὑπ' ἐκείνων μὴ τρεπομένη· ὡς γὰρ ὁ ἥλιος τῇ παρουσίᾳ τὸν ἀέρα εἰς φῶς μεταβάλλει, ποιῶν αὐτὸν φωτοειδῆ, καὶ ἑνοῦται τῷ ἀέρι τὸ φῶς, ἀσυγχύτως ἅμα αὐτῷ καὶ κεχυμένως· τὸν αὐτὸν τρόπον καὶ ἡ ψυχὴ ἑνουμένη σώματι, μένει πάλιν ἀσύγχυτος· κατὰ τοῦτο μόνον διαλλάττουσα, ὅτι ὁ μὲν ἥλιος σῶμα ὤν, καὶ τόπῳ περιγραφόμενος, οὐκ ἔστι πανταχοῦ ἔνθα καὶ τὸ φῶς αὐτοῦ, ὡς οὐδὲ τὸ πῦρ· μένει γὰρ καὶ αὐτὸ ἐν τοῖς ξύλοις, ἢ ἐν τῇ θρυαλλίδι δεδεμένον, ὡς ἐν τόπῳ· ἡ ψυχὴ δὲ ἀσώματος οὖσα, καὶ μὴ περιγραφομένη ἐν τόπῳ, ὅλη δι' ὅλου χωρεῖ μετὰ τοῦ φωτὸς αὐτῆς, καὶ γράφεται τὰς οὐσίας τοῦ σώματος· καὶ οὐκ ἔστι μέρος φωτιζόμενον ὑπ' αὐτῆς, ἐν ᾧ μὴ ὅλη πάρεστιν· οὐ γὰρ κρατεῖται ὑπὸ τοῦ σώματος, ἀλλ' αὐτὴ κρατεῖ τὸ σῶμα· ἐπεὶ οὐδὲ ἐν τῷ σώματί ἐστιν, ὡς ἐν ἀγγείῳ ἢ ἀσκῷ, ἀλλὰ μᾶλλον

τὸ σῶμα ἐν αὐτῇ· εἰ γὰρ καὶ ὁ προφήτης ἐξαγαγεῖν αὐτὴν ἐκ φυλακῆς τὸν Θεὸν εὔχεται, ἀλλ' οὐχ ὡς τὸ σῶμα εἰδὼς φυλακὴν, ὡς ἐν ἐξορίᾳ[z] δὲ καὶ φυλακῇ ἐν τῷ βίῳ ὑπάρχων· μὴ κωλυόμενα γὰρ ὑπὸ τῶν σωμάτων τὰ νοητὰ, ἀλλὰ καὶ διὰ παντὸς τοῦ σώματος χωροῦντα, καὶ διαφοιτῶντα, καὶ διεξίοντα, οὐχ οἷα τέ ἐστιν ἀπὸ τοῦ τόπου σωματικῶς κατέχεσθαι· τοιαύτη γὰρ τῶν νοητῶν φύσις ἀσώματος καὶ ἀμέριστος, καὶ ἀλλήλοις, καὶ σώμασι μίγνυσθαι· ἐκ τούτου γὰρ οἶμαι καὶ τὴν ψυχὴν ὑπὸ τῶν δαιμόνων πλήττεσθαι, ὑπὸ λογισμῶν πονηρῶν καὶ βλασφημιῶν, καὶ ὧν οὐδὲ θέμις εἰπεῖν, ἢ ἐκνοῆσαι, καὶ μάλιστα Χριστιανὸν ὄντα.

Τὴν μέντοι ἀθανασίαν αὐτῆς καὶ Πλάτων ἐκ τοῦ ἀεικινήτου αὐτῆς συλλογίζεται οὕτως· "ἡ ψυχὴ," φησὶν, "ἀεικίνητός "ἐστι· τὸ ἀεικίνητον ἀθάνατον· ἡ ψυχὴ ἄρα ἀθάνατος· καὶ "ἐπειδὴ ἀθάνατός ἐστιν ἡ ψυχὴ, εἰσὶν ἀμοιβαὶ τῶν φαύλων "καὶ ἀγαθῶν πράξεων· εἰ δὲ εἰσὶν ἀμοιβαὶ, ἔστι τὸ δικαζό- "μενον καὶ δικάζον· εἰ δὲ ἔστι τὸ δικαζόμενον καὶ δικάζον, "ἔστι προνοητὸν καὶ πρόνοια· εἰ δὲ ταῦτα, ἀθάνατος ἄρα ἡ "ψυχή."

Ὁ δὲ μέγας Βασίλειος φησίν· "ἀόρατον εἶναι τὸν Θεὸν "πίστευε, ἐπεὶ καὶ ἡ ψυχὴ ἀόρατος ἐστίν· οὔτε γὰρ κέχρω- "σται, οὔτε ἐσχημάτισται, οὔτέ τινι χαρακτῆρι σωματικῷ "περιείληπται· ἀλλ' ἐκ τῶν ἐνεργειῶν γνωρίζεται μόνον· ἔχει "δὲ διπλᾶς ἐνεργείας κατὰ μίμησιν Θεοῦ, ὡς εἰκὼν οὖσα "αὐτοῦ· καὶ γὰρ ὁ Θεὸς διπλᾶς ἔχει τὰς ἐνεργείας· τὰς μὲν "γνωστικὰς πάντων τῶν ὄντων, τὰς δὲ προνοητικὰς τῶν κατα- "δεεστέρων ἡμῶν· οὕτως οὖν καὶ τῆς ψυχῆς διτταὶ εἰσὶν ἐνέρ- "γειαι· αἱ μὲν γνωστικαὶ, οἷον νοῦς, δόξα, διάνοια, φαντασία· "αἱ δὲ ζωτικαὶ καὶ ὀρεκτικαί· οἷον, βούλησις, θυμὸς καὶ ἐπι- "θυμία· ἀλλὰ τὴν μὲν ζωτικὴν δύναμιν ἐπισυγκέκραται τῷ "σώματι ἡ ψυχὴ φυσικῶς διὰ τὴν σύγκρασιν, καὶ οὐκ ἐκ προ- "αιρέσεως χορηγεῖ· ὥσπερ γὰρ ἥλιον οὐχ οἷόν τε ἐπιλάμψαντα "μὴ φωτίσαι τοῦτο καθ' οὗ τὰς αὐγὰς ἤνεγκεν, οὔτε ψυχὴν

[z] ὀξορία Cod. A.

" ἀμήχανον μὴ ζωογονεῖν καὶ ζωοποιεῖν τὸ σῶμα, ᾧ ἂν ἐγγέ- " νηται· ἡ δὲ θεωρητικὴ δύναμις ἐν προαιρέσει ἔχει τὴν κίνη- " σιν· βλέψις μὲν γὰρ τοῦ σώματος ὀφθαλμὸς, ὅρασις δὲ τῆς " ψυχῆς ὁ συμφυὴς αὐτῇ νοῦς· ἀλλ' οὐχ ὡς ἕτερον ἐν ἑτέρῳ, " ἀλλὰ ταυτὸν ψυχή τε καὶ νοῦς· δύναμις ὑπάρχων φυσική " τις καὶ οὐκ ἐπείσακτος τῷ λογιστικῷ τῆς ψυχῆς."

Ὁ δὲ Ἀριστοτέλης, " τὸν μὲν δυνάμει νοῦν συγκατασκευ- " άσθαι τῷ ἀνθρώπῳ· τὸν δὲ ἐνεργῆ[a] θύραθεν ἡμῖν ὑπεισιέναι, " ἀλλ' εἰς προκοπὴν τῆς τῶν φυσικῶν γνώσεως καὶ θεωρίας " συμβαλλόμενον· τέλειον οὖν ὁ ἡμέτερος νοῦς καὶ ἡγεμονικόν· " ἀλλὰ ψυχῆς καὶ σώματος διὰ τὴν προκοπὴν τῆς γνώσεως " καὶ θεωρίας."

Πλάτων δὲ οὐ δοκεῖ λέγειν, τὸν ἄνθρωπον εἶναι τὸ συναμφότερον ψυχὴν καὶ σῶμα, ἀλλὰ ψυχὴν σώματι τοιῷδε χρωμένην, ἀξιοπρεπέστερον φανταζόμενος τὰ κατὰ τὸν ἄνθρωπον· καὶ αὐτὸς ἡμᾶς ἐπιστρέφων ἐπὶ τὴν τῆς ψυχῆς μόνην θειότητα καὶ ἐπιμέλειαν, ἵνα τὴν ψυχὴν ἑαυτοῖς εἶναι πιστεύοντες, τὰ τῆς ψυχῆς ἀγαθὰ μεταδιώκωμεν, τὰς ἀρετὰς καὶ τὴν εὐσέβειαν· καὶ μὴ τὰς τοῦ σώματος ἐπιθυμίας ἀγαπήσωμεν, ὡς οὐκ οὔσας ἀνθρώπου, ἀλλὰ ζώου μὲν προηγουμένως, ἀνθρώπου δὲ ἑπομένως.

Τοῦτον τὸν λόγον φιλοσοφήσας ποτὲ κακῶς ὁ Ἀμβρακιώτης, ὡς ἄμεινόν ἐστι τῇ ψυχῇ ὁ χωρισμὸς τοῦ σώματος, πήδημα ἀπετέλεσε, φόνου ἑαυτῷ γενόμενος αἴτιος, καθὼς ὁ Θεολόγος Γρηγόριος φησί· " τὸ Κλεομβρότου πήδημα τοῦ Ἀμβρακιώ- " του τὸ ἐν τῷ περὶ ψυχῆς λόγῳ φιλοσοφηθὲν," ὡς καὶ ἀλλαχοῦ φησί· " ψυχὴ μὲν γὰρ ὀνόματι θηλυκῷ προσαγορεύεται, " πάσης δὲ θηλυδριώδους φύσεως ἀφέστηκεν· οὔτε ἄῤῥεν οὔτε " θῆλυ κατ' οὐσίαν ὑπάρχουσα· ἀλλ' ὁ μὲν Θεὸς ἐπιλάμπει " αὐτῇ τὸν φωτισμὸν, ἡ δὲ ἐπιλάμπεται· ὅπερ γάρ ἐστι τοῖς " αἰσθητοῖς ἥλιος, τοῦτο τοῖς νοητοῖς Θεός· ὁ μὲν γὰρ τὸν " ὁρώμενον κόσμον φωτίζει, ὁ δὲ τὸν ἀόρατον· ἀόρατος ἄρα ἡ " ψυχή· οὐχὶ τῷ Θεῷ καὶ ἀγγέλοις, ἀλλ' ἡμῖν τοῖς ἐκ πηλοῦ

[a] τὸν δὲ ἐνερ. A.

“ *πᾶσι διηρτισμένοις· οἱ δὲ μικρὸν ὁ καθ' ἕνα ὠνομάσθημεν κόσμος· κόσμος δὲ, ὁ πάντα ἐν ἑαυτῷ διατεταγμένα ἔχων καὶ κεκοσμημένα· κόσμον δὲ μικρὸν τὸν ἄνθρωπον λέγουσιν, ὡς πρὸς τὸν αἰσθητὸν τοῦτον καὶ μέγαν· πλὴν ἀλλ' εἰ καὶ μέγας οὗτος ἔστι καὶ ἐπαινετὸς, καὶ τῆς τοῦ Θεοῦ δόξης καὶ δυνάμεως ὑφηγητὴς καὶ διδάσκαλος καθ' ἑκάστην ὡς ἐπαινέτης σιγῶν τὰς μεγαλουργίας καὶ διαπρύσιος κήρυξ· ἀλλὰ ἀτιμότερος τοῦ μικροῦ καὶ αἰσθητοῦ κατὰ πολὺ ὑπάρχει· ὡς ὁ μὲν αἰσθητικὸς, ὁ δὲ αἰσθητός· καὶ ὁ μὲν ἀκτὸς, ὁ δὲ αὐτεξούσιος· καὶ ὁ μὲν ξένος Θεοῦ, ὡς ὑπὸ τὴν αἴσθησιν, ὁ δὲ οἰκεῖος Θεῷ καὶ νοερᾶς φύσεως· καὶ ὡς κρᾶμα ἐξ ἀμφοτέρου, καὶ σοφίας μείζονος γνώρισμα, καὶ τῆς περὶ τὰς φύσεις πολυτελείας· καὶ ὡς ὁ μὲν κόσμος ἕνεκα τοῦ ἀνθρώπου· ὁ ἄνθρωπος δὲ, ἵνα μένῃ καὶ δοξάζῃ τὸν εὐεργέτην· εἰ δὲ ἐγὼ μὲν εἰς δόξαν Θεοῦ, ὁ κόσμος δὲ δι' ἐμὲ, ὡς ἡ πυράτρα*[b] *διὰ τὴν ἅμαξαν, ἢ ὁ πρίων διὰ τὴν θύραν,*” *ὁ Θεολόγος φησὶ,* “ *νικῶ τῇ αἰτίᾳ· ὅσον γὰρ κτισμάτων Θεὸς ὑψηλότερος, τοσοῦτον τοῦ διὰ Θεὸν ὑποστάντος ἐμοῦ, τὸ δι' ἐμὲ γενόμενον ἀτιμοτέρον· τὸ γὰρ οὗ ἕνεκα τοῦ ἕνεκα τοῦ, καὶ μεῖζον καὶ τιμιώτερον.*”

Σημαντικὸς δέ ἐστιν ὁ ἄνθρωπος τῶν δύο κόσμων, τοῦ ὁρατοῦ καὶ τοῦ ἀοράτου, τοῖς νοεῖν δυναμένοις· ἐκ δύο γὰρ σύγκειται φύσεων· ἀλλ' εἰ καὶ διττὰς ἐν ἑαυτῷ δεικνύει φύσεις, οὐ δύο φύσεις ἔστιν, ἀλλ' ἐκ τῶν δύο· ὡς γὰρ τὸ σῶμα τὸ οἷον οὖν σύγκειται μὲν ἐκ πυρὸς καὶ ἀέρος, ὕδατος καὶ γῆς· οὐκ ἔτι δὲ τὸ αὐτὸ σῶμα πῦρ εἴπῃς εἶναι, οὐδ' αὖ ἀέρα, οὔτε τι τῶν ἄλλων· ἀλλὰ τοίον δέ τι, λίθον τυχὸν ἢ ξύλον· ὁμοίως καὶ τὸ σῶμα τὸ ἔμψυχον, τὸ λογικὸν ἢ ἄλογον, οὐχ αἷμα, ἢ φλέγμα, ἢ μίαν καλέσεις τῶν χολῶν· οὐ γάρ τι ταυτὸν τοῖς ἐξ ὧν ἐστιν· ἐπεὶ δὲ διάφορος ὁ λόγος τοῦ τε συγκειμένου, τῶν τε συντεθέντων· οὕτως καὶ ὁ ἄνθρωπος, εἰ καὶ ἐκ ψυχῆς καὶ σώματός ἐστιν, ἀλλ' ἕτερόν ἐστι παρὰ τὰ ἐξ ὧν ἐστί· καὶ κατ' ἄλλο μὲν λογίζεται, κατ' ἄλλο δὲ τὸ λογισθὲν ἐναργεῖ·

[b] sic Cod.

ψυχῇ μὲν γὰρ νοερᾷ λογισάμενος, εἰ τύχοι, τοῦ οἴκου τὴν σύνθεσιν, χερσὶ τὸ νοηθὲν ἄγει εἰς πέρας.

Ὅτι δὲ ἄλλο ἐστὶ παρὰ τὰ ἐξ ὧν ἐστὶ, ὧδε σκόπει· ἐκ διαφόρων ὑλῶν τὸν οἶκον οἰκοδομοῦμεν, ἀλλ' οὐκ ἄν τις εἴπῃ, ταυτὸν ὑπάρχειν ταῖς ὑλαῖς ταῖς ἐξ ὧν ἐστιν· οὐ γὰρ ἁπλῶς λίθοι, καὶ ξύλα, καὶ τὰ λοιπὰ ὁ οἶκος ἐστὶν, εἰ γὰρ τοῦτο, πρὸ τῆς οἰκοδομῆς διῃρημένως τὰς ὑλὰς οἶκον ἄν τις δικαίως καλέσειεν· ἀλλ' ἡ τοιάδε τῶν ὑλῶν προσάλληλα σύζευξις τὸν οἶκον ἡμῖν ἀποτελεῖν πέφυκε· τοίνυν τῆς οἰκίας λυθείσης, μένουσι μὲν ὁμοίως αἱ ὗλαι τὸν οἰκεῖον ἐπέχουσαι λόγον· ἀπολωλέναι δὲ φαμὲν τὴν οἰκίαν, ἣν ἡ τοιάδε τῶν ὑλῶν σύζευξις ἀπετέλεσεν· οὕτως καὶ ἐπὶ τοῦ ἀνθρώπου· κ'ἂν γὰρ ἐκ ψυχῆς καὶ σώματος ὑπάρχῃ, οὐ ταυτὸν ἂν εἴη τοῖς ἐξ ὧν ἐστὶ, ἀλλ' ἕτερον, ὡς εἶναι τὸν ἄνθρωπον ἐξ αὐτῆς τῆς συναφείας ψυχῆς πρὸς σῶμα, τρίτον ἀποτελούμενον ἄλλο· καὶ τοῦτο δῆλον ἀφ ὧν τῆς διαζεύξεως τῆς τούτων γενομένης, μένει μὲν τὸ σῶμα οὕτως τὸν οἰκεῖον σῶζον λόγον· τριχῇ γάρ ἐστι διαστατὸν, κ'ἂν νεκρὸν ᾖ· μένει δὲ ὁμοίως ἡ ψυχὴ λογικὴ τυγχάνουσα καὶ νοερὰ, κ'ἂν διεζεύχθῃ τοῦ σώματος· ἀπόλωλε δὲ ὁ ἄνθρωπος, ὃν ἀπετέλεσεν ἑκκατέρων ἡ σύζευξις.

Τινὲς δὲ διὰ τὸ εἶναι τὸ σῶμα τριχῇ διαστατὸν, καὶ τὴν ψυχὴν εἶναι τριχῇ διαστατὴν, καὶ διὰ τοῦτο καὶ σῶμα· πρὸς οὓς φαμέν· ὅτι πᾶν μὲν σῶμα τριχῇ διαστατόν ἐστιν, οὐ πᾶν δὲ τὸ τριχῇ διαστατὸν, σῶμα· καὶ γὰρ τὸ ποιὸν καὶ τὸ ποσὸν, ἀσώματα ὄντα καθ' ἑαυτὰ, κατὰ συμβεβηκὸς ἐν ὄγκῳ ποσοῦται· οὕτως οὖν καὶ τῇ ψυχῇ, καθ' ἑαυτὴν μὲν πρόσεστι τὸ ἀδιάστατον, κατὰ συμβεβηκὸς δὲ, τῷ ἀνθρώπῳ τριχῇ διαστατῷ ὄντι, συνθεωρεῖται καὶ αὐτὴ τριχῇ διαστατή.

Λέγεται δὲ ἡ ψυχὴ πολλοῖς τῶν τοῦ σώματος παθῶν ἐγκατέχεσθαι· φαίνεται γὰρ καὶ συμπάσχουσα τῷ σώματι, καὶ προπάσχουσα· πολλάκις γὰρ τὴν τομὴν τοῦ σώματος ἀγωνιῶσα δείκνυται, καὶ πρὸ τοῦ πάθους τοῦ σώματος ἀλλοιουμένη· καὶ μετὰ τὴν τομὴν οὐδὲν ἔλαττον τὰ τῆς ὀδύνης δεχομένη· καὶ νοσοῦντι μὲν συννοσεῖ, καὶ τεμνομένῳ συνοδυνᾶται· καὶ αἰσχυ-

νομένη ἐρυθρὸν εἶδος δείκνυσι, καὶ φοβουμένη ὠχρόν· οὐδὲν δὲ ἀσώματον συμπάσχει σώματι· οὐδὲ ἀσωμάτῳ σῶμα· συμπάσχει δὲ ἡ ψυχὴ τῷ σώματι· σῶμα ἄρα ἡ ψυχή. ἔστι δὲ κατὰ πρόληψιν ἐγκείμενον τὸ λέγον λῆμμα, οὐδὲν ἀσώματον σώματι συμπάσχει· τί γὰρ εἰ μόνῃ τῇ ψυχῇ τοῦτο πρόσεστι; πλὴν ἀλλ' ἀμφιβάλλεται, εἴτε τὸ σῶμα μόνον ἐστὶ τὸ ἀλογοῦν λαβὸν παρὰ τῆς ψυχῆς τὴν αἴσθησιν· αὐτὴ δὲ μένει ἀπαθής· εἴτε καὶ συναλγεῖ τῷ σώματι· καὶ κρατεῖ μᾶλλον παρὰ τοῖς ἐνδοξοτέροις τὸ πρότερον.

Δείκνυται δὲ καί τινα ἀσώματα συμπάσχοντα τοῖς σώμασι· αἱ ποιότητες γὰρ ἀσώματοι οὖσαι, πασχόντων τῶν σωμάτων, καὶ αὗται συμπάσχουσιν· ἔν τε τῇ φθορᾷ καὶ τῇ γενέσει συναλλοιούμεναι τῷ σώματι· ἀλλοιοῦται δὲ ἐν ψυχῇ φρόνησις, ποιότης οὖσα, ἢ συμβεβηκός· οὐ γάρ ἐστιν ἡ ψυχὴ ἐν τῇ φρονήσει, ἀλλ' ἡ φρόνησις ἐν τῇ ψυχῇ· τῆς μὲν γὰρ ψυχῆς ἀναιρουμένης, ἀναιρεῖται καὶ ἡ φρόνησις· μὴ οὔσης γὰρ ψυχῆς, ἐν τίνι ἔσται ἡ φρόνησις; φρονήσεως δὲ ἀναιρουμένης, οὐ πάντως ἀναιρεῖται ἡ ψυχή· ἐνδέχεται γὰρ εἶναι ψυχὴν ἐκτὸς φρονήσεως.

Ἔστι μὲν οὖν ἡ μὲν ψυχὴ, οὐσία καὶ ὑποκείμενον· ἡ δὲ φρόνησις, ποιότης καὶ συμβεβηκός· συμβεβηκὸς δέ ἐστιν, ὃ γίνεται καὶ ἀπογίνεται χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς· τὸ γοῦν τῆς οὐσίας ὄνομα σημαντικὸν ὑπάρχει τῆς ἁπλῶς τῶν ὄντων ὑπάρξεως· τουτέστιν τοῦ αὐτοῦ τοῦ ἁπλῶς εἶναι· λέγονται γὰρ εἶναι πάντα τὰ ὄντα, ἤγουν ἄγγελοι, καὶ ψυχαὶ, καὶ ζῶα, καὶ φυτὰ, καὶ λίθοι· τούτου οὖν κοίνως πάντα τὰ ὄντα μετέχει· σημαντικὸν ἄρα ἔστι τοῦ εἶναι τὸ τῆς οὐσίας ὄνομα· τὸ δὲ τῆς φύσεως ὄνομα δηλωτικὸν τυγχάνει τῆς ἁπλῶς τῶν ὄντων κινήσεως· πάντα γὰρ ἐν κινήσει ὁρᾶται, καὶ οὐδὲν ἔστιν ἀκίνητον τῶν γεγονότων· οὐσίαν οὖν καλοῦσι τὴν ἁπλῶς τῶν ὄντων ὕπαρξιν· φύσιν δὲ αὐτὴν τὴν ἁπλῶς τῶν ὄντων κίνησιν.

Πεντάτροπος δὲ αὕτη· ἢ γὰρ νοερὰ τυγχάνει, ἢ λογικὴ, ἢ αἰσθητικὴ, ἢ φυτικὴ, ἢ ἄψυχος· καὶ νοερὰ μὲν, ὡς ἐπὶ τῶν ἀγγέλων, ἐξ αὐτῶν τῶν νοημάτων ἀλλήλοις συγγινομένων· λο-

γική δὲ, ὡς ἐπὶ τῶν ἀνθρώπων, δι' ὀνομάτων καὶ ῥημάτων τὰ ἀφανῆ τῆς ψυχῆς κινήματα πρὸς τοὺς ἐκτὸς δημοσιεύουσα· αἰσθητικὴ δὲ, ἡ ἐν τοῖς ἀλόγοις θεωρουμένη· πρὸς γὰρ τῇ θρεπτικῇ, καὶ αὐξητικῇ, καὶ γεννητικῇ δυνάμει, καὶ τὴν αἰσθητικὴν κέκτηται τὰ ἄλογα ζῶα· φυτικὴ δὲ ἡ ἐν τοῖς φυτοῖς· κινοῦνται γὰρ καὶ αὐτὰ κατὰ τὰς αὐτὰς δυνάμεις· ἄψυχα δὲ, καθὸ καὶ αὐτὰ κινοῦνται κατὰ τὸ ποιὸν καὶ τὸ ποῦ· καὶ κατὰ τὸ ποιὸν μὲν, κατὰ τὸ θερμαίνεσθαι καὶ ψύχεσθαι· κατὰ τὸ ποῦ δὲ, κατὰ τὴν ἐκ τόπου εἰς τόπον ἑτεροκίνητον μετάστασιν· ὁρίζονται δὲ τὴν μὲν οὐσίαν, πρᾶγμα αὐθύπαρκτον μὴ δεόμενον ἑτέρου πρὸς σύστασιν· τὴν φύσιν δὲ, ἀρχὴν τῆς ἑκάστου τῶν ὄντων κινήσεως καὶ ἠρεμίας.

Λέγεται δὲ φύσις παρὰ τὸ πεφυκέναι· ἡ δὲ οὐσία παρὰ τὸ εἶναι· τὸ δὲ εἶναι καὶ πεφυκέναι ταυτόν ἐστιν· ἡ δὲ ὑπόστασις οὐ μόνον τὸ εἶναι δηλοῖ, ἀλλὰ καὶ τὸ πῶς ἔχει, καὶ τὸ ὁποῖόν τι εἶναι παρίστησιν· οἷον, ὁμοῦ πάντες οἱ ἄνθρωποι κοινὸν ἔχουσι τὸ εἶναι· καὶ γὰρ ὡσαύτως πάντες ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν· ἔχει δὲ ἕκαστος ἡμῶν ἴδια τινὰ, οἷς τῶν ἄλλων ἀνθρώπων χωρίζεται· οἷον, πατρίδα, γένος, κλῆσιν, ἐπιτήδευμα, πράξεις, πάθη, εὐείδειαν ἢ δυσείδειαν, καὶ τὰ τοιαῦτα, ἃ καὶ συμβεβηκότα καλοῦμεν· ταῦτα οὖν ἅπαντα, περὶ τὴν ὑπόστασιν θεωροῦνται, καὶ τὸ αὐτὸ πρᾶγμα· οἷον, Μελέτιος, ὅταν τὸ εἶναι αὐτοῦ μόνον σκοπῆται, τότε οὐσία λέγεται· ὅταν μετὰ τῶν προλεγομένων, τότε καὶ ὑπόστασις, ἢ ἄτομον· τὸ οὖν αὐτὸ ὑποκείμενον καὶ οὐσία ἐστὶ, καὶ ὑπόστασις· τὸ μέντοι τῆς οὐσίας ὄνομα οὐ συμπαραλαμβάνει καὶ τὴν ὑπόστασιν· τὸ δὲ τῆς ὑποστάσεως πάντα ἔχει καὶ τὴν οὐσίαν.

Ὁρίζονται οὖν τὴν ὑπόστασιν οὕτως· ὑπόστασίς ἐστι πρᾶγμα ὑφεστὼς τὲ καὶ οὐσιῶδες, ἐν ᾧ τὸ τῶν συμβεβηκότων ἄθροισμα ὡς ἐν ὑποκειμένῳ πράγματι καὶ ἐνεργείᾳ ὑφέστηκε· παραπλησίως δὲ καὶ τὸ ἄτομον· ἄτομόν ἐστι λέγοντες, τὸ ἐξ ἰδιοτήτων συγκείμενον, ὧν τὸ ἄθροισμα ἐπ' οὐδένος ἄλλου εὑρεθήσεται· καὶ καλῶς εἴρηται τὸ ἐπ' οὐδένος ἄλλου· αἱ γὰρ ἰδιότητες Μελετίου ἀτόμου ὄντος ἐπί τινος ἄλλου νοεῖσθαι οὐ δύνανται· οἷον

τὸ εἶναι Βυζαντιαῖον· τὸ ἰατρόν· τὸ κονδόν· τὸ γλαυκόν· τὸ σιμόν· τὸ ποδαλγόν· τὸ οὐλὴν ἔχειν ἐν τῷ μετώπῳ τοίανδε· τὸ εἶναι Γρηγορίου υἱόν· ταῦτα γὰρ πάντα συναθροισθέντα ἀπετέλεσε Μελέτιον τὸν ἐμὸν, ἃ νοεῖσθαι ἐπί τινος ἄλλου ἀδύνατον· παραλλαγαὶ γὰρ τῶν ἀτόμων πολλαί.

Πάλιν δὲ ὁρίζονται πρόσωπον οὕτως· πρόσωπόν ἐστιν, ὃ διὰ τῶν οἰκείων ἐνεργημάτων τὲ καὶ ἰδιωμάτων, περιωρισμένην τῶν ὁμοφυῶν αὐτοῦ παράσχεται τὴν ἐμφάνειαν· ἡ οὖν διὰ τῆς ἐνεργείας ἐγγινομένη τινὸς ἡμῖν γνῶσις ἐκ θεωρίας, πρόσωπον τοῦτο ἐνεργοῦν καλεῖν ἡμᾶς ἐκδιδάσκει· οἷον Μελέτιος ὁ ἐμὸς, ὅτε ἑστὼς ἀναγινώσκει, ἢ φλεβοτομεῖ, ἢ καίει τινὰ, ἀποκεκριμένον ἑαυτὸν τῶν λοιπῶν δείκνυσιν ἀδελφῶν· ὥστε τὸ διὰ τῶν οἰκείων ἐνεργειῶν, τῶν λοιπῶν διαιρούμενον, ἄτομον πρόσωπον καλεῖται τοιάδε ποιοῦν· τοῦτο δὲ οὐκ ἔτι Μελετίου τυχὸν τὸ ἐνέργημα μόνον ἀποκεχειρισμένον, ἀναγινώσκειν ἢ φλεβοτομεῖν, ἀλλὰ καὶ Στεφάνου καὶ Νικολάου· λογικῆς γάρ ἐστι φύσεως τὰ τοιαῦτα ἔργα, καὶ οὐκ ἄλλης· φιλεῖ γὰρ ἀεὶ τὰ τὴν αὐτὴν ἐνέργειαν ἔχοντα τῆς αὐτῆς ὑπάρχειν οὐσίας· καὶ τὸ ἑτεροφυὲς ἐν τούτοις ἀπίθανον καὶ ἀνεπίδεκτον· τὰ ἑτερογενῆ δὲ καὶ ἑτεροφυῆ τὴν αὐτὴν ἐνέργειαν οὐκ ἄν τις ἔχειν δοίη σωφρονῶν· οὔτε γὰρ ψυχεῖ τὸ πῦρ, οὔτε θερμαίνει ὁ κρύσταλλος[d]· πολύσημος δέ ἐστι τῆς ἐνεργείας ἡ φωνή.

Λέγεται γὰρ ἐνέργεια τὸ πρῶτον ἐν νοῒ συνιστάμενον νόημα· καὶ ἔστιν ἁπλῆ καὶ ἄσχετος ἐνέργεια τοῦ νοῦ, καθ' αὑτὸν ἀφανῶς τὰ ἴδια νοήματα προβαλλομένου· ὧν χωρὶς οὐδὲ νοῦς ἂν κληθείη· λέγεται πάλιν ἐνέργεια, ἡ διὰ τῆς προφορᾶς τοῦ λόγου φανερώσης καὶ ἐξαπλώσης τῶν νενοημένων· αὕτη δὲ οὐκ ἔτι ἄσχετος καὶ ἁπλῆ, ἀλλ' ἐν σχέσει θεωρουμένη· καὶ γὰρ αὐτὴ ἡ σχέσις, ἣν ἔχει πρὸς τὸ γινόμενον ὁ ποιῶν, ἐνέργεια τίς ἐστι· καὶ αὐτὴ πάλιν τὸ ἀποτελούμενον ὁμοίως· οἷον, προεθεώρησέ μου ὁ νοῦς τὸ ἕλκος τοῦ τραύματος, ἐχειρούργησέ μου ἡ χεὶρ, καὶ ἐξεκενώθη τὸ αἴτιον· ἀπετελέσθη ὁ ἀσθενῶν ὑγιής· ἆρ' οὖν δοκεῖ σοι τούτων ἕκαστον ἐνεργὸν; τοῦ ποιοῦντος εἶναι πάντως

[d] κρύσταλ°. Cod.

ἐρεῖς· καὶ τὸ μέν ἐστι ψυχῆς ἁπλῶς τὸ νοῆσαι δηλονότι τὸ αἴτιον· τὸ δὲ ψυχῆς καὶ σώματος, οἷον τὸ χειρουργῆσαι· πλὴν τῆς ἐνεργείας ἔνεστιν ἀποτέλεσμα τὸ ἐγγενέσθαι τὸν ἀσθενοῦντα ὑγιῆ· ἐνέργειαν δὲ καὶ τὴν ζωὴν ἡμῶν τὴν κατὰ ἄνθρωπον, καθ' ἣν κινούμεθα πρὸς ὄρεξιν τροφῶν ἢ ποτοῦ, εἰπὼν οὐκ ἂν ἁμαρτῇς.

Ἐνέργεια οὖν καὶ ἡ ζωή καὶ ἡ πρώτη τοῦ ζώου ἐνέργεια· εἰ δὲ μὴ ἐνέργεια, πάντως πάθος· πάθος γὰρ ἐνέργεια, ἡ παρὰ φύσιν κίνησις· ὅπερ ἄτοπον· οὐκ οὖν ἐνέργεια πάντως ἡ ζωή· ἐνέργεια καὶ ἡ θέλησις, γέννημα οὖσα νοός· νοῦς μὲν γὰρ τῶν ἐν αὐτῷ κινήσεων καὶ ἐννοιῶν προκαταρκτικός· ποιότης δὲ κινημάτων, ἡ ἐφ' ὁτωοῦν καὶ ἐφ' ἑκάστῳ θέλησις· μονοειδής μέν τις οὖσα κατά γε τὸ εἶναι θέλησις ἁπλῶς· ταῖς δὲ τῶν πραγμάτων ποιότησι καὶ διαφοραῖς ἐξαλλασσομένη· ὅτι οὐ ταυτὸν ψυχῆς οὐσία καὶ σώματος προαίρεσις· ἀλλ' ἡ μέν ἐστιν ἔργον Θεοῦ· ἡ δὲ ἐξ ἡμῶν αὐτῶν γινομένη κίνησις πρὸς ὅπερ ἂν αὐτὴν βουληθῶμεν ἀγαγεῖν· ἡ μὲν γὰρ βούλησις ἔμφυτον, καὶ περὶ Θεοῦ· ἡ δὲ τοιάδε βούλησις ἡμέτερα, καὶ τῆς γνώμης ἡμῶν.

Βούλησις δέ ἐστι ζήτησις περὶ αὐτοπράκτων· βουλόμεθα γὰρ περὶ τῶν ἐπίσης ἐνδεχομένων· ἔστι δὲ ἐπίσης ἐνδεχόμενον, ὃ αὐτό τε δυνάμεθα ποιεῖν, καὶ τὸ ἀντικείμενον αὐτῷ· οἷον, τὸ περιπατῆσαι, καὶ μὴ περιπατῆσαι· τὸ πλεῦσαι, καὶ μὴ πλεῦσαι· ἐπὶ τούτων γὰρ καὶ τῶν ὁμοίων ἡ βούλησις· τὸ δὲ ἐκ τῆς βουλήσεως προκριθὲν προαιρετὸν ποιούμεθα· ἔστιν οὖν ἡ προαίρεσις μικτόν τι πρᾶγμα· ἐκ βουλήσεως, καὶ κρίσεως, καὶ ὀρέξεως· προαιρετὸν γάρ ἐστι τὸ ἕτερον πρὸ ἑτέρου αἱρετόν· οὐδεὶς δὲ προκρίνει τὶ μὴ βουλευσάμενος, οὐ δὲ αἱρεῖται, μὴ κρίνας· τότε οὖν προαίρεσις καὶ προαίρετον γίνεται τὸ προκριθὲν ἐκ τῆς βουλήσεως, ὅταν προσλάβῃ τὴν ὄρεξιν· συνάγεται δὲ ἐκ τούτων, προαίρεσιν εἶναι ὄρεξιν βουλευτικὴν τῶν ἐφ' ἡμῖν· τοῦ γὰρ προκριθέντος ἐκ τῆς βουλῆς ἐφιέμεθα προαιρούμενοι, ὡς κύριοι προαιρέσεως καὶ βουλῆς ὄντες· καὶ ἐξ ὑποστάτων λογικαὶ ὑποστάσεις.

Ἐνυπόστατον δέ ἐστι κυρίως, ἢ τὸ καθ' ἑαυτὸ μὲν μὴ

ὑφιστάμενον· ὥσπερ τὸ εἶδος ἡμῶν, ἤγουν ἡ φύσις τῶν ἀνθρώπων, ἐν ἰδίᾳ ὑποστάσει οὐ θεωρεῖται, ἀλλ' ἐν Ἀθανασίῳ, ἢ Μελετίῳ, ἢ Κυριακῷ τῷ χρυσογράφῳ, καὶ ταῖς λοιπαῖς τῶν ἀνθρώπων ὑποστάσεσιν, ἢ τὸ σὺν ἄλλῳ διαφόρῳ κατὰ τὴν οὐσίαν εἰς ὅλην νοὸς[e] γένεσιν συντιθέμενον· καὶ μίαν ὑπόστασιν ἀποτελοῦν ὑπόστασιν σύνθετον· οἷον, ὁ ἄνθρωπος ἐκ ψυχῆς ἐστι καὶ σώματος συντιθέμενον, καὶ οὔτε ἡ ψυχὴ μόνη γίνεται ὑπόστασις, οὔτε τὸ σῶμα, ἀλλ' ἐν ὑποστάτῳ· τὸ δὲ ἐξ ἀμφοτέρων ἀποτελούμενον ὑπόστασις ἀμφοτέρων· ἐπεὶ οὖν ὡς ὑπόστασις ἐξ ἐνυποστάτων τουτὶ τὸ νόημα συνείλεκται καὶ συντέθειται· σώματι γὰρ ζώου ἔοικεν ὁ κατὰ ἀποτάδην καὶ διεξοδικὸς λόγος· ἀναλογοῦσαν ἔχων ψυχῇ μὲν τὴν ἔννοιαν, σώματι δὲ τὴν φράσιν· δόξα Κυρίῳ τῷ Θεῷ, καὶ εὐχαριστία τῷ συνεργῷ τῶν καλῶν καὶ αἰτίῳ. ἀμήν.

e ὅλ. . ν Cod.

ΕΠΙΣΤΟΛΑΙ

ΑΝΕΠΙΓΡΑΦΟΥ ΤΙΝΟΣ ΣΟΦΩΤΑΤΟΥ ΤΑ ΜΑΛΙΣΤΑ.

I.

ΠΑΝΣΕΒΑΣΤΕ μοι αὖθι δέδοικα περὶ τῷ λόγῳ, μὴ παραστάς σου τῷ φρικτῷ βήματι αὐτίκα διαῤῥυεὶς οἴχοιτο, περὶ τῆς σῆς τέχνης ἐξεταζόμενος καὶ κρινόμενος· καὶ πρῶτον μὲν φαντάζομαί σε, ὅπως αὐτὸν τάχει φύσεως ἐξεφώδευσας, τῶν ὀμμάτων δίκην πτηνοῦ πετομένων, καὶ παραπεμπόντων εἰς νοῦν τὰ νοήματα· ἔπειτα δὲ ὅπως εἰς μέρη κατανειμάμενος τὴν τάξιν ἐσκόπεις αὐτός· καὶ τί μεν πρῶτον, τί δ' ὕστερον τέτακται καθεώρας· καὶ μετὰ τοῦτο τῶν ἐπιχειρημάτων τὴν χορηγίαν, καὶ τῆς ἐργασίας τὴν ἐξεργασίαν, καὶ τῶν ἐπὶ τούτοις ἐνθυμημάτων τὴν ἐπιφορὰν, καὶ εἰ τὰ μὲν ἦσαν εὔπορα, τὰ δὲ δριμέα, καὶ δύναμιν τῷ λόγῳ καὶ κράτος παρέχοντα.

Ταῦτα ἐνθυμούμενος, τὴν διαιρετικὴν Πλάτωνος κατ' ἄρθρα πάντα τέμνουσάν τε καὶ ἐφοδεύουσαν, ἀπὸ τῶν ὁλικωτέρων μὲν καὶ τῶν μερικωτάτων· ἢ τὸ τοῦ Προμηθέως πῦρ φανερὰ τὰ πάντα ποιοῦν, καὶ δῆλα, τὰ τέως τῷ σκότει κρυπτόμενα· ἢ τὰς Λυδίας, τὸν κίβδηλον χρυσὸν, καὶ τὸν μὴ τοιοῦτον, ἐξελεγχούσας· ἢ τὸν βαρβαρικὸν ποταμὸν, τὰ νόθα τῷ ῥεύματι παρασύροντα· ἢ τόγε ἀληθέστερον εἰπεῖν, τὸ τοῦ Θεοῦ δικαστήριον, ἐν ᾧ γυμνὰ καὶ τετραχηλισμένα τὰ πάντα γενήσεται· καὶ τὸν λόγον αὐτοῦ, τὸν μὲν ὀστέων, καὶ μυελῶν, καὶ μερισμὸν ψυχῆς διικνούμενον· φαντάζομαί σε, καὶ τὸν χαρακτῆρα τοῦ λόγου σκοπούμενον, εἰ γλαφυρός ἐστιν, ἢ ἁδρὸς, ἢ ξηρὸς, ἢ τῆς ἰσχνῆς μετέσχηκε φύσεως· εἰ κέκραται ὅλως, ἢ καὶ εὐφυῶς κέκραται, ἢ μουσικώτατα τὴν κρᾶσιν ἐκτήσατο· σὺ μὲν βούλει τἀναντία πάντα κεράννυσθαι τεχνικῶς, καὶ ὡς ὁ παρὰ Πλάτωνα δημιουργὸς, εἰς ἕνα κρατῆρα συμμίγνυσθαι οὐσίαν· ταυτότητα· ἑτερότητα· κί-

νησιν· στάσιν· εἶτ' αὖθις ἐκεῖθεν ἀποσχίζειν τὰς φύσεις, καὶ πάλιν συμμιγνύειν ὡς ἄριστα· καὶ τὸν μυελὸν ἀποδεύῃς εἰς ὕδωρ, καὶ θάλπῃς πυρὶ, ἕως οὖν εἰς ὀστοῦν συναρμόσει.

Ἡμεῖς δὲ πῶς τὸ ταπεινὸν ὑψηλῶς φράσαιμεν, καὶ τὸ ἀμελῶς κατευλωττισμένον, καὶ τῷ γοργῷ τὸ ἀνειμένον συμμίξαιμεν· καὶ τὴν χάριν τῷ διηρημένῳ πρὸς μέγεθος; καὶ τί ποιήσαιμεν πρὸς τὰς κρίσεις Λογγίνου; πρὸς τὸ Διονυσίου πολυμαθές; πρὸς τὸ εὐφυὲς Ἑρμογένους τοῦ Κίλικος; ἂν δὲ τὸ βάθος ἀφῆκας, καὶ πρὸς τὰς ἐπιφανείας ἀνενήξω τοῦ λόγου, τὴν λέξιν αὐτὴν ἐπιπορευόμενος, πάλιν ἐνταῦθα δέος παρέχεις οὐκ ἔλαττον, ὡς Φρύνιχός τις, ἢ Πολυδεύκης, διασμιλεύων ῥῆμα καὶ ὄνομα.

Τοὺς γὰρ πάντας λειμῶνας εἰς τὴν ἑαυτοῦ ψυχὴν συλλεξάμενος παντοδαπῆς ἀποπνεῖς σοφίας, καὶ γέγονας τοῖς καθ' ἡμᾶς παράδοξον ἄκουσμα, ὁ εἷς εἰς πολλοὺς διαιρούμενος, καὶ αὖθις τοὺς πολλοὺς ὀχετοὺς εἰς μίαν ἀμάραν ἐνίζων, τὴν σεαυτοῦ ψυχήν· ὥσπέρ οἱ τὴν μίαν φύσιν εἰς τὰς πολλὰς φύσεις καταμερίζοντες, καὶ τὰ πεπληθυσμένα εἰς τὰς ἐννάδας ἀνάγοντες· καὶ οὐδένα κόλπον ἀφῆκας ἀδιερεύνητον· οὐ τὸν Ἰόνιον· οὐ τὸν Ἀῤῥαβικόν·-οὐ τὸν Ἰνδικόν· οὐχ ὅσα περιλαμβάνει τὰ ἔξω στηλῶν· οὐχ ὅσα ὁ Εὔξεινος πόντος διέγραψεν· ἀλλὰ τὰ μὲν μετὰ πάντων ἱστόρηκας, τὰ δὲ αὐτὸς ἐπενήξω μόνος· πελάγη τοῖς πολλοῖς ἄπλωτα[a] καὶ ἀθέατα· τούτοις δὲ τὴν ὑπόστασιν τῶν σῶν μαθημάτων αἰνιττόμενον· εἶτά μοι λέγεις δεδοικέναι καὶ τρέμειν· ἐγὼ μὲν καὶ ἤδη τούτοις καὶ δοκῶ παραλύεσθαι· τοσοῦτον μὲν περὶ τοῦ λόγου εἴποιμ' ἄν, ὡς οὔτε πρὸς κομψότερον ἀπονένευκε, μόνον καὶ λάλον καὶ ἔξαλλον, ἀλλ' ἐναγκαλίζεται ποῦ, καὶ τὸ σεμνὸν καὶ φιλόσοφον· οὔτε πάλιν συνέσπασε τὰς ὀφρῦς, καὶ τὰς Ξενοκράτους εἰκόνας ἀσπάζεται, ὡς ἐφορίζειν σοφιστικὴν, καὶ πόῤῥω βάλλειν ῥυθμὸν καὶ συνθήκην, καὶ ῥητορείας κομψότητα· ἀλλά πως ἐνταῦθα ἐξευγενίζει τὸ ῥεῦμα ῥητορικὴ, ταῖς καθαρωτάταις ἀναχεομένη πηγαῖς· ἵνα τούτῳ μὲν τῷ λογοθέτῃ ἐκχέοιμεν καθαροῦ νέκταρος· τοῦτο

[a] ἄπλωτ Cod.

δὲ καὶ ταῖς ἰδιότισιν ἀκοαῖς ἐνσταλάττοιμεν κατάλληλον πόμα.

Τοιαῦται γὰρ αἱ ῥητορικαὶ πανδαισίαι· οὐκ ἀπὸ μόνων τῶν ἀκροτήτων, ἀλλὰ καὶ τῆς ἄλλης τύχης τοὺς δαιτυμόνας συλλέγουσαι· καὶ πλείους εἰσὶν οἱ τὰς χελῶνας ἐσθίοντες, ἢ οἱ τὰς ἐκ Φάσιδος ὄρνιθας· καὶ οἱ τὰς κνίδας ὄψον ποιούμενοι παρὰ πολὺ τῷ ποσῷ νικῶσι τῶν προφερομένων τὸν σισαμοῦντα· εἰ δέ που καὶ καλλωπίζεται καὶ μειρακιεύεται, μὴ μέμφου τῷ λόγῳ· εἰς γὰρ τὴν τοιαύτην μειρακείαν αὐτὸς ἐγὼ κατήγαγον τοῦτον, κατά τινας τόπους ἐπίτηδες αὐτὸν ὡραΐζων· πλὴν ὅσον καὶ τοῦ τούτου σωφρόνως παράπτεται· ἵνα μὴ εἰς τὸν ἄσεμνον καὶ πορνικὸν ἀποκλίνας, τοὺς ἐραστὰς θορυβήσειε· σὺ δὲ, λογιωτάτη μοι κεφαλὴ, περὶ τοῦ λόγου καὶ τοῦ γεγραφότος ἐμὲ τὸν τὰ εἰκότα πρεσβευσείας πρὸς τὸν βασιλέα τὸν ἅγιον.

II.

Ἐπιστήμην πρὸς ἐπιστήμην ἀντεξετάζων, εὑρίσκω φιλοσοφίαν παράπολυ λειπομένην ῥητορικῆς· ἄμφω μὲν γὰρ ψυχῆς λογικῆς καθεστήκατον ἔκγονα· ἀλλ' ἡ μὲν πολιτικωτέρας καὶ διακοσμεῖν ἐθελούσης τὸν ἀνθρώπινον βίον, ἡ δὲ ἀνακεχωρηκυίας καὶ συστελλομένης εἰς ἑαυτήν· ὅσον τοίνυν εἰς λόγον φιλανθρωπίας αἱ προαγαγοῦσαι τὰς τέχνας ἀμφοτέρας ἀλλήλων διήνεγκε, τοσοῦτον ῥητορικὴ φιλοσοφίας ὑπερανέστηκε· γεγονυῖα δὲ ἄμφω πηγῆς οὐ μιᾶς, ἡ μὲν ταῖς πόλεσι τῶν ἀνθρώπων ἐπιδέδωκεν ἑαυτὴν μιμουμένη, ὅθεν καὶ προελήλυθε τὸ ἀνθρώπινον δίκαιον πολυπραγμονοῦσα· καὶ τὸ σύμφερον ἐν ἅπασιν ἐφευρίσκουσα· καὶ συνηδομένη τῷ περὶ τοῖς ἀνθρώποις καλῷ.

Καὶ ἴδοις ἂν αὐτὴν, νῦν μὲν ἀγχορεύουσαν τοῖς πανηγυρίζουσι, καὶ στωμυλλομένην εὐρυθμῶς καὶ μουσικῶς· νῦν δὲ τοῖς ἀγωνιζομένοις συνεπαρήγουσαν, καὶ στεφανοῦσαν τοὺς νικητάς· καὶ εἰ μὲν ἐπ' ἄθλους ἀγάγοις αὐτὴν, οὐκ ἄπειρον εὑρήσεις ἀθλήτων ἐμπειρίας· ἀλλὰ τῇ γλώσσῃ ἅπαντας ἀνηρτήσατο, καὶ τὰς ψυχὰς ἁπάντων κατέσχε· καὶ στρογγύλλεται μὲν ταῖς περιόδοις τῶν λόγων· τοῖς δὲ τῶν νοημάτων ἐπιχειρήμασι πολλὴν ἐπισύρεται τὴν πειθώ· καὶ περισαλπίζει τὰ ὦτα, καὶ κατα-

κροτεῖ τὰς μήνιγγας· εἰς δὲ συμβουλὴν τῶν δεόντων παραληφθεῖσα τὸ μέλλον ὡς θεὸς ἐξεπίσταται, ἀποτρέπουσα μὲν τῶν ἀσυμφόρων, τὰ δὲ σύμφορα πᾶσιν ἐπιδεικνύουσα· ἡ δὲ οὐδὲν τῶν τοιούτων ἐπισταμένη περὶ κόνιν καὶ γραμμὰς τὰ πολλὰ περιστρέφεται, καὶ ἅπερ εἰς ἀνθρωπίνην πεῖραν οὐκ ἔρχεται· ἡ δὲ ἥκοντα εἰς τὸ μηδὲν συντελεῖ· καὶ ῥητορικὴ μὲν ἐπ' ἄκρων τειχέων κηρύσσεται· ἐπὶ δὲ πύλαις πόλεως θαῤῥοῦσα λέγει, καὶ θερμῶς ὑπαγορεύει τοὺς λόγους· πάρεδρος ἐστὶ βασιλεῦσι· τὰς πόλεις δημαγωγεῖ· τὰ ἀνθρώπινα διατάττεται πράγματα· καὶ τὰ ἐν ποσὶν οὐκ ἠγνόηκε, καὶ τὰ πορρώτατα διέγνωκε· φιλοσοφία δὲ τὰ πολλὰ περιχάσκει τὸν οὐρανὸν, καὶ τὰ νέρθεν φαντάζεται, καὶ διαβεβαιοῦται περὶ ὧν οὐκ ἐπίσταται· ἐπαγγελλομένη πολλὰ, καὶ ἃ μὴ διώκομεν ἄνθρωποι.

Ῥητορικῆς δὲ τὸ κάλλος εὐθύς ἐστι τοῖς ἀνθρώποις ὠφελιμώτατον· περὶ τὰς ἐπαγγελίας οὐ διαψεύδεται· τὸ σύμφερον εὑρίσκει· τὸ ἡδὺ παριστᾷ· τὸ καλὸν ἐπαινεῖ· ὅσῳ τοίνυν τὸ τὰ ἐπηγγελμένα πληροῦν, καὶ τοὺς χρωμένους εὐεργετεῖν, τοῦ μηδὲν εἰς ἔργον ποιεῖν ὧν ἐπήγγελται, ὑπάρχει θειότερον, τοσούτῳ συγκρινομένη ῥητορικὴ θεσπεσιωτέρα ἐξαιρεῖν, τὴν δὲ καθαιρεῖν· ἀλλ' εἰς παράστασιν τῆς ἀμφοτέρων φύσεως, ἱκανὰ καὶ τὰ εἰρήμενα.

III.

Ἀλλ' ἔστι τις λύπη μοι ἄμετρος, δέσποτά μου, καὶ σοφώτατε Καίσαρ, τὸ παρεωρᾶσθαι δόξαι παρὰ τῶν ἀνθρώπων τούτων· οὐ μὲν οὖν, οὐ τοσοῦτον ἐπὶ τοῦτο δάκνομαι τὴν ψυχήν· ἀλλὰ γὰρ τὸ μὲν μηδόλως αὐτῶν ἐπιστρέφεσθαι, καὶ τοῦτο δὴ τοῦ Ἀχιλλέως,

σέθεν δ' ἐγὼ οὐκ ἀλεγίζω· (Il. A. 180.)

οὐκ ἂν ἀλαζονευσαίμην πρὸς σὲ καὶ φύσιν ἀνθρώπων, καὶ πραγμάτων ἐπιφορὰς, καὶ περιστάσεως ἀνάγκην· μὴ τοσοῦτον μικροψυχήσαιμι, ὥστε καὶ ὅλως γενέσθαι τοῦ λυποῦντος, καὶ τῷ βάθει καταποντίζεσθαι· ἀλλ' οὔτε ὑπερνήχομαι τῶν κυμάτων· τοῦτο γὰρ σοῦ τοῦ Καίσαρος, οὔτε καθάπερ μολιβδὶς καταδύομαι· τῷ μέντοι κατασπώμενος· τῷ δὲ καὶ ἀνανηχόμενος·

μέσης γάρ εἰμι φύσεως, καὶ οὔτε τῆς ἀγγελικῆς καὶ ὑπερφυοῦς, ἧς τυγχάνεις αὐτὸς, οὔτε τῆς ἐμπαθοῦς καὶ πολυπαθοῦς· διὰ ταῦτα παρὰ μέρος ὁμιλῶ τοῖς χείροσι καὶ τοῖς κρείττοσι· καὶ ὀλίγον κατασπαθεὶς πρὸς τὰ τῆδε, πάλιν μετεωρίζομαι, καὶ μετὰ τοῦ Καίσαρος *γίνομαι.*

Ἔστω οὖν ὅπως ἂν εἴη ταῦτα· μᾶλλον δὲ ἄγοιτο τῷ Θεῷ, *καὶ ἐξάγοιτο τὰ ἡμέτερα, καθάπερ ἐκεῖνος βούλοιτο· ἀλλ' ἔμενε ἓν σφόδρα λυπεῖ μόνον, τὸ ἐστερεῖσθαι τῆς σῆς, τῆς ἀπὸ τῶν λόγων ἡδονῆς· τοῦ θαυμασίου ἤθους· τοῦ μετριωτάτου φρονήματος· τῆς ὑψηλῆς διανοίας· τῆς τῶν* Μουσῶν *ἑστίας· τῆς ἐμψύχου βιβλιοθήκης· ἐδόκει γάρ μοι ἡ σὴ ψυχὴ, οἱά τις πολυχεύμων πηγή· νῦν μὲν βρύουσα χάριτας λόγων παντοδαπῶν· νῦν δὲ ποικίλην προβαλλομένην*[1] *φιλοσοφίαν· καὶ εἴτινα βούλοιτό τις· εἴτε τὴν ἡμετέραν, εἴτε τὴν ποτὲ ἡμετέραν· καὶ οὐ δὲ καθ' ἓν μέρος, οὐδ' ἀπὸ μιᾶς πηγῆς ἢ φλεβός· οὐ γὰρ τὸ τῶν πολλῶν πεπόνθας· μίαν προστησάμενος ἐπιστήμην, τῶν ἄλλων πέφυκας ἀδάης· ἀλλ' ὥσπερ εἰς ἕνα κρατῆρα τὰς πάσας ἐκέρασας, ἀσύγχυτα φυλάττων ἕκαστα ῥεύματα· καὶ ἔστι καὶ τὸ σύμμικτον ἀκραιφνές· καὶ τὸ ἀκραιφνὲς ἀνακεκραμένον· καί τοι ἀντεφιλοτιμούμην αὐτὸς πρὸς τὰ σὰ ῥεύματα· ὅλους ποταμοὺς προβαλλόμενος λόγων· ἀλλ' οὐκ οἶδ' ὅπως τῶν ἐμῶν ναμάτων ἀφεμένος, τῶν σῶν ἐνεφορούμην χανδόν· καὶ ἐθαυμάζον ὅπως τὰ μὲν πλήθη εἰς ἑνάδας ἀνέλυες, τὰς δὲ ἑνάδας, εἰς τὸν ὑπὲρ ταύτας ἕνα, ὡς εἰς πρῶτον* Θεόν· *ἢ τὸ ἄῤῥητον, ἢ τὸ κρύφιον, ἢ καὶ τ' ἀγαθὸν, ὡς ὁ* Πλάτων *φασὶ, κάτω γὰρ ἐτίθει τὴν ἄλλην φιλοσοφίαν· καὶ τοὺς σοφιστικοὺς, καὶ τοὺς περὶ τὰ μαθήματα ξύμπαντας, περὶ τοὺς πρόποδας τῆς μεγάλης περιώπης κατελίμπανες στρέφεσθαι· τὸ δ' ἡμέτερον ὄντως ὂν, ὡς ἂν ἡμεῖς θεολογήσωμεν, ἀμερίστως εἰς τρία μερίζων, καὶ διῃρημένα ἑνίζων παραδοξότατα, σὺν ἐπιστήμῃ θεολογεῖς, αὐτὸς τὲ γινόμενος ἔνθεος, καὶ τοῖς ἄλλοις μεταδιδοὺς τῆς ἐλλάμψεως.*

Πῶς *οὖν ἔμελλον τούτων ἁπάντων ἀθρόως ἐστερημένος ἀδημονεῖν; ἢ πῶς ἐπισχόντος σου τὰς χρυσᾶς ἐπιστολὰς, καὶ τὰς*

[1] $\overset{\text{προ}}{\text{ἐπι}}$*βαλλομένην* Cod.

εἰκόνας τῶν πρώτων ἀγαλμάτων τὰ γράμματα; καὶ μήτε γράφοντος μεμνημένος, καθ' ἕτερον τρόπον οὐχὶ κατονειδίζειν καὶ περίτολμόν τι ποιεῖν ἐπεχείρουν· ἀλλὰ σύγε φιλοσοφίας ἀφέμενος, ἢ τῆς κατὰ πλάτη ῥητορικῆς, καὶ τοῦ τὰ δίκαια λέγειν, ἐπὶ τὴν νεώτεραν ἐπεστράφης ῥητορικὴν, ἀντεπικλῶν ἡμῖν καθάπερ ἀντέγκλημα τὸ ἀδίκημα, καὶ κρινόμενος λήθης, ἀφιλίας κρίνεις ἐμέ· καὶ φεύγων διώκεις· καὶ δέον ἀπολογεῖσθαι, σὺ δὲ τῇ ἀπολογίᾳ περιπλέκεις κατηγορίαν· ἵνα τὸ μὲν φυλάξῃς, τὸ δὲ ἀντιπλήξῃς· ὥσπερ εἰώθατε ποιεῖν ἐν τοῖς πολέμοις οἱ στρατιῶται ὑμεῖς· θώρακι μὲν καὶ ἀσπίδι τὰ βέλη τῶν βαρβάρων ἀποκρουόμενοι, ἑτέροις δὲ ὅπλοις βάλλοντες· διὰ τοῦτό σοι καὶ στρατιὰ πᾶσα κατ' ἐμοῦ συνεσκεύασται· καὶ ἵπποι χρεμετίζοντες, καὶ ἄνδρες ἀλαλάζοντες, καὶ βάρβαροι ὀλολύζοντες· καὶ κονίσαλος ἐγειρόμενος.

Σὺ δὲ λέγεις, εἰ βούλει, καὶ λόχους, καὶ φάλαγγας, καὶ τὰ παντοδαπὰ τούτων σχήματα, καὶ τὰς παρατάξεις, καὶ τὰς συντάξεις, καὶ τοὺς οὐραγωγοὺς, καὶ τοὺς λοχαγοὺς, καὶ τοὺς ἡμιλοχίτας ἢ διμοιρίτας, καὶ τὰς σὰς ὑπερφαλαγγώσεις· ἵνα καὶ πλέον καταπλήξῃς ἡμᾶς τοῖς ὀνόμασιν· ἀλλὰ τούτοις μὲν ἐφόβησας, τοῖς δὲ Παφλαγονικοῖς ὀνόμασι καὶ διέχεας· ὥσπερ ἀπὸ τραγῳδίας εἰς κωμῳδίαν μεταβιβάζων τὸν λόγον· ἐγὼ μὲν εὐθὺς ἀκούσας τὸν παρ' αὐτοῖς ὑποστάτην καὶ τὸν κατηχάριον ἐξεκάγχασα· οἷος ἐγὼ τοῖς τοιούτοις ἐκθνήσκων τῷ δέλτῳ, καὶ σύ μοι πολλάκις μετεδίδους πολλῶν τοιούτων χαρίτων· ἵνα μᾶλλον γελῶ αὐτός.

Ἀλλ' οὔτι γε τὴν σὴν ἠγνόηκα τέχνην· πρὸς γὰρ ῥήτορα ῥητορεύεις· καὶ πρὸς σοφιστὴν ἀντισοφιστεύεις· ἀλλὰ τί ταῦτα ἐγὼ φημι; ἤδη γὰρ ἠρξάμην ὑποχαλᾶν, τοῦ τόνου τε καὶ τοῦ πνεύματος· καὶ οὐ πάνυ τι τὸν ἀγῶνα θαῤῥῶ, πραότερος γίνομαι· καὶ τὴν Δημοσθενικὴν ἀφεὶς ἀγωνίαν, ἐξαίφνης Αἰσχίνης σοι φαίνομαι· καὶ δῆτα ἂν νικώης αὐτὸς, κἂν κατηγορίας κρατοίης, ὅμως ἐπαινῶ τὸν κεκρατηκότα· ἐπεὶ κἀκεῖνος εἰς Ῥοδίους ἐλθὼν, εἰς οὓς ἀπελθεῖν κατεψήφιστο, τὴν Δημοσθένους ἐπῄνει δεινότητα, ὑφ' ἧς ὁ ῥήτωρ ἑάλωκεν.

IV.

Λόγος αὐτοσχέδιος ῥηθεὶς εἰς τὴν Δεσποίνην Κυρίην Εἰρήνην.

Λόγον αὐτοματίσαιμι ἐξ αὐτοσχεδίου γλώττης, ἐν τῷδε τῷ λογιωτάτῳ θεάτρῳ, προτέταχας, ὦ πάσων βασιλίδων λογιωτάτη μοι δέσποινα, καὶ πλέον ἢ πάντες τοὺς λόγους τιμήσασα· ἀλλὰ τὸ μὲν ἀποπνέειν οὕτω τοὺς λόγους, καὶ εἰς τὸ ἄκρον διατετρῆσθαι τὴν γλῶτταν·

ἦσαν πότ' ἦσαν ἄλκιμοι Μιλήσιοι[a]·

ἦν καὶ τοῦτο χρῆμα ποτὲ τοῖς λόγοις εὐτύχημα, ἡνίκα Σκοπελιανοί τινες καὶ Νικῆται, Ἀλέξανδροί τε καὶ Δίωνες, καὶ τοιοῦτοί τινες τὴν τέχνην ἐκόσμουν· νῦν δὲ αὐχμός τις κατείληφε τὴν ῥητορικὴν εὐγλωττίαν· ἐγὼ αὐγὴν προσελάμβανες[b]· ἢ τὸν κάτωθεν πλάστην συνεργὸν ἐκάλεις τῆς ὡραιότητος, καθάπερ αἱ θηλύτεραι τῶν γυναικῶν ἐπιτρίβονται, ἐφ' ὕβρει τοῦ θείου πλάσματος· ἔνθεν τοι καὶ ἡ κομμωτικὴ Κλεοπάτρας τέχνη ματαία σοι καὶ κενόσπουδος· ἤνθει γὰρ οὐδὲν ἧττον ὁ λειμὼν ἀμελούμενος καὶ καταφρονούμενος ἐπεδίδου· καὶ μὴ κηπευόμενος ηὔξανεν· ὥς τε εἴ τινες πλοκάμους γυναικῶν ἀνάγουσιν εἰς τὸν οὐρανὸν, καὶ ἀστροποιοῦσιν ἀποκειρομένας ἐθείρας, ὥσπερ ἀνάθημα θαυμαστὸν, πῶς οὐκ ἂν ὅλην αὐτὴν κατηστέρισα τὴν ἐμὴν δεσποίνην, εἰ καὶ νῦν ἐφ' ἡμῶν ἐγεγόνασιν ἄνθρωποι τολμηρότεροι ἀστρονομίᾳ προσεσχηκότες;

Ἀλλ' ἐγὼ μὲν καὶ αἰσχυνοίμην ἂν ἀπὸ τούτων θαυμάζων τὴν ἱερὰν βασιλίδα· ἥ γε πᾶν τὸ ταύτης κάλλος ὡς ἀληθῶς ἀπόθετον ὂν εἰς τὸ ἔνδον ἀνάκτορον τεθησαύρικεν· ἵν' ᾖ πᾶσα ἡ δόξα τῆς βασιλίδος ἔσωθεν· οὐκ ἐν κροσσωτοῖς χρυσοῖς ἀποστίλβουσα, ἀλλὰ ταῖς ἀρεταῖς ἀπαστράπτουσα· καὶ τότε μὲν, ὅτε τῆς σαρκὸς ἠσπάζετο, καὶ πρὸς τὸν κόσμον ἐπέστραπτο· μάλιστα δὲ νῦν, ὁπότε θαῦμα πρὸς τὸν ἑαυτῆς νυμφίον ὁρᾷ, καὶ ὀπίσω τούτου κεκόλληται.

Σωφροσύνῃ γὰρ τὰς ὁπουδήποτε σώφρονας παρελαύνουσα, ἣν μόνην καλλονὴν τῆς ψυχῆς ὁ Πλάτων φησὶν, ἀνδρείᾳ καὶ

[a] μιλίσιοι Cod. [b] deest aliquid proculdubio post ἐγὼ, sed nullum in Cod. apparet lacunæ signum.

τὰς ἀῤῥένων φύσεις ὑπερηκόντησε· ὥσπερ ἐνταῦθα μόνον ἀρνησαμένη τὴν φύσιν, καὶ παρὰ τὸ ἀῤῥενωπώτερον ἀποκλίνασα· ἡ δικαιοσύνη, εἰ τὴν γεωμετρικὴν ἰσότητα μιμουμένη, καταλλήλους καὶ ἀναλόγους πρὸς ἕκαστα τὰς διενεμήσεις προσεμερίζετο· ἢ καὶ μᾶλλον τὴν βασιλικὴν ἡγεμονίαν ἐκόσμησε· τήν γε μὴν φρόνησιν ἴδοις τῶν ἁπάσων ἀρετῶν τὴν ἡγεμόνα πανταχοῦ ταύτης ἐν λόγοις περιχορεύουσαν, ἐν ἔργοις ἐν ἀποφυγεῖν[c] ἐν αἱρέσεσιν· ἀλλὰ καὶ τοὺς ταύτης ὀπαδοὺς, εὐβούλων δὲ καὶ τὰ μέρη ξυμπαραθεόντων, ἀγχίνοιαν, εὐβουλίαν· ἅπανθ' ὁπόσα τὴν Σολομώντειον γυναῖκα δείκνυσι· καὶ ἵνα φιλοσοφίαν ῥητορικῇ παραμίξαιμι· ἀπὸ νοῦ ἀρξαμένη τοῦ θεωρητικοῦ, πρότερον καὶ νοῦς διαβατικώτατα χρηματίσασα, καὶ τὸν πρακτικὸν ἀπελάμπρυνε νῦν· μᾶλλον δὲ ταύτης, εἰ δεῖ τ' ἀληθὲς εἰπεῖν, καὶ ἡ αἴσθησις ὅλη, καὶ ὁ φανταστικὸς νοῦς, καὶ ἡ δοξαστικὴ δύναμις, καὶ ἡ ξύμπασα γνῶσις ἔννους ἐστὶ καὶ φιλόσοφος· καὶ νοῦς αὐτόχρημα κατ' ἐνέργειαν γέγονε.

Τοῦτο δὴ τὸ τέτρωρον ἅρμα ἑαυτῇ καλῶς καὶ ἐπιστημονικῶς ὑποζεύξαιμι· περιπολεῖ μὲν οὐρανὸν, περιτρέχει δὲ τὸν αἰθέρα· μετὰ τῶν ἀγγέλων χορείαν ἐστήσατο· πᾶν γεηρὸν καὶ ὑλικὸν ἀποπέμπουσα· καὶ ὀλίγῳ τούτῳ χρωμένη καὶ προσανέχουσα, ὅτι μὴ πρὸς εὐεργεσίας τε καὶ χάριτας· καὶ δυσὶν ὁμιλήσασα βίοις ἀμφοτέρους ἐκόσμησε· καθάπερ τι ζῶον ἀμφίβιον ἄριστα καθ' ἑκάτερον διαζῆσαν· τόν τε γὰρ πολύκυμον τοῦτον, λέγω δὴ τὴν τοῦ βίου πολύστροφον θάλασσαν, καλῶς καὶ βασιλικῶς διενήξατο· καὶ μετὰ τοῦτον εἰς ἄλλον μεταθεμένη καλλίω καὶ ὑψηλότερον, καὶ τὴν κοσμικὴν μετὰ τοῦ κόσμου παντὸς ἀποθρίξασα τρίχα, οἷά τις χρυσόπτερος ἀέτος διὰ τοῦ ἀέρος, εἰς τὰς οὐρανιὰς μονὰς ἀνίπταται· μᾶλλον δὲ Δαυιτικῶς εἰπεῖν, "περιστερᾶς ἀναλαβομένη πτέρυγας" τούτεστι φιλανθρωπίας ὠκύπτερα, καταπαῦσαι ζητεῖς εἰς τὰ ἀνώτατα ἀνάγουσα· καὶ ἀκαθέκτως ἔχεις τῆς πτήσεως· ὥς τε μὴ δὲ συγκρίνομεν τὴν ἀσύγκριτον, ὃν περ γὰρ ἂν ἐπιδραξαίμεθα πρὸς ἀντεξέτασιν τῶν πάλαι καὶ νῦν, ἀστρίον ἐστὶ πρὸς ἥλιον, καὶ ῥανὶς πρὸς

[c] sic Cod.

μέγιστον πέλαγος, καὶ κέγχρος ὀλίγη πρὸς ὄγκον ὄρους ὑψηλοτάτου, καὶ πρὸς Βαβυλῶνα κωμύδριον.

Εἰ μὲν μὴ ἐπίπνους αὐτὸς ἐγινόμην εἰς τόνδε τὸν λόγον· εἰ μή μοι ἐνεφορεῖ τῆς βασιλίδος ἡ παρουσία, σύμμαχον ἂν πρὸς ἐλαβόμην καὶ τὴν σειρῆνα τοῦ Καίσαρος· οὐ δὲ γὰρ ἄλλοθεν προσεπιῤῥεῖσθαι τὰς ἐμὰς ἀμάρας ἀνεσχόμην, ἢ παρὰ σοῦ τῆς μεγάλης πηγῆς· καὶ δεοίμην ἂν μόνον τῶν Εὐξείνου ῥευμάτων, ἡ Προποντίς· ἐπεὶ δὲ οὐ φέρω τὴν θεαγωγὸν ὅλην· ἀλλὰ καὶ μεσός εἰμι λόγων καὶ προθυμίας ἀῤῥήτου, καὶ μικροῦ δεῖ καταπέπνιγμαι ταῖς ἐπιῤῥοαῖς, περιττὸν τὸ προσερανίζεσθαι· τρόπον γάρ τινα, αὐτὴ ἡ βασίλισσα ἑαυτὴν τοῖς λόγοις τούτοις κατεστεφάνωσε, χορηγοῦσα τὰ ἐνθυμήματα· ἡμῖν δὲ μόνον καθάπερ ὀργάνοις ἐχρήσατο· ὃ γοῦν ἔδει ποιῆσαι, τοῦτο δὴ τὸ τῶν γεωμετρούντων πεποίηται, καὶ ἀπὸ ταύτης ἄρα καὶ μόνης ἡ φύσις τοῦ λόγου λαμπρύνοιτο· λεγέσθω γὰρ τοῦτο μετὰ τὴν ἀπόδειξιν ἐπιφώνημα· εἰ δὲ καὶ μεταξὺ ῥητορεύοντες ἐφιλοσοφήσαμεν, ἀλλὰ πῶς ἂν ἑτέροις ἐπεξῆλθον τὸν λόγον, φιλοσόφου τοῦ ἀκροάτου τυγχάνοντος· τῆς μεγάλης βασιλίδος τῶν ἄλλων βασιλίδων· τοῦ Καίσαρος· ὅπου γε οὐδ' ὁ περὶ τὴν βασιλίδα κύκλος παντάπασιν ἀφιλόσοφος.

V.

Ὁ μὲν Δημόκριτος εὐλόγων ὀνείρων ἐδεῖτο τυγχάνειν· ἐγὼ δὲ οὐκ ἂν προτιμησαίμην, κ' ἂν ἐγρηγορότι μοι διδότω τις πλοῦτον τοῦ Κροίσου, ἢ τὸ ῥεῦμα τοῦ Πακτώλου, τῶν σῶν χρυσέων ἐπιστολῶν· τί γὰρ εὐφράνοι τοσοῦτον ἄνδρα μετρίως τοῦ ἤθους ἔχοντα ὁ κάτω ῥέων χρυσός· οὐ δὲ γὰρ τὸν Σόλωνα ηὔφρανεν ὁ τοῦ Λυδοῦ πλοῦτος· ἄνευ γὰρ ἀρετῆς οὐ μόνον οὐκ ἔστι τερπνὸς, ἀλλ' οὐδὲ ἀνίησι λύπης τὸν ἔχοντα· πολὺ δὲ καλλίους αὐγὰς ἀποστέλλει χρυσίον τῶν σῶν ἐπιστολῶν ἡ χάρις· καὶ μὴ φθόνει ἡμῖν σοφώτατε Καίσαρ· καὶ μᾶλλον ὁπόταν τοσούτοις περικλυζώμεθα κύμασι· μετὰ γὰρ τοῦ πλουτεῖν ὀξεῖαν χεῖρα πρὸς γραμμάτων τύπον· ὅτε γραμματεὺς οὐ παρῇ· καὶ ἐπίφορον τὴν γλῶσσαν ἔσχηκας εἰς λόγων γονάς· ὦ Νειλῷον

ῥεῦμα· ὦ Πακτώλου κῦμα· μᾶλλον δὲ ὦ πόντος Εὔξεινος· ὦ πέλαγος Ἀτλαντικόν· ὦ οὐράνιον ἀποχέτευμα.

VI.

Ὦ πόθεν μοι φανεὶς θειότατε Καῖσαρ· πόθεν ἄρα μοι βάλλει τὴν ἀκοὴν τῆς σῆς φωνῆς τὸ Στεντόρειον; ὡς εὐμαθές σου, κἂν ἄποπτος ἧς, ὅμως φώνημ' ἀκούω, καὶ ὅλῃ τῇ ψυχῇ τῷ τοῦ λόγου ἐπίχαρι· καὶ ὁρᾷς οἷά με δέδρακας τὸν σὸν ἐραστήν· συμπεριπλανῶμαι γάρ σοι, καὶ ἐπιζητῶ τὴν ἐμὴν θειοτάτην ἠχὼ κατὰ τὸν Πανικὸν ἔρωτα· καὶ οὐκ οἶδ' ὅτι τῷ πόθῳ χρησαίμην· ποῦ ἄρα ἦσθα σοφωτάτη ψυχή; ὡς ἔμοι γε δοκεῖ καὶ ἐπέκεινα τῶν ὀμφαλῶν ἑκατέρων ἀπεσκηνώκεις.

Ἀλλ' ἀπό γε τῆς θαυμασίας ἐπιστολῆς ἑῶός μοι ἐπέστης, καὶ μαρμαρύσσεις ἀπρόσιτα, καὶ ἀπαστράπτεις ὡς ἐαρινὸς ἥλιος, οἷον κατειληφὼς αὐτὸ τοῦ οὐρανοῦ τὸ μεσαίτατον· τὸ τοῦ παντὸς ἔρεισμα, εἶπεν ἂν ὁ Σιδώνοθεν Δωρόθεος· ἐνεαρίζεις οὖν, καὶ μετὰ τῶν χελιδόνων μοι λαλεῖς· ἅμα τὲ γὰρ ἡ Πανδιονὶς ᾖδε, καὶ τὴν οἰκεῖαν κατηύλει, καὶ περιελάλει τὸν ἄνθρωπον, καὶ ἅμα τὸ γράμμα τοῦ Καίσαρος κατεμελίττωσέ μου τὰς ἀκοάς· εἰς γὰρ λογικὸν θέατρον δοθεῖσα ἡ ἐπιστολή, καὶ ἀνελιχθεῖσα, φθόγγον ἀφῆκε καὶ μέλος, ὦ λόγοι, καὶ μοῦσα, καὶ ῥητορεία κομψὴ, οὐκ οἶδα ὁπόσον καὶ οἷον· ὡς ᾖσεν, ὡς ὤνησεν· ὡς ἔνθους ὑφ' ἡδονῆς ἀπειργάσατο· εἰ δὲ μὴ κατεῖχε τὸ σῶφρον τοῦ μέλους, καὶ τὸ στάσιμον τοῦ ῥυθμοῦ, καὶ τὸ εὐπρεπὲς τῆς λέξεως, Κορυβάντων ἂν ἐνεπλήσθημεν, καὶ ὁ τοῦ γράμματος κήρυξ, καὶ οἱ τῶν κηρυγμάτων ἀκροάται.

VII.

Τῷ Ἐφόρῳ.

Διὰ τὴν καθ' ἡμᾶς αἰσθητὴν τράπεζαν, ἀφ' ἧς πολλάκις ἐσιτησάμεθα, Κύριε Θεόφανες, τῆς λογικῆς ἀξιῶ τραπέζης τὸν χρυσοῦν μοι ἀνεψιόν, καλῶ τοίνυν αὐτὸν εἰς τὴν λογικὴν ταυτηνὶ πανδαισίαν, ἣν καθ' ἑκάστην ποιοῦμαι τοῖς νέοις· εὐφραίνων αὐτοὺς τοῖς ἀπὸ τῶν λόγων ἐδέσμασιν· ἔνεστι γὰρ τούτοις καὶ ἔλαφος φιλοσοφουμένη· καὶ πτὼξ φυσιολογούμενος, καὶ παὼς

μηδικός· καὶ πέρδιξ ᾠδικός· καὶ κύκνος μουσικός· καὶ τὸ πλουσιώτατον, ὅτι ὅσα οὐδ' οἱ περὶ τὴν Σύβαριν ἐξηυρήκασι, καὶ ὅποσα οὐδ' ὁ τρυφηλότατος τῶν φιλοσόφων Ἀρίστιππος κατηρτύσατο, τούτοις εἰς πλησμονὴν ἀθρόα πάντα παράκειται.

Τί μὴ λέγω τὰ κρείττω καὶ ὑψηλότερα; τὰ γὰρ ὄντα τούτοις εἰς πανδαισίαν προτέθειται, ὅσα τε τῆς ἀμεροῦς ἐστὶ φύσεως, καὶ ὅσα τῆς πολυμεροῦς καὶ σωματικωτέρας ἐστὶν οὐσίας· ἀλλὰ καὶ εἴτις μεταξὺ τούτων τοῖς παλαιοῖς ἐξεύρηται φύσις, ἣν δὴ μαθηματικὴν ὀνομάζουσι καὶ συγγενεστέραν ταῖς ἡμετέραις ψυχαῖς, καὶ αὕτη μέρος τῆς εὐωχίας γέγονε, καὶ ξυμπληροῖ τὴν ἑστίασιν· ἵνα μὴ λέγω τὰ ταύτης ἔκγονα, καὶ ὅσα τέχναι ταύτης ἐῤῥύησαν, μηχανικὴν, ὀπτικὴν, κατοπτρικὴν, μετρικὴν, κεντροβαρικὴν, καὶ ὅσαι ἄλλαι ὑπὸ ταύτην τετάχαται· ἄλλως δ' ἀλλότε μέρος ἐσκεύασται, ἵν' οὕτως εἴπω, τοῖς ἐμοῖς ὀπτανίοις· ἀλλ' οὐ μία τίς ἐστιν ἡ ἰδέα τῶν ἐδεσμάτων· "τὰ "μὲν γὰρ λοπάδις ἐστὶ, τὰ δὲ τάγηνα, καὶ οὐθ' ἡ λοπὰς κακὸν "ἐστι," ἵνά τι καὶ ἀπὸ τῶν Δειπνοσοφιστῶν παραρτύσαιμι, "καὶ τὸ τάγανον ἄριστον·" καὶ τὰ μὲν ἑφθὰ, τάδ' ὀπτὰ παρατίθεται· οὐ δὲ ἀλάντες, οὐ δὲ πλακοῦντες, οὐ δ' ἄμητες τὴν τράπεζαν ἀπολείπουσιν· ἀλλὰ τὸν σισαμοῦντα εὑρήσεις ἐνταῦθα, καὶ τὸν Γελώνιον πλακοῦντα, καὶ ὅλως τῆς Κλεοπάτρας ἐπ' Ἀντωνίῳ ἑστίασιν.

Σὺ δέ μοι λέγε τὰ ὀψὰ τὰ σά· τοὺς τυραννουμένους ἰχθύας, εἰς ὄρνιθας· καὶ τοὺς ὄρνιθας εἰς ἰχθύας μεταπλαττομένους· καὶ τὰ καινὰ ταῦτα τῆς νέας δημιουργίας πλάσματά τε καὶ γοητεύματα, ὧν ἡ κοιλία προκάθηται· τὸ δὲ ποτὸν ἐκείνοις οὐκ οἶνός ἐστι Χαλυβώνιος, οὐδ' ἕτερος ἀνθοσμίας· ἀλλ' ἄντικρυς νέκταρ, καὶ οἷον οἱ θεοὶ πίνουσιν ἐν χρυσέοις δεπάεσσιν. ὁρᾷς ὅπως οὐκ ὀψοποιητικὴν ἰατρικῇ καθυπερέβαλον, καθάπερ ὁ Πλάτων· ὥσπερ καὶ ῥητορικὴν νομοθετικῇ, ἵν' ὑβρίσῃ τὴν τέχνην, καὶ κολακείαν εἴπῃ, καὶ μορίου τῆς πολιτικῆς εἴδωλον· ἀλλ' ὀψαρτυτικὴν ἢ μαγειρικὴν φιλοσοφίᾳ παρέμιξα.

Οὐκοῦν καὶ τὰ ἐφεξῆς τῆς τροπολογίας ἀποσωζέσθω· οἰνοχόοι μὲν ἐνταῦθα Πυθαγόραι καὶ Πλάτωνες· Ἀριστοτέλης δὲ

καὶ ὁ σύμπας Περίπατος, ἀρχιμάγειρος· τὴν δὲ πᾶσαν καὶ τὴν νεωτέραν Ἀκαδημίαν εἰς ὑπηρέτου τάξιν τοῖς δαιτυμόσι κατέστησα· δεῆσαν δὲ καί τινα ἐπιδορπίσματα τοῖς φίλοις ἐπεισαγαγεῖν, τὴν τῶν Στοικῶν εἰσάγω καινότητα· καὶ τὸ ἀμφιτάλαντον Πύῤῥωνος καὶ τὰς ἐφέξεις ἢ ἀντιθέσεις αὐτοῦ· ἔστι δ' ὅτε καὶ τῆς βαρβάρου φιλοσοφίας, ὅση Χαλδαίοις καὶ Αἰγυπτίοις ἐξεύρηται, φιλοτιμοῦμαι τὴν τράπεζαν, καὶ καταυλῶ τοῖς μέλεσι, καὶ καταθέλγω τοῖς κρούμασι, καὶ συνέχω ῥυθμοῖς· καὶ νῦν μὲν τὴν χρωματικὴν ᾄδω· νῦν δὲ τὴν σύντονον μουσικὴν ἀναβάλλομαι· νῦν δὲ τὴν ἁρμονικὴν ἁρμόττομαι χάριν· καὶ ἅπαν γένος βαρβίτων ἀνάπτομαι· ἐποποιητικήν· τραγικήν· κωμικήν· σατυρικήν· καὶ οὔτε ἡ λύρα Ὀρφέως ἄπεστι τῆς εὐωχίας· οὔτε ἡ Πινδαρικὴ ᾠδή· οὔτε ἡ Σαπφικὴ χάρις· ἔστι δ' οὗ καὶ ἡ τέχνη τῶν λόγων περισαλπίζει τὰς μήνιγγας μετὰ τῶν ἐκείνης θαυμάτων· τῆς Ἰσοκράτους[d] σειρῆνος· τῆς Δημοσθένους ἠχοῦς· τῆς Ἡροδότου γλυκύτητος· τῆς τοῦ Θουκυδίδου σεμνότητος· καὶ ὅσοι τῶν ἐκείνης μελῶν ἀποπνέουσιν.

Ἐγὼ δέ σοι οὐδ' ἐπὶ μιᾶς τούτους ξεναγῶ ἑστίας· ἀλλὰ νῦν μὲν τὰ νέρθεν μετὰ τούτων διερευνῶμεν τῆς γῆς· νῦν δὲ ἐκεῖθεν, καθάπερ γίγαντες, ἀναδοθέντες καὶ ὑπερνεφεῖς γεγονότες, τὸ βάθος τοῦ ἀέρος θαῤῥοῦμεν· καθ' οὔτι τῷ αἰθέρι ἐφαλλόμεθά τε καὶ προσαλλόμεθα, καὶ τὸ πέμπτον σῶμα πᾶν, καὶ τὴν κύκλῳ φορὰν ὑπερκρύψαντες· ἢ τὸν τρίτον οὐρανὸν τοῦ Παύλου φθάσαντες, ἄῤῥητα πάντα καταμανθάνομεν· καὶ ἐμπλησθέντες[e] ἀπορίας καὶ δείματος, ὡς ἐκ πολλοῦ πελάγους εἰς τοὺς εὐαγγελικοὺς ἐλλιμενίζομεν κόλπους· καὶ ἄραντες ὅλοις ἱστίοις πρὸς τούτους καταίρομεν, τὴν ἀπορίαν ὡς βάρος ἀποφορτίσαντες.

Τοιαύτη μὲν ἡ καθ' ἡμᾶς εὐωχία· τοιοῦτον δὲ τὸ ἑστιατόρειον· ἡκέτω τοίνυν καὶ ὁ κάλλιστός μοι ἀνεψιός, μετὰ τῶν ἄλλων πάντων παρ' ἐμὲ οἴκαδε· ἐπειδὴ καὶ αὐτὸς τοῦτο κελεύεις· καὶ σὺν Θεῷ δὲ εἰρήσθω· ἀποφανῶ σοι τοῦτον ἐν οὐ μακρῷ χρόνῳ τῶν ἁπάντων ἐκείνων διακορῆ· οὐδένα γὰρ ἄλλον

[d] Ἰσοκρότους Cod. [e] ἐμπλησθέν τις Cod.

τῆς σῆς φιλίας ἐπίπροσθεν ποιησαίμην, εἰωθὼς καὶ πρὸ τῆς αἰτήσεως τοῖς φίλοις χαρίζεσθαι· μόνον ὑπόστηθι σὺ πάντα τὰ περὶ τῆς βασιλίδος ἐφ' ἡμῖν προτεταγμένα πληροῦν· ὡς τόγε τῶν μαθημάτων ἀνάκτορον μέχρι τῶν ἀδύτων καὶ πάλαι ἠνέωκται.

VIII.

Τοῦ αὐτοῦ.

Ἀπὸ τῶν τοῦ Νείλου ῥευμάτων ὡς ἀληθῶς τὰ ἰχθύδια· καὶ τοῦ ἐκεῖθεν τέλματος ἔκγονα· οὕτως ἔχουσι χυμοῦ τε καὶ γεύσεως· καὶ τοιαῦτα πρὸς ἐδωδήν· ἀλλὰ πότερον αὐτὸς Ἀτταλείαθεν ἐκεῖσε καταπεζεύσας ἐκόμισας οἴκαδε· ἢ παρὰ τῶν φίλων ἐδέξω δώρημα· ἔπειτα καὶ ἡμῖν τῆς Αἰγυπτιακῆς ταύτης χάριτος μεταδέδωκας; πολλὴ δή σοι χάρις καὶ ἀμφοτέρωθεν· τὸ μὲν, ὅτι τοιαύτης ὁδοῦ καὶ πελάγους ἆθλον οὐκ ἠξίωσας μόνος αὐτὸς ἀπενέγκασθαι· τὸ δὲ, ὅτι δωρεᾶς μακρόθεν ἠκούσας μόνος οὐκ ἀπολέλαυκας· εἰ δὲ πρὸς τούτοις, καὶ ἡδονῆς λόγον οὐδὲ μίας ὑπερβολὴν ἀπολέλοιπας, οὐκ ἔξω τοῦ εἰκότος ἐπαινοῖο ἂν καὶ θαυμάζοιο· εἰ δὲ ἐπεντρυφήσας τῷ βρώματι, σὺ δὲ μερίδα τούτων ἡμῖν πεποίηκας· ἵνα μὴ μόνος[e] τρυφῴης.

Τοιαύτην ἄρα καὶ τοῖς φεύγουσιν ἐξ Αἰγύπτου Ἑβραίοις ἐντέθεικεν ἡδονῆς αἴσθησις, τὰ ὕεια κρέα, καὶ οἱ λέβητες, καὶ τὰ σίκυα, καὶ ὅσοις Αἴγυπτος τούτους ἔτρεφε· ἅμα γὰρ ἀνεμιμνήσκοντο τῶν βρωμάτων ἐκείνων, καὶ κατεθρήνουν τῆς ἀπορίας.

Ταῦτα δὲ τὰ ἰχθύδια μικρότατα μὲν εἰς μέγεθος ἀφύας ἰδὼν εἴποις, ἡδύτερα δὲ τῶν ἄλλων, καὶ τῶν παρ' ἡμῖν θαυμαζομένων εἰς ὄγκον σώματος· καὶ ὡς ἔοικεν οἱ μὲν παρ' ἡμῖν ἰχθύες πολύκρεως[f]· τὸ θαυμαστότερον ὅτι μηδὲ τὴν ἔμφυτον γλυκύτητα ἀπηρνήσαντο, τοσοῦτον χρόνον ἀπολελουκότες τοῦ ἅλατος· ἀλλὰ κολυμβῶντες ὑδαρῇ ἅλμῃ τὸν ἴδιον χυμὸν τετηρήκασι τῇ στυφότητι τῶν ἄλλων ἀνεπίμικτον· καὶ εἰ μή τις

[e] μόνον Cod. [f] aliquid hic excidisse videtur, quod scriptum postea in margine abrasum est, adeo ut vix compareat. οἱ * * ω^οι πα * υ * μελ* * δὲ γλυκύκρεως.

ἀποπλύνει ὕδατι χλιαρῷ, καὶ ὄξους ἐπεμβάλλοι, καὶ ἅλατος ἐπιῤῥάνοι, οὐκ ἂν νοστιμωτέρους τοὺς ἰχθύας ἐργάσαιτο διὰ τὴν ἄκραν γλυκύτητα.

Σὺ μὲν οὖν μοι οὐ δὲ τὴν ὀψαρτυσίαν ἐδήλωσας τούτων· καὶ ταῦτα φαύλην οὕτω τυγχάνουσαν καὶ ἁπλήν· ἐγὼ δ', ὅπως εἰς τράπεζαν ἔλθοιεν ἐπιτήδειοι, αὐτομάτως ἐξεύρηκα· προσεπιῤῥαίνων καὶ ἐλαίου μικρόν τι, καὶ θύμου προσεπιπάττων, καὶ ξηρῶν ἡδυόσμων· καὶ ἔστι μοι τοῦτο τὸ ὄψον, ὁμότιμον μὲν ἀτταγαῖς· τῶν δὲ ἀπὸ Φάσιδος ὀρνίθων ἡδύτερον. πέμπε δὴ καὶ πάλιν εἰ δυνατὸν τὰ Λιβύσια· οὕτω γὰρ καὶ αὐτὸς ἐπὶ λέξεως εἴρηκας τοὔνομα τῶν ἰχθύων· τάχα δ' ὅτι ταῦτα μόνα τῶν ἁπάντων ἐστὶν ἀξιώτατα, ὅσα Λιβύη τρέφει καὶ φέρει ζῶα, ἐκεῖθεν προσονομάζεσθαι, ἢ ὁ ἐπὶ τῇ καμήλῳ ὄρνις, καὶ ἐν τῇ ὄρνιθι κάμηλος· ὁ παρὰ τοῖς παλαιοῖς θαυμαζόμενος στρουθὸς Λιβυκός.

Αἴγυπτος μὲν γὰρ ἁπάσης Λιβύης κρατεῖ· τῶν δ' ἐν Αἰγύπτῳ ζώων, ὅτι περ κράτιστον τὰ Λιβύσια· ἃ καὶ ὡς παρά σου, καὶ ὡς Αἰγυπτόθεν σταλέντα, ὑπερηγγάμην· τῶν γὰρ ἄλλων Αἰγυπτιακῶν ληρημάτων ἅλις ἐμοί· καὶ τῶν συρίγγων· καὶ τῶν ἐν αὐταῖς ἱερογλυφουμένων γραμμάτων· καὶ ὅσα Κνοῦφις ὁ παρ' ἐκείνοις ἀγαθὸς δαίμων παρέδωκε· καὶ ὁ τούτου μαθητὴς ἐφιλοσόφησεν Ὄσιρις· καὶ ὁ προσέτι ὁ τὰ τούτων διαδεξάμενος Σούσωθις, ἢ Νεχεψώ τις ἕτερος βάρβαρος, καὶ ὅσοι ἄλλοι τοιοῦτοι ταῖς ἀντιμαχείαις τῆς συμπαθείας ἐκείνης ἀπωνάμεθα· τοὺς γὰρ αὐτοὺς ἀνελίττομεν καὶ πάλιν πόνους καὶ παρορώμεθα· εἰ γὰρ ὃν οὐκ ἠδίκησεν ὁ βασιλεὺς βασιλάκιον, βασιλικῆς φροντίδος ἠξίωσεν· τί ποτε τοσοῦτον ἡμεῖς ἐξημάρτομεν· ἵνα τῆς αὐτῆς φιλανθρωπίας παντάπασιν ἀποτύχοιμεν;

IX.

Τῷ Λογοθέτῃ.

Ποῦ ποτε τυγχάνεις ἡ γλυκυτάτη τῷ ὄντι σειρήν; τίνας ἀκοὰς καταθέλγεις; ὡς ἐδίψησέ σε ἡ ψυχή μου· ὡς ἐπεπόθησεν· ἀλλὰ σὺ μὲν ἄλλοις ἀνάπτεις τὰς μουσικὰς οἶμαι χάρι-

τας· ἄλλοι τῆς γλώσσης καταπολεύουσιν· ἡμεῖς δὲ πολυδυστυχοῦμεν αὐχμὸν λογιότητος· τοῖς μὲν οὖν Ῥοδίοις, ὁ Ζεὺς, ὡς φησὶ Πίνδαρος,

ξανθὰν ἀγαγὼν νεφέλαν
πολὺν ὗσε χρυσόν· (Ol. VII. 90.)

σὺ δὲ ἡμῶν ἀποχωρήσας, ὁ πάσης γλυκυθυμίας ἀείῤῥυτος ποταμὸς, αὔους καὶ ξηροὺς καταλέλοιπας· καὶ τὸ μὲν σὸν μάννα ἑτέροις ὀμβρίζεται· ἡμεῖς δὲ λιμώττομεν, ὅσοι τῆς σῆς ἐστερήμεθα γλώττης· ἀλλὰ τίνα τοῦτον λιμόν; τοῦ ἀκοῦσαι χρυσῆς σειρῆνος λαλούσης· λόγου, τοῦ καταμελιττοῦντος τὰς ἀκοάς· ἀπὸ γὰρ σοῦ τοῦ Μέλητος καταῤῥεῖ, ἤτοι μέλιτος· ταυτὸν δὲ μέλι τε εἰπεῖν, καὶ τὸν Λογοθέτην Μέλητα· ἄμφω γὰρ ξύμφυτον ἔχουσι τὴν γλυκύτητα.

Ἀλλὰ τί μὴ γράφεις καὶ θέλγεις; καὶ τὴν Μεῤῥὰν ἡμῶν μεταβάλλεις; καὶ ἴα, τὴν πικρίαν τὴν ἡμετέραν· οὐδὲν γὰρ ἀλλοιότερον ἔσχε τὰ καθ' ἡμᾶς σοφωτάτη ψυχή· αὐ δὲ τῆς βασιλικῆς συμπαθείας ὠνόμεθα· οἴδαμεν οὖν ὅτι νῦν πρὸς ὅπλα καὶ νῆας ἐξεταζόμενος σκοπεῖς, οὐκ ὅπως ἀποτορνεύσεις περίοδον, καὶ πῶς τὸ ἀντίθετον σχῆμα συστείλειας, ἢ ἐξαπλώσειας· ταῦτα δὴ τὰ σοὶ ῥᾷστα καὶ προχειρότατα· οὐδ' ὅπως Πλατωνικὴν ἰδέαν μεταβάλλεις εἰς Δημοσθενικὴν, ἢ ποιητικὴν μεγαληγορίαν εἰς πολιτικὴν ῥητορείαν ἀμειψείας· ὥσπερ εἰς ἄλληλα μετοχετεύων τὰ ῥεύματα, καὶ τοὺς χυμοὺς αὐτῶν μετακλύζων· οἷα Σώπατροι, καὶ Λογγῖνοι, καὶ Γαζαῖοι τινὲς ἐπιτεχνάζονται ῥήτορες· ἀλλ' ὅπως τάξεις τὸν οὐραγὸν καὶ τὸν λοχαγόν· καὶ πῶς ἐξοπλίσεις τὸν ψιλόν τε καὶ τὸν ἱππέα, καὶ τὸν πελταστὴν, καὶ τὸν Ταρατῖνον[g]· καὶ τίνα τρόπον ἀμφιστόμους, ἢ ἑτεροστόμους συντάξεις τὰς φαλάγγας, καὶ ὅσα ἡμεῖς οἱ φιλοσοφίας τακτικὴν ξυναρμόσαντες οἴδατε.

Ἀλλ' ἀξιῶ, μικρὸν τὸν Ἄρην παραιτησάμενος, τὴν Ἑρμαϊκήν μοι λύραν ἀναλαβοῦ· ἢ τὴν Ὀρφέως κιθάραν· καὶ κατάθελξόν μοι τὴν τοῦ βασίλεως ψυχήν· εἰ δὲ μὴ, ἀλλ' ἀποχρῶν εἰς μεγάλην παραψυχὴν ἔμοιγε λόγος αὐτὸς ἐκτοξευόμενος.

[g] sic Cod.

X.

Εἰς τὸν αὐτόν.

Τί παρὰ τὸν πρότερον Μέλητα ὁ παρ' ἡμῖν Μέλης, ὁ τῶν ἀγαθῶν ποταμός; εἴπερ μὴ μῦθος ἦν τὰ τοῦ ποταμοῦ Μέλητος· πατὴρ Ὁμήρου ὁ Μέλης ἐκεῖνος Καλλιόπην αὐχοῦντα Μοῦσαν· σὺ δὲ ὁ ἐμὸς γλυκύτατος Μέλης ὅλας ἡμῖν ἀποχετεύεις τοῦ στόματος μούσας καὶ χάριτας· μᾶλλον δὲ γραφή σε μόνον τοῦ τῆς μελίττης μέλιτος διορίζει τὸν χρυσοῦν Μέλητα· ὡς τόν γε χυμὸν ἄμφω τὸν αὐτὸν ἐνσταλλάττετο· ὅ τε τοῦ μέλιτος ποταμὸς, ὃν ἡ γῆ τῆς ἐπαγγελίας ἀποβλυστάνει· καὶ ἡ σὴ τοῦ Μέλητος γλῶσσα.

Καλῶ δέ σε καὶ θέλγητρον ἀκοῆς, καὶ Σειρῆνος ᾠδὴν, καὶ Ὀρφικὴν λύραν· καὶ κέντρον πιθοῦς, καὶ μέλιτταν Μούσης· "οὐκ ἀπό τινων θύμων καὶ δριμυτάτων ἀνθέων ξανθὸν μέλι μηδομένην" ὥς φασὶν ὁ Σιμωνίδης[h], ἀλλ' ἀπὸ τῶν ἄνω λειμώνων ἐργαζομένην τὸ μέλι τὸ σόν· ἢ καὶ αὐτῶν τῶν παρὰ ποιηταῖς Διὸς κήπων, οὓς φησιν φοινικορόδους[i] ὁ Πίνδαρος· μᾶλλον δὲ τοῦ Μωσαϊκοῦ, καὶ καθ' ἡμᾶς παραδείσου, καὶ τῶν ἐκεῖθεν ἀῤῥήτων πηγῶν.

Αἰνίττομαι δέ σοι ἐκείνοις τὴν θυράθεν σοφίαν ξύμπασαν, ἧς ἐς κόρον ἐκπέπτωκας· καὶ τὸν παρὰ τὸν Πλάτωνα καὶ Δημοσθένην χορόν· τούτοις δὲ τὴν ἡμετέραν φιλοσοφίαν καὶ τὸν θεσπέσιον θριγγὸν καὶ περίβολον, ὃν ὁ ἀπόστολος καὶ ὁ προφήτης, καὶ ὅσοι ἐκ τούτων ἔῤῥευσαν ῥύακες, γυρώσαντες ἔξωθεν τ' ἄνδον παγκάλως ἐκήπευσαν, θεοῤῥύτοις κατάρδοντες νάμασι· διὰ τοῦτό μοι μᾶλλον τῶν ἄλλων μέλλει Μέλητος, καὶ ὅτι μέλιτος γλυκύτερον ἀποστάζει χυμόν· καὶ ὅτι τούτῳ μέλει τῶν ἡμετέρων, ὡς οὐκ ἄλλῳ τῶν ἰδίων ἐμέλησεν· ἀλλὰ μέλει καί σου τῷ Θεῷ, θεοειδεστάτη ψυχὴ, καθόσον ἡμῶν σοι μεμέληται· καὶ ὄναιο τῶν ἁπάντων, φιλοσοφίας, ῥητορικῆς, νομοθετικῆς, οἷς ἁπάντων ὑπέρκεισαι· ἔτι δὲ τούτων καὶ τῆς ἀσυγκρίτου φρονήσεως, τῆς ἀπαραμίλλου χρηστότητος τῶν ἱερῶν

[h] cf. Simonid. Fr. CLI. Gaisf. [i] Pind. Fr. Thren. I. p. 21. e Plut. Mor. p. 1130 C. ubi obiter not. pro σκυθίων δένδρων leg. συσκίων.

παίδων, τῆς εἰς τὸν Αὐτοκράτορα εὐνοίας καὶ πίστεως, καὶ πρό γε τῶν ἁπάντων, τῆς τοῦ Θεοῦ κυβερνήσεως· ἀλλὰ καὶ αὐτὸς ὀναίμην τῆς σῆς ἀγαθότητος.

XI.

Εἰς τὸν Καματηρὸν Κύριον Μιχαὴλ, τὸν τοῦ Κυρίου Ῥωμάνου υἱόν.

Ἀλλ' οὐχ ὡσαύτως τὴν καλλιστήν μοι ψυχὴν Μιχαὴλ, πρόστε τὰς Ἀριστοτέλους τεχνὰς καὶ Πλάτωνος διαλόγους· καὶ ὅσα τῆς λογικῆς θεωρίας ἐστὶ μαθήματα· καὶ πρὸς φάλαγγας καὶ παρατάξεις πολεμικάς· οὐδ' ἐπίσης πρός τε γεωγραφικὰς ἐφόδους, καὶ πρὸς ὄρη, καὶ ἐρημίας, καὶ βάραθρα, αὐτοποδιτὶ βαδίζειν.

Ἀλλ' ἐκείνοις μὲν οἶδά σε καὶ λίαν ἐσχολακότα, καὶ πάντων ὅσα λογικῆς θεωρίας, ἐπιβολῆς ἀκροφυέστατον γεγονότα· εἰς δὲ τὰς μάχας καὶ τοὺς πολέμους ὀψιμάθη, καὶ ἄρτι πρὸς παρατάξεις παραγγέλον, καὶ οὐ πάνυ τι περὶ τὰ τοιαῦτα τρίβακα· καὶ ὥσπερ εἴ τις Ἄρεος ὀπαδὸς, καὶ πρὸς ὅπλα καὶ μάχας ἐξητασμένος, εἰ γεωμετρίᾳ προσέλθοι, καὶ τοῖς Ἀριστοτελικοῖς λαβυρίνθοις χασμῷτο ἂν καὶ ἐκπλήττοιτο, ὥσπερ ὁ Πλάτων φησὶ, τὸν φιλόσοφον ἐν πολεμικοῖς πράγμασιν, οὕτως οἶμαι καὶ αὐτὸς, εἰ γέγονας ἐν ταῖς παρατάξεσιν ἄρτι πρώτως θεασάμενος φάλαγγας, ὥσπερ ἠπειρώτης ἀνὴρ τὴν θαλάσσαν, ἐξέπληξο ἂν, καὶ διηπόρεις θαμὰ, τὸ σχῆμα, τὴν κίνησιν, τὴν ὅλην τῶν ἀνδρῶν σύνταξιν· καὶ ὅπως στοιχοῦσι, καὶ ὅπως συζυγοῦσιν αἱ φαλάγγεις, καὶ ποδαπὸς ὁ Μακεδὼν ἢ ὁ Λάκων ἐξελιγμός· εἰ δὲ καὶ τὸ βάθος ἅπαν εἴδης τῆς φάλαγγος, ὡς πάντες, καθάπερ τινες αὐτόχυτοι καὶ αὐτοχάλκευτοι ἀνδριάντες, πρὸς ἥλιον ἀνταστράπτουσι, καὶ κράνη κεχηνότα καὶ ξίφη στίλβοντα, καὶ δόρατα χαλκόστομα κραδαινόμενα, καὶ τοῦτο δὴ τὸ Ὁμηρικὸν,

ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς δὲ κόρυν, ἀνέρα δ' ἀνήρ· (Il. N. 131.)

καὶ τὰ ἐπ' ἄκρῳ δοράτων αἰωρούμενα θηριώδη φάσματά τε καὶ χάσματα· καὶ πρὸς τούτοις, εἰ ἀλαλαγμὸν ἠκηκόεις ἀνδρῶν συῤῥηγνυμένων ἐπ' ἀλλήλους, καὶ ὀλλύντων καὶ ὀλλυμένων· τότε δὴ τότε, ἵνα καί σε ἠθοποιήσω παθητικώτερον, εἴποις ἂν ὑποτρέμων τὴν φωνὴν, καὶ τοὺς ὀδόντας περιβαμβαίνων, καὶ

ὅλως ὠχριῶν, καὶ τῷ φόβῳ τηκόμενος, τίς γένωμαι καὶ ποῖ τράπωμαι; καὶ μὴ βεβλημένος, ἐβόας ἂν, ὅτι βέβληαι· καὶ ζώγρει πρὸς τὸν μηδὲν ᾐρηκότα,

καὶ ἄξια δέξαι ἄποινα· (Il. Z. 46.)

ἅπερ καὶ ὁ σὸς Δημοσθένης ποτὲ πρὸς θάμνον ἐβόα· πολέμιον τὸν θάμνον οἰόμενος;

Ἀλλὰ σύγε ταῦτα πάντα τε θάῤῥηκας· καὶ ταῦτα, πρὸς ἐκστρατείαν πρωτόπειρος ὢν, θαυμάσαιμι ἄν· εἰ μηδὲν ὧν εἴρηκα πεπόνθας, ὑπέρφευτης[1] τόλμης καὶ τοῦ φρονήματος· ἀλλὰ καὶ αὐτὸ τὸ τολμῆσαι θαῤῥεῖν τὸ βάθος τῆς ἑξῆς ὕλης, ὡς καὶ τέμπη διαβαίνειν Γαλατικὰ, ὑπεράγαμαι· καὶ μάλιστα ὅταν τὰς ἐναντίας καὶ ἐπ' ὀρθῆς πορείας ἐνθυμηθῶ, καὶ τὰς ἐπικύμβαχον καθόδους, ὡς φασὶ, τῶν ἵππων καὶ τῶν ἀνδρῶν.

Ταῦτα σοφώτατέ μου υἱὲ, οὔθ' ὁμαλὰ οὔτε ἥμερα προσπίπτει τῇ φαντασίᾳ· μὴ ὅτι γε καὶ αὐτῇ τῇ πείρᾳ ὑμῖν γινωσκόμενα· οὐ δὲ κατ' ἐκεῖνα τὰ θεωρήματα, καὶ οἷς δὲ πρώην πρός τε γεωμετρίαν καὶ θεολογίαν ἐστοιχειοῦμεν· οὐ μόνον τὰς μηδαμοῦ κειμένας γραμμὰς πολυπραγμονοῦντες, ἀλλὰ καὶ προόδους τινὰς καὶ ἐπιστροφὰς ἀπὸ τῶν κρειττόνων τοῖς χείροσιν καὶ ἐπ' αὐτὰ μεθοδεύοντες· καὶ ἄλλο μὲν εἶναι τὸ ἕν· ἄλλο δὲ τὴν ἐνάδα· καὶ ἄλλο τὸ ἡνωμένον τιθέμενοι· καὶ ἄλλο μὲν τὸ πλῆθος τὸ ἡνωμένον· ἄλλο δὲ τὸ ἓν τὸ πεπληθυσμένον· καὶ ὡς δι' ὁμοιότητος μὲν ἡ ἐπιστροφή· δι' ἑτερότητος δὲ ἡ πρόοδος· καὶ ἵνα ἀφῶ τὰ κομψὰ τῆς τεχνῆς· τὴν ἁρμονίαν· τὸ μέλος· τὴν μεταβολήν· τὴν κρᾶσιν τῶν ἰδεῶν· τὴν ἄνθην τῆς λέξεως· τῶν σχημάτων τὴν διπλῆν εὕρεσιν, ἢ στρογγυλουμένων, ἢ ἁπλουμένων· τἄλλα οἷς οἱ τῆς γλώττης ὄχθοι λεαίνονται, πάντα ἐκεῖνα νοερώτατα μὲν καὶ λεπτουργίας τοῦ νοῦ δεόμενα· ἀλλ' ὅμως ἄνευ φόβου καὶ ταραχῆς· ἐκεῖνα δὲ ἀλλ' ἐχθροῖς ἐμπελάσαιμι, καὶ πόῤῥωθεν περὶ τῶν τοιούτων ἀκούοιμι.

Ἐγὼ δὲ, καὶ νὴ τὴν καλλίστην ψυχὴν Μιχαὴλ, ἄνευ ἀλαζονείας σοι ταῦτα, καὶ ἵππον ἀναβέβηκα Μηδικὸν, καὶ τόξον

[1] sic. An ὑπερφυής?

ἔλαβων ποτὲ Περσικόν· καὶ ἵνα τὸ τοῦ Κίλικος ῥήτορος μικρὸν παρῳδήσω, αὐτίκα ὅσ^{οι} ἰτὰ)[k] καὶ φιλόσοφος ἦν δήπου, καὶ ῥήτωρ, πρεσβεύτης, ἤδη καὶ στρατιώτης· ἀλλὰ σύ μου τολμηρότατος πέφυκας, καὶ τάχα βέλτιστε παῖ, τὰ μὲν περὶ τοὺς λόγους πατρώζεις· τὰ δὲ περὶ ὅπλα καὶ μάχας, εἰς Αἰακίδας ἀνάπτεις τὴν τοῦ γένους σειράν· καί σε, ὡς ἔοικεν, Ἄρης τε καὶ Ἑρμῆς ἐμαιεύσαντο· καὶ παρ᾽ ἑαυτῶν ἕκαστος ἐχαρίσατο· ὁ μὲν τὸν λόγον· ὁ δὲ τὴν τόλμαν· ἀλλά μοι παρίστης τῷ βίῳ μέγα ἐσόμενος ὄφελος· καί μοι ἀμυνόμενος ἔπεσι καὶ χερσὶν ἄμφω τὰ γένη τῶν ἐχθρῶν τιμωρούμενος· ὁ κατ᾽ ἄμφω, καὶ λόγοις καὶ χερσὶ δοκιμώτατος.

XII.

Δέσποτά μου ἅγιε καὶ ἀήττητε βασιλεῦ, καὶ πῶς ἂν παραιτησαίμην τὴν λειτουργίαν, ὁρῶν σου τὸ κράτος τοιούτοις πόνοις περιαντλούμενον; σὺ γὰρ, ὡς εἰπεῖν, τῶν ἁπάντων τὸν ληνὸν τῶν ἀσώνων[l] πατεῖς μονώτατος, καὶ τῶν ἐθνῶν οὐκ ἔστιν ἀνὴρ μετά σου· τόξον γάρ σε χαλκοῦν ὁ Θεὸς ἔθετο τῇ τῶν Ῥωμαίων ἀρχῇ· καὶ ἀκαμάτως ἔχεις τῆς φύσεως· καὶ μόνος ἁπάντων καταπράττεσθαι σπεύδεις, τὰς βουλάς· τὰς μάχας· τὰς συμπλοκάς· μόνος τιτρώσκῃ πανταχόθεν βαλλόμενος· κατηλόησαι καὶ ἀγρυπνεῖς ὑπὲρ πάντων· καὶ τὰς ἁπάντων φροντίδας εἰς ἑαυτὸν ἀράμενος ἔχεις· καὶ τὸν καύσωνα τῆς ἡμέρας ὁμαλώτατος φέρεις.

Ἑστήκαμεν σοι ἀργοί τε καὶ ἄπρακτοι, καὶ τὸ τοῦ Ἰωνᾶς πεπόνθαμεν ἄντικρυς· ἐν σάλῳ καὶ κλύδωνι ῥέγχομέν σοι καθεύδοντες· μήτε τὸ ἱστίον μεταχειριζόμενοι, μήτε τοὺς κάλως διατιθέμενοι· μήτε πρὸς τὰς τῶν ἀνέμων ἐμβολὰς μηχανώμενοι· ὥσπερ φόρτος ἄλλος ἐῤῥιμένοι τῷ σκάφει, ἀλλ᾽ οὐχὶ σύμπλοι τυγχάνοντες· μὴ τοίνυν ἐτώσιον ἄχθος εἴημεν· ἀλλά σοι δουλευσάτω καὶ στρατιώτης ὅπλοις· καὶ ναυτίλος ἱστίῳ· καὶ γεωργὸς δικέλλῃ· καὶ τοῖς λόγοις ὁ λόγιος· καί με λαβὼν πέμπε, μὴ μόνον εἰς Ῥώμην ἀποκρίσεις κομίσοντα, ἀλλὰ καὶ

[k] de script. Cod. dubito. [l] sic Cod.

πέρα Γαδείρων εἰ βούλει, καὶ εἰς Ἴνδους, καὶ τὰ ἐπέκεινα Θούλης· μόνον εἴην σοι χρησιμώτατος.

Καὶ τί δυναίμην εἰς τὸ κοινὸν συνεισενεγκεῖν; τί γὰρ μὴ συνεισφέρειν εἰς τὴν παγκόσμιον ταύτην σκήνην τῷ κάλῳ σοι Βεσελεὴλ, καὶ ἀρχιτέκτονον ἕκαστον τὰς προσήκουσας αὐλαίας, ἅς τινας δὴ ταύτας ὑποληπτέον; οἶμαι δὴ τὰς παρ' ἑκάστῳ δυνάμεις καὶ τέχνας, καὶ τὰ προσόντα ἐπιτηδεύματα· ἐγὼ δέ σοι τρίχας αἰγείας προσενέγκοιμι τὸ φαυλότατον, τοιοῦτον γὰρ ὁ ἐμὸς λόγος, ἵνα μὴ παντάπασιν ἀσυντελὴς ὦ· καὶ τὴν παρ' ἐμαυτοῦ ῥοπὴν δίδωμι.

Ἀλλά με μᾶλλον αὐτὸς καθόπλισον, κραταιότατε βασιλεῦ· δὸς δέ μοι ὤμοιιν τὰ σὰ τεύχεα θωρηχθῆναι· καὶ στάλαξόν μοι τῆς σῆς πιθοῦς καὶ τῆς χάριτος· τάχα γὰρ ἂν οὕτως Ὀρφεύς τις ἄλλος πρὸς τοὺς Ῥωμαϊκοὺς ἐκείνους γενήσομαι· λίθους πάντας ἕλκων τοῖς κρούμασιν· εἰ δέ σοι κεφαλὴν ἐκεῖθεν δυνάστου κομίσαιμι, ἀλλὰ τοῦτο γε τῆς σῆς σφενδόνης ὁ κρότος ποιήσειε· σοὶ γὰρ μόνῳ παρὰ τοὺς ἀνέκαθεν βασιλεῖς, καὶ τὰς χιλιάδας καὶ τὰς μυριάδας δέδωκεν ὁ Θεός· καί σοι πανταχόθεν αἱ νίκαι τὴν θείαν κεφαλὴν περιστέφουσιν· ἐγὼ δὲ θαῤῥοίην ἂν τὴν διακονίαν διὰ τὴν εὐτυχίαν τοῦ βασιλέως.

XIII.

Τῷ Ῥήτορι.

Εἴπερ ἄλλοτε τῷ ῥήτορι πρόσεστιν ἴδιον ἡ πιθανότης τῶν λόγων, μᾶλλον ἐστὶν ἰδιαίτατον· αὐτίκα γοῦν καὶ πιθὼ δημιουργὸν ὁ Πλάτων τὴν σὴν ὡρίσατο τέχνην· ἔνθεν τοι καὶ πολλῶν ὄντων καὶ μεγάλων, ἅ σε ῥητορικώτατον ποιεῖ καὶ λογιώτατον, καταληφθέντα σαφῶς ἄνωθεν ἐξ ἀρχῆς, μέγιστον εἰς ἀπόδοσιν τοῖς σοῖς ἐν λόγοις παιδείας, τὸ πιθανῶς εἰπεῖν, ὅτι περ ἂν εἴη τὸ παρατεθέν· στοχάζῃ μὲν γὰρ εὐφυῶς, καὶ ὁρίζῃ πιθανῶς, καὶ ἰσχυρῶς ἀντιλαμβάνῃ· καὶ ἀντίθεις δικαίως· καὶ νόμῳ νόμον πλάττεις· καὶ διανοίᾳ ῥητὸν διελέγχεις· καὶ τεχνικῶς συλλογίζῃ· τὸ ἀναμφίβολον παριστᾶς τῷ ἀμφιβόλῳ[m]· καὶ εὑρίσκεις

[m] τὴν ἀμβιβολ'. Cod.

εὐπόρως τὰ πρῶτα, τὰ μέσα, καὶ τελευταῖα· καὶ ὥσπερ εἰς ἕνα κρατῆρα, τὰς τῶν λόγων ἰδέας πάσας κεράσας, ἔχεις ὁμοῦ, ὥσπερ ὁ Παιανιεὺς ἐκεῖνος.

Ὅλην οὖν Ῥητορικὴν ὑπὲρ τοῖς ἐν ὑποσχέσει θηριακοῖς τῷ σοφωτάτῳ μοι πατρί σου καὶ αὐθί μου, ἐπαφίημι διὰ τῆς σῆς γλώττης· φοβείσθω τὰς ἀποτορνεύσεις τῶν περιόδων, καὶ τὰς τῶν πνευμάτων ἀκμὰς ἢ καταφοράς· καὶ τὰς δριμύτητας τῶν διλημμάτων, ἢ τῶν κύκλων, εἰς ταυτὸ συννεύσεις[n] ἢ καταλήξεις· καὶ τὰς συνηχήσεις τῶν παρηχήσεων· ἐπιφωνείσθω καὶ περὶ τῶν ἐπιφωνημάτων νομίμως· μήπως τῷ ἐπὶ τῷ πράγματι ἔξωθεν λεγόμενον παλλιλογηθὲν, περισαλπίσει τούτου τὰς μήνιγγας· καὶ οὐδ᾽ ἂν ἡ πανάκεια τοῦτον ἰάσαιτο.

XIV.

Πρὸς τὸν Λίζικα.

Ὁ κάλλιστος Λίζιξ· ἀλλ᾽ ἐγὼ φιλόσοφος ὢν, καὶ τὴν ἀπὸ τῆς αἰσθήσεως γνῶσιν ἀλογώτεραν ἀποπροποιούμενος, ἀναπλάττω σου τῇ φαντασίᾳ τὸ σῶμα, τὸ εἶδος, τοὺς λόγους· τὰς ὑπερφυεῖς χαρίτας· τοὺς μεθ᾽ ἡδονῆς γέλωτας· εἶτα πόσην οἴει με λαχεῖν ἐν τούτοις παραψυχήν; ὡς διαχέομαι, νὴ τὴν λογιωτάτην σου ψυχήν· ὡς ἀποῤῥήτως ἔχω τῆς εὐφροσύνης· ἀπορῶ λόγων, οἷς παραστήσω σοι τὴν διάθεσιν.

Ἐπειδὰν δὲ συμμίξαιμι τῷ κοινῷ φιλῷ, τῷ εὐφυεστάτῳ Προδρόμῳ, διπλασιάζεταί μοι τὰ τῆς ἡδονῆς· γίνεται γὰρ ἡ συνουσία καὶ ὁ λόγος ἡμῖν περὶ σοῦ· ἄλλο μὲν ἐμοῦ λέγοντος τῶν σῶν, ἄλλο δὲ ἐκείνου διηγουμένου· καὶ πῶς διαμιλλώμεθά σοι, τίς πλειόνων, ἢ χαριεστάτων ἐπιμνησθήσεται; κἀγὼ μὲν τῷ πλήθει νικῶ· ὁ δὲ Πρόδρομος τοῖς καλλίοσιν· εὐφυέστερος γὰρ ὢν, προαρπάζει μου τὰ ἡδύτερα· εἶτα γέλως ἐξ ἑκατέρων εἷς· καὶ ἀπὸ διαθέσεως τῆς αὐτοῦ· καὶ οὕτως ἀνταποδιδόαμεν ἀλλήλοις τὰς ἡδονάς· ἃς καὶ ἀπὼν παρέχεις ἡμῖν, καί τοι τοῖς ἄλλοις ἀηδῶς· σὺ δὲ, εἰ μὲν οὕτως τὰ πρὸς ἡμᾶς, θαυμάζοιμ᾽ ἄν· εἰ δὲ μὴ οὕτως, οὐκ ἂν θαυμάζοιμι· τῶν γὰρ πραγμάτων

[n] συνεύσεις Cod.

ἡ ποικίλη φροντὶς, καὶ ἡ τοῦ κέρδους ἐλπὶς, τὸ λήθαιον ἴσως ἐκχέει σοι πόμα.

XV.

Εἰς τὸν Ἀδελφόν.

Ὁ μὲν φίλος οὗτος ἀρχαῖος, φίλτατε ἀδελφὲ, τί οὖν τὰ τῶν φιλῶν συνιστᾷ εἰς τοὺς μήπω μὲν ἐκείνοις φίλους, ἑαυτοῖς δὲ οἰκειοτάτους, δυναμένους δὲ βοηθεῖν οἷς οἱ φίλοι δέονται; τυγχάνεις δὲ αὐτὸς ταῦτα πάντα ὁ ἐμὸς ἀδελφὸς, τὴν γλῶσσαν δεινὸς, τὴν σύνεσιν ὀξὺς, τὸν νοῦν στιβαρὸς, τὴν προαίρεσιν ἀγαθὸς, φίλοις βοηθεῖν ἕτοιμος· γνωρίζω τοίνυν φίλον ἐμὸν, χρηστὸν τὸ ἦθος, τὴν παιδείαν οὐκ ἄμουσον, σὸν ποιησάμενος φίλον, δι' ἐμοῦ, μέσου καθάπερ τινος ὅρου, τοὺς ἄκρους συνάπτοντος πρὸς βοήθειαν, ὅσα καὶ ἡ γλῶσσα, καὶ ὁ καιρὸς, καὶ ἡ δύναμις δίδωσι· πυνθάνου[o] δὲ καὶ τῶν ἡμετέρων, καὶ ἐν οἷς τυγχάνομεν ὄντες παρ' αὐτοῦ, καὶ πάντα μαθήσῃ περὶ φίλου· καὶ συμπαθέστερον λέξοντος τῆς ἀψύχου γραφῆς, τὴν παρόρασιν, τὴν ὀλιγωρίαν, τὴν ἀδικίαν, τοὺς πόνους, τοὺς μόχθους, καὶ τὴν εἰς τὸ μηδὲν τούτων ὄνησιν· δι' ἄλλο μὲν μηδὲν, ὅτι καὶ ἄδικοι τυγχάνουσιν ὄντες οἱ ταῦτα πράττοντες.

Ἀλλὰ φέρειν ἀνάγκη τὰ ξυμπεσόντα, μηδὲν ἀφιλόσοφον ἐνδεικνυμένους καὶ ἄνανδρον· τί δὲ δεῖ δυσχεραίνειν τοῖς πράγμασιν, εἰ τῷ Θεῷ τὰ ἡμέτερα διεξάγοιτο; ἐῤῥωμένος διαβιώοις ἐν πᾶσι τοῖς ὑπό σε.

XVI.

Πρὸς τὸν Κυριακὸν Γραμματικόν.

Καὶ ἡ δισύλλαβος ἐπιστολὴ μακροτέρα πρὸς τὸν μηδαμῶς γεγραφότα· φιλτάτη ψυχὴ, σὺ δὲ ἄλλα πρὸς μὲν τὸν ἀδελφὸν γέγραφας ἅττα εἰκὸς, πρὸς ἡμᾶς δὲ οὐδὲ γρὺ τὸ τοῦ λόγου τοῦτο δὴ τὸ μυριόλεκτον ὑπέμεινας γράψαι· καί τοι σε οὔτε ἀσχολία τις ἀπάγει τῆς ἡμετέρας φιλίας· κρείττους γὰρ ἀπάσης ἀσχολίας ἡμεῖς· οὔτε τὸ νέον τῆς ἡλικίας ὀκνηρότερόν σε ποιεῖ· καὶ πρὸς γενναιοτέρους λόγους ἀποθαρσεῖν φύσιν ἔχοντα καὶ τέχνην εἰς λόγων ἀνδρικωτέραν φοράν· κἂν ὅτι

[o] πυθάνου Cod.

μάλιστα τὰ τῆς ἡλικίας ἀτελέστερα καθεστήκοι. ὥστε μὴ μόνος Ἑρμογένης ὁ Κίλιξ αὐχείτω τὴν παρ' ἡλικίαν ῥητορικὴν, ἐπὶ Μάρκου τοῦ Αὐτοκράτορος ἔτι παιδαγωγούμενος, σοφιστεύσας, ὥς που κἀκεῖνος φησίν· ἤνεγκε γὰρ ἡ φύσις καὶ ἐφ' ἡμῶν ἐκ μέσων σπαργάνων γενναίους ῥήτορας, ὁποῖον αὐτὸς ἐγώγε τὸν ἀκροφυέστατον ἐν πᾶσι λόγοις ἐμαίευσα.

Τίς οὖν ἡ αἰτία τῆς σιωπῆς; εἰ μὴ φύσις, μὴ ἡλικία, μηδέ τις ἀσχολία κρείττων ἡμῶν ἐγεγόνει σοι· ἢ ἄρα τὸ αἴτιον τῆς σῆς πρὸς ἡμᾶς ἀγραφίας ἔγνων, καὶ συγγνωμονῶ σοι τοῦ πάθους· ὁ γάρ τοι τοῦ βασιλέως Κυρίου Ἀλεξίου ἀνέλπιστος θάνατος γεγονὼς, καὶ ὁ ταυτησὶ τῆς συμφορᾶς χειμὼν, ἐνάρκησέ σου καὶ τὸν νοῦν καὶ τὴν δεξιὰν, καὶ τοὺς λόγους ὥσπερ ἀπεκρυστάλωσεν· ἀλλ' ἐπιτραγῳδήσω καὶ αὐτὸς τῷ πάθει μικρὸν, ἐπειδὴ ἐνταῦθα γέγονα· καὶ ἀντιθρηνήσω σοι, καὶ ὅ σοι τὴν συμφορὰν ἐπενθήσατο.

Οἷος γὰρ κατεσείσθη πύργος τῆς Ῥωμαίων ἡγεμονίας; οἷος ἀπώλετο πρόμαχος; ὢ νεότητος ἄνθους· ὢ κράτους διαδόσεως ἀθρόον ἀποῤῥυείσης· φεῦ τοῦ τηλικούτου κάκου· ᾤχετο βασιλεὺς ἐκ μέσων λόχων καὶ λοχαγῶν καὶ φρουρᾶς στρατηλατικῆς· χρῆμα τοσοῦτον βασιλικὸν ἐξαίφνης ἐκ τῆς βασιλείου σκήνης ἀνήρπαστο· σεσύλητο νεανίσκος τοσοῦτος καὶ τηλικοῦτος τὴν ἀρετήν· ἐκ μέσης τῆς τοῦ αὐτοκράτορος καὶ πατρὸς δεξιᾶς· ἄνευ πολέμου πολιορκία· καὶ ἄνευ μάχης βασιλέως αἰχμαλωσία· ὢ τῶν αὐτοῦ κλαυθμῶν καὶ θρήνων· ὢ τῶν ἐνταῦθα κωκυτῶν· ἀλλ', οὐ γὰρ δίδωσι πλέον εἰπεῖν ὁ τῆς ἐπιστολῆς νόμος, οὐδ' ἐπιμονῳδῆσαι τῷ πάθει διὰ μακροτέρων λόγων ἐνδέχεται βραχὺ ἐπιστόλιον γράφοντας· σὺ δὲ φιλτάτη ψυχὴ, ἐπειδὰν ἀφυβρίσῃ τὸ πένθος· εἰκὸς γὰρ καὶ σὲ, καὶ τὸν λοιπὸν περὶ τὸν βασιλέα κύκλον, τῷ Αὐτοκράτορι συμπενθεῖν, μεταδίδου τῶν σῶν χαρίτων, διαγραμμάτων ἡμῖν αὐτόθεν ἐνθάδε πέμπων τὰς καλλίστας ἐπιστολάς.

XVII.

Πολλὰ μὲν τερατολογοῦσι Χαλδαῖοι, λογιωτάτη ψυχὴ, τὴν κατ' αὐτοὺς θεολογουμένην φλυαρίαν συγγράφοντες· καὶ οὐκ

ἂν δυναίμην ἅπαντά σοι ἐκθέσθαι· ὀλίγα δὲ ἀπὸ πολλῶν συνερανισάμενος, ὡς ἐν βραχεῖ παραστήσω σοι τὸν πολὺν ἐκείνων φλήναφον· τὸ ἓν ἐστὶν αὐτοῖς πρώτιστον, ὥσπερ καὶ παρ' Ἕλλησιν εὕρηται θεολογούμενον· καὶ μᾶλλον τοῖς ἀπὸ Πλάτωνος· εἶτα ἐντεῦθεν τοῖς βαρβάροις ἐκείνοις πολλοὶ βυθοὶ φλυαρίας προχέονται· ὧν εἰσιν ἀξιώτατοι.

Καὶ πρῶτόν γε ὁ πατρικὸς βυθὸς παρ' ἐκείνων καλούμενος ἐκ τριῶν τριάδων συγκείμενος, ὥς φασιν· ὧν ἑκάστη πρῶτον ἐστὶ πατήρ· εἶτα δύναμις· τρίτον δὲ νοῦς· καὶ ἐστὶν ἐν μὲν τῇ πρώτῃ τριάδι πάντα πατρικῶς· ἐν δὲ τῇ δευτέρᾳ κατὰ τὴν δύναμιν· ἐν δὲ τῇ τρίτῃ κατὰ τὸν νοῦν· ἡ μέντοι δύναμις ὡς πρὸς τὸν πατέρα μὲν νοερὰ, ὡς δὲ πρὸς τὸν νοῦν νοητή· αὐτὸς δὲ ὁ πατὴρ ἱερὸν πῦρ ὑμνούμενος παρ' αὐτοῖς· ὡς πρὸς μὲν τὸν νοῦν νοητός ἐστιν· ὡς δὲ πρὸς τὴν δύναμιν ἀντὶ τούτων πατήρ· καὶ ὥσπερ ἡ πρώτη πηγὴ τὰ πάντα νοητῶς, οὕτως ἡ δευτέρα νοητῶς ἅμα καὶ νοερῶς· κατὰ μέντοι τὸ νοερὸν, ἡ τρίτη χαρακτηρίζεται αὐτὸ δὴ τὸ ἐξ ἀμφοτέρων κρᾶμα, λέγω δὴ νοερόν τε καὶ νοητὸν, πρῶτον ἀποβλυστάνει τὴν ἴυγγα· μεθ' ἣν τὰς τρεῖς ἴυγγας, ἃς καὶ πατρικὰς ὀνομάζουσι καὶ ἀφθέγκτους· καὶ ὅσπερ ἐστὶ τὸ ἐν τοῖς μετ' αὐτὸ βυθοῖς, τοῦτο ἡ πρώτη ἴυγξ ἐν ταῖς μετ' αὐτὴν ἴυγξι· καὶ ὅπερ ἡ πρώτη τριὰς ἐν τοῖς νοητοῖς, τοῦτο ἡ δευτέρα τριὰς ἐν τοῖς νοητοῖς ἅμα καὶ νοεροῖς· οἷον γὰρ ἀρχηγικώτατα καὶ κρύφια αἴτια.

Αἱ δὲ πηγαὶ τῶν ἀφθέγκτων διαιροῦσι τοὺς κόσμους τριχῶς· τὸν ἐμπύριον, τὸν αἰθέριον, τὸν ὑλαῖον· μετὰ δὲ τὰς ἴυγγας τάττουσι τοὺς συνοχέας αὐτῶν, τρεῖς δὲ αὐτοὺς ὄντας· λέγουσι δὲ τὰς μὲν ἀφθέγκτους ἴυγγας, δημιουργηκὰς[p] τῆς τῶν ἁπάντων ἑνώσεως· τοὺς δὲ συνοχέας τὰς προόδους τοῦ πλήθους ἐνίζειν, καὶ ποιεῖν τὸν τῶν θεῶν σύνδεσμον· μέσον γὰρ αὐτῶν τὸ κέντρον ἐπήξαντο· καὶ διὰ τοῦτο λέγεται συνοχεῖς· μετὰ τούτους ἀναπλάττουσι τοὺς τρεῖς τελετάρχας· ἐμπύριον, αἰθέριον, ὑλάρχιον· ὃν καὶ καλοῦσι πέρα[q] τῶν νοητῶν ἅμα καὶ νοερῶν· καὶ ἐφιστῶσι φρουροὺς τῶν πηγῶν ἁπασῶν· καὶ ἀπὸ

[p] sic Cod. [q] πέρας vid. leg.

τούτων παράγουσι τῶν ὅλων τὰς τελειότητας· καὶ αἱ μὲν ἴυγγες μονάδες εἰσὶ μόνον· οἱ δὲ συνοχεῖς μονάδες προφαίνουσαι τὸ πλῆθος.

Οἱ δὲ τελετάρχαι διῃρημένον τὸ πλῆθος ἔχουσι, καὶ οἱονεὶ προχεόμενον· καὶ ὥσπερ εἰς προποδισμόν τινα προκόπτον· καὶ εἰς ταύτας ἱστῶσι τὴν μέσην αὐτῶν διακόσμησιν· μετὰ δὲ τούτους ὑφιστῶσι τοὺς πηγαίους πατέρας, καὶ τῶν νοερῶν πηγῶν τὰς διακοσμήσεις· ἃς καί φασιν ἑπτὰ κεραυνούς· ὧν πρῶτοι μὲν εἰσὶν οἱ τρεῖς κοσμαγοὶ, κατά τινα τάξιν προεληλυθότες· ὁ ἅπαξ ἐπέκεινα· καὶ μετὰ ταῦτα ὁ δὶς ἐπέκεινα· καὶ μέση τις ἀμφοῖν ἡ Ἑκάτη· μετ' αὐτοῦ οἱ τρεῖς ἀμείλικται· καὶ ἕβδομος ὁ ὑπεζωκὸς, τὸ πέρας τῶν ζ κεραυνῶν· πρὸ δὲ τῆς ἑβδομάδος ταύτης ὑπεριδρύουσι τὸν ὑπερκόσμιον καὶ ἀμέθεκτον.

Ἔστι δὲ ὁ ἅπαξ ἐπέκεινα νοῦς πατρικὸς καὶ πατὴρ τῶν νοερῶν ἁπάντων· ἄῤῥητον δέ τινα δύναμιν τὴν Ἑκάτην ὑμνοῦσι τῶν κοσμαγῶν ἁπάντων θεόν· καὶ νοεροῦ φωτὸς τὰ πάντα πληροῦν αὐτὴν τερατεύονται· καλοῦσι δὲ τούτους κοσμαγοὺς ἅπαντας, ὡς προσεχῶς ἐπιβαίνοντας τοῖς κόσμοις ὅλοις· ὁ δὲ δὶς παρ' αὐτοῖς ἐπέκεινα μεταδίδοσιν ἑαυτοῦ τοῖς κόσμοις, καὶ κατασπείρει εὔλυτα φέγγη· ἵνα καὶ τοῖς ἐκείνων χρήσωμαι ῥήμασι. τί δ' εἰ λέγοιμι περὶ τῶν τῆς Ἑκάτης χαιτῶν, καὶ τῶν κροτάφων καὶ τῶν λαγόνων αὐτῆς· καὶ τῶν περικρανίων πηγῶν καὶ ζωστήρων; εἰς ἀλλόκοτα γὰρ ὡς εἰκὸς ἐξαγάγω τὸν λόγον, καὶ πράγματα καὶ νοήματα· λέγω δὴ τὴν πυριπλῆτιν πηγὴν, καὶ τὴν μετ' ἐκείνην δρακνάκαν[r] καὶ δρακοντόζωνον· ἣν καὶ σπειροδρακοντόζωνον ἄλλοι παρασυνθέτως προσαγορεύουσι· καὶ τὴν ἐπ' αὐτοῖς λεοντοῦχον.

Μετὰ ταῦτα δὲ οἱ πάντα τολμηρῶς πλάττοντες βάρβαροι τὴν φύσιν αὐτὴν ἀπαιωροῦσι τῶν τῆς Ἑκάτης νώτων· καὶ τὴν μὲν πηγὴν τῆς ψυχῆς ἐκ τῶν δεξιῶν ταύτης λαγόνων ἀποχετεύουσιν· ἐκ δὲ τῶν ἀριστερῶν τὸν τῶν ἀρετῶν ἀποβλυστάνουσι ποταμόν· καὶ ἄλλας δέ τινας πηγὰς ἀῤῥήτους, καὶ μερικωτέρους τινὰς ὀχέτους, ἀπομερίζονται· οἷον, τὴν δαιμονιοῦχον, καὶ

[r] sic Cod.

τὴν τῶν ἀγγέλων, ὡς αὐτοὶ λέγουσι· καὶ ἵνα σαφέστερον περὶ τούτων ἐρῶ, τῶν κοσμαγῶν αὐτῶν, ὁ μὲν ἅπαξ ἐπέκεινα, ἑνιαῖος ἐστὶ, καὶ κεκράτηται τῷ ἑνί· διαδικὸς δὲ ὁ δὶς ἐπέκεινα· αὕτη δὲ ἡ Ἑκάτη μόνον ἐπέκεινα λέγεται· οὐ γὰρ τάξιν σημαίνει τινὰ παρ᾽ αὐτοῖς τὸ ἅπαξ καὶ δίς· ἀλλὰ τὸ μὲν μονοειδοῦς ἐστιν ἐνεργείας, τὸ δὲ πεπληθυσμένης· ἐπεὶ τῇγε τάξει τρίτος ἐστὶν ὁ δὶς ἐπέκεινα· δεύτερος δὲ ἡ Ἑκάτη.

Ἰστέον δὲ ὅτι ὥσπερ ἄλλα μὲν εἰσὶ τὰ τῆς Ἑκάτης, οἷον, χαῖτα, κρόταφοι, κορυφὴ, λαγόνες· ταῦτα γὰρ αὐτῆς αἱ πηγαί· ἄλλα δὲ τὰ περὶ ἑαυτὴν, καθάπερ αἱ περικράνιοι καὶ ὁ ζωστήρ· περὶ γὰρ ταύτην διακεκόσμηνται, ἀλλ᾽ οὐκ ἐν αὐτῇ· οὕτω δὲ ὁ δὶς ἐπέκεινα ἔχει πλῆθος πηγῶν· τὰς μὲν περὶ αὐτοῦ, τὰς δὲ ἐν αὐτῷ· τήν τε τῶν εἰδεῶν πηγὴν τὴν κεραύνιον· τὴν τῶν διοπτρῶν· καὶ ἄλλας τινὰς παραγωδεστέρας· καὶ οἱ μὲν συνοχεῖς φρουροῦσι τὰς ὑπάρξεις ἄνωθεν τῶν πατέρων αὐτῶν· οἱ δ᾽ ἀμείλικτοι τὰς ὅλας αὐτῶν καὶ πηγαίας ἐνεργείας ἀχράντους διατηροῦσιν· ἕκαστος τῶν κοσμαγῶν τὴν ἀμείλικτον ἔχει τριάδα· ἀλλ᾽ ὁ μὲν πρῶτος, ἐμπυρίως· ὁ δὲ μέσος, αἰθερίως· ὁ δὲ τρίτος, ὑλαίως· ἐσχάτη δὲ τῶν ἑπτὰ ἡ τῶν ὑπεζωκότων[8] ἐστὶ πηγή· προτουργὸς αἰτία τῆς νοερᾶς διακρίσεως· καὶ ἔστιν αἰτία τῆς ἑτερότητος· καθάπερ οἱ ἀμείλικτοι τῆς ταυτότητος· ὥσπερ οἱ κοσμαγοὶ τῶν ὑποστάσεων εἰσὶν αἰτιώτατοι.

Δεῖ δὲ μὴ θαυμάζειν, φησὶν ὁ τῶν τοιούτων λήρων ἐξηγητὴς, εἰ μία μὲν ἡ πηγὴ τῶν διακρίσεων· τριὰς δὲ τῶν ἀμειλίκτων καὶ τῶν κοσμαγῶν· ἐν γὰρ ταῖς πηγαῖς, ὥς φασι, τὰ μὲν ἑνοποιὰ κρατεῖ· τὰ δὲ διαιρετικὰ ἐλαττοῦνται· καθάπερ ἐν τοῖς ἀποῤῥέουσι τῶν πηγῶν ὀχετοὶ ἀνάπαλιν· τὰ μὲν διαιρετικὰ γένη πλεονάζει· τὰ δὲ ἑνωτικὰ τάξιν ὑφειμένην ἔλαχεν· εἰ δὲ οἱ ὑπεζωκότες, Τίτανες παρ᾽ αὐτοῖς λέγονται· μήποτε ἢ ἐκ τούτων συνιστῶσιν Ἕλληνες τὴν Ὀρφικὴν θεολογίαν αὐτῶν; ἢ ἐξ Ὀρφέως οἱ βάρβαροι μυθοπλαστοῦσι τὴν κατ᾽ αὐτοὺς τερατολογίαν; πολλὰ ἦν καὶ ἄλλα τῶν Χαλδαϊκῶν ληρημάτων εἰπεῖν· ἀλλ᾽ εἰς τέλος ἐπελθεῖν τοῖς διεξιοῦσιν ἀμήχανον.

[8] ἐπεζωκότων Cod.

XVIII.

Ἐζήτησας, φιλοσοφωτάτη ψυχή, τίνα μέν ἐστι τὰ Ἐμπεδοκλέους ἔπη τὰ περὶ τοῦ νείκους καὶ τῆς φιλίας· τῶν τούτου ποιητικῶν ἀρχῶν διαλαμβάνοντα; ποῦ δὲ καὶ πῶς μέμνηται τοῦ αὐτομάτου; τίνα δέ ἐστιν οἷς οὗτος ἀνὴρ περί τε τῆς κοιλίας τῶν ῥινῶν φυσιολογεῖ, καὶ ὡς ἡμῖν κοίλη γένοιτο, καὶ ὑπό τινας αἰτίας οἷον ἐμβοθρωθεῖσα· αἱ δὲ ῥῖνες διατετρημέναί γε γένοιντο· καθάπερ Ἀριστοτέλης φησὶν ἐν τῷ περὶ ζώων μορίων πραγμάτων; ποῦ δὲ τῶν ἐπῶν ἡ ῥάχις τῶν ζώων Ἐμπεδοκλεῖ κατεάγεν; ἔστι δὲ οἷς μὲν αὐτὸς μέμνηται περὶ φιλίας καὶ νείκους ταῦτα τὰ ἔπη·

ἄλλοτε μὲν φιλότητι συνερχόμενα εἰσὶν ἅπαντα
ἄλλοτε δ' αὖ δίχα ἕκαστα φορεύμενα νείκεος ἔχθει.

τὸ δὲ τὴν συντυχίαν τοῦ φιλοσόφου παρεμφαῖνον τοιοῦτόν ἐστιν·

οὕτω γὰρ ξυνέκυρσε θεῶν τότε· πολλάκι δ' ἄλλως.

Οἷς μέντοι περὶ κοιλίας καὶ ῥινῶν, καὶ ῥάχεως φιλοσοφεῖ, αὐτὸς μὲν οὐκ ἐντετύχηκε[8], νὴ τὴν ἱεράν σου κεφαλήν, ποιησαίμην δ' ἂν σοι κατὰ νοῦν τὸν ἐμφερόμενον ἐν τοῖς Ἀριστοτέλους συγγράμμασιν Ἐμπεδόκλεια ἔπη· οὐδὲν τῶν ἐκείνου τοῦ ῥυθμοῦ ἀποδέοντα· ἔστω δὲ τὰ μὲν τῆς ῥάχεως πέρι τοιαῦτα·

ζῶα δὲ ταυτογένεθλα πάρος χθονὸς ἐξανέτελλεν·
αὐτὰρ ἔπειθ' ἑλέλικτο καὶ ἄγνυτο ῥάχεος ὄρπηξ·

τὰ δὲ τὴν κοιλίαν κοίλην ποιοῦντα, καὶ τετρημένας τὰς ῥίνας, οὕτως ἐχόντων·

ὑγρὸν μὲν φιλότητι διέβλυσεν αὐτίκα ὕδωρ·
σιτοδόκον δὲ κάτω πολυχανδέα γαστέρα τεῦξε·
πῦρ δέ τοι ἀρχεγένεθλον εὐτρήτους περὶ ῥίνας
ἀμπνεύσας διώδευσεν, ἔωξε τὲ πνεύματι ῥύμην.

καὶ ἔστω σοι ταῦτα πρὸς τοὺς παραβάλλοντας μαθητάς, καὶ μεγάλῳ καὶ τραγῳδικωτάτῳ λεγόμενα στόματι, μετὰ στομφασμοῦ τινος ἢ λαρυγγισμοῦ· ἐπειδὰν φιλοτιμοῖο πρὸς τούτους, καὶ δὴ κατὰ τοῦ Ἐμπεδοκλέους ἔπη καὶ τὴν φυσιολογίαν ὅλην ἐπὶ στόματος ἔχοις.

[8] leg. ἐντετύχηκα.

XIX.

[t]Οὐ τὴν ἐμήν σοι δόξαν περὶ ὧν ἠρώτηκας διέξειμι, φιλοσοφωτάτη ψυχὴ, ἀλλ' οἷς αὐτὸς οὐ πρόκειμαι, ἐκεῖνα διερωτώμενος ἀποκρίνομαι· ἐγὼ γὰρ, μὴ ὅτι τὸν γάμον τὴν ἀρχὴν τοῦ ἀνθρωπίνου βίου, ἀλλ' οὐδὲ ἄλλό τι τῶν ἡμετέρων, τῆς τῶν ἄστρων κινήσεως ἐξαρτώην· οὐδὲ γὰρ τοῖς πλέκουσι τὰς γενέσεις συμφέρομαι· μὴ οὕτω μανείην· ἄστρα δὲ ἀφεὶς, τὰ μὲν εἰς φαῦσιν, ὥς φησιν ὁ ἐμὸς ἀστρονόμος Μωσῆς· τὰ δὲ εἰς σημεῖα τὲ καὶ καιρούς· πολλοῦ δέω πιστεῦσαι, Μανέθωνί τε, καὶ Δωροθέῳ, καὶ Κολοκύνθῳ, καὶ τῷ πάντων μάλιστα τὰ τοιαῦτα ἠκριβωκότι Κλαυδίῳ τῷ Πτολεμαίῳ, ταῖς ἐκείνων γενεθλιαλογουμέναις βίβλοις, τὰ ἡμετέρα ταλαντεύουσιν.

Εἰδέναι μέντοι περὶ τούτων, καὶ λέγειν ὅσα εἰς ἐμὴν ἐληλύθασι[u] γνῶσιν, οὐκ ἂν ἀρνηθείην, ὥσπερ καὶ περί τινος ἄλλου τῶν παρ' Ἕλλησι μὲν τιμωμένων, παρ' ἡμῖν δὲ ἀτιμαζομένων· οὐ πολυμάθειαν ἐνδεικνύμενος, ἀλλὰ φιλομαθοῦς ψυχῆς ἀποπληρῶν ὄρεξιν· τοσοῦτον μέντοι περὶ ἁπάντων προλέγω, ὡς οὐ προπέπονθα τοῖς λεγομένοις, οὐδ' ὡς ἀρεσκόμενος ἐπεξέρχομαι· οἷον αὐτίκα καὶ τῷ περὶ γάμου αἰρωτήματα διαιρῶ· παραιτούμενος τά τε τοῦ Μανέθωνος καὶ Δωροθέου τοῦ Σιδωνίου· παρατρέχων δὲ καὶ τοὺς ἄλλους διὰ τὸ μῆκος τοῦ λόγου, καὶ τὸ δυσπόριστον τῆς ψηφιφορίας τῶν ἐν πλάτει καὶ μήκει κινουμένων ἀστέρων· δεῖ γὰρ οἶμαι πρὸς ταύτας τὰς βίβλους ἐφημερίδος· δεῖ δὲ ἀστρολάβου· καὶ τῶν ἄλλων ἁπάντων, ἀφ' ὧν εἰς κατάληψιν τῶν ἀποτελουμένων, οἱ τὴν ἀστρολογικὴν μετιόντες ἐξέρχονται τέχνην.

Ἁπλούστερον δὲ περὶ τούτων εἰδὼς τὸν περὶ καταρχῶν συγγραψάμενον Μάξιμον, ἡρώῳ μέτρῳ τὴν πραγματείαν αὐτοῦ κοσμήσαντα, τούτῳ χρῶμαι πρὸς τὴν τῶν ἠρωτημένων κατάλυσιν, ὀλίγα τῶν αὐτοῦ συνόψησας, ἵνα μὴ παρὰ τοῦ δέοντος ἀστρονομοίην· φησὶ τοίνυν οὗτος ὁ ἀνὴρ, ἵνα διαλύσω τὸ μέτρον εἰς λόγον πεζὸν, " σελήνης πορευομένης Κριὸν ἢ καὶ Ταῦρον,

[t] in marg. rec. m. ἐπιστολὴ περιέχουσα τινὰ τῶν ἀστρολογίας. [u] ἐλήλυθα Cod.

ἀπὸ γὰρ τῶν ταύτης δρόμων τὰς προστελέσεις τῶν γάμων λαμβάνει, χαλεπὸν εἶναι καὶ ἀσύμφορον γυναῖκα λαβεῖν· ἀποστρόφους γὰρ καὶ[v] ἀστόργους τοὺς γάμους ἐργάζεται· τὰς δὲ αἰτίας ἐν ἄλλῳ καιρῷ πυνθάνου μου· ἐν δὲ Διδύμοις οὔσης, κατὰ μὲν τὴν πρώτην ἡμέραν μοιχείας ἀποτελεῖσθαι· καὶ ῥυπαρῶν πόθων ἐπιμιξίας· εἰς δὲ δευτέραν ἡμέραν ὁ γάμος ἀρυπαρώτερος.

Καρκίνου δὲ ἢ Λέοντα μεταπορευομένης σελήνης, μαχίμους καὶ λάλους καὶ ἀκαθέκτους εἰς ὀργὴν ἀποτελεῖ τὰς γυναῖκας· καὶ αὐτὸ τοῦτο, ἀντιανείρας καθ' Ὅμηρον, τουτέστι ὁμόσε τοῖς ἀνδράσι χωρούσας εἰς μάχην. Παρθένου δὲ ἐπικαταλαβοῦσαν, πρὸς μὲν τὰς παρθένους ἀσύμφορος· ὥσπερ ἀντιπεπονθότος τοῦ ζωδίου τούτου τοῖς ὁμωνύμοις παρθένοις· πρὸς δὲ χήρας εὐδαιμονέστερον τὸν γάμον εἶναι φησίν. Ζυγὸς δὲ τὴν σελήνην δεξάμενος, ταῖς μὲν τὸν τῆς δουλείας ἐχούσαις ζυγὸν, εὐροώτερον τὸν γάμον· ταῖς ἐλευθέραις δὲ δυσμενής ἐστι καὶ πολέμιος.

Σκορπίου δέ γε τὴν μὲν πρώτην ἡμέραν τῆς σελήνης ἐπαινεῖ· τὴν δὲ δευτέραν ἀποδούλων εἶναι μαντεύεται. Αἰγόκερως δὲ πρώτῳ γάμῳ ἄγει λύπας καὶ πήματα λυπηρὰ, ἵν' εἴποιμι τὸ τοῦ ἔπους ἀκροτελεύτιον· εὐδαιμονεστέρους δὲ τοὺς δευτερογαμοῦντας ποιεῖ.

Τὰ δ' ἐπίλοιπα τρία ζώδια· Τοξότης, Ὑδριχόος, Ἰχθύες, ἡδεῖς μὲν τοὺς γάμους καὶ εὐτυχεστάτους ὡς ἐπίπαν· σωφρονεστάτας δὲ τὰς γαμετὰς, καὶ φιλοστόργους καὶ φιλάνδρους παρέχονται, ὅταν ἡ σελήνη τούτοις ἐπιδημήσει· πονηροτάτας μέντοι τὰς συνόδους, καὶ τὰς κατὰ διάμετρον ἀποστάσεις ἡλίου τε καὶ σελήνης οἱ ἀστρονόμοι καταλαμβάνουσι πρὸς τὰ συνοικέσια· καὶ φεύγειν παρακελεύουσι τοιούτους σχηματισμούς· ἀλλὰ ταῦτα μὲν ἴσως δῆλα τοῖς τὰς ἐφημερίδας τοῖς κόλποις ἔχουσιν· οἷς καὶ τὸν ἥλιον ἔξεστι τῷ ἀστρολάβῳ μετεωρίζειν, καὶ τὰς ἐποχὰς τῶν ἀστέρων λαβεῖν.

Σοὶ δὲ πῶς ἔσται φανερόν τε καὶ γνώριμον ἐν τίνι τῶν δωδεκατημορίων ἐστὶν ἡ σελήνη· καὶ πῶς αὕτη πρὸς τὸν ἥλιον

[v] καὶ om. Cod.

ἐσχημάτισται· ἀλλ' ἐγώ τοι καὶ πρὸς ταῦτα μέθοδον δοίην τεχνικωτάτην καὶ εὐκατάληπτον ἐν ἑτέρᾳ ἐπιστολῇ· κατὰ τοσοῦτον μέντοι ἀστρονομήσεις τοὺς γάμους ἁπλούστερόν τε καὶ ἀπονώτερον· ταῖς δὲ Λυδοῦ μαντείαις, ἃς ἐκεῖνος ἔκ τε φώντου καὶ φηγούλου, καὶ τοῦ μυθολογουμένου παρὰ Ῥωμαίοις Τάγητος συναγήοχε, μὴ πάνυ τι πρόσεχε· τερατολόγος γὰρ ὁ ἀνὴρ οὗτος καὶ πολυφόρητος· ἡ μέντοι σελήνη κατὰ τὴν προκαταῤῥαγεῖσαν βροντὴν ἐν Ζυγῷ μὲν εἶχεν εἰκοστὴν καὶ ἐννάτην μοῖραν· εἰκοστὴν δὲ καὶ ἑβδόμην ἦγεν ἡμέραν ἀπὸ συνόδου· δευτέραν δὲ ἦν μηνοειδὴς ἑξαγωνικῶς τὸν ἥλιον σχηματίζουσα· αὐτὸς δὲ ὁ ἥλιος νῦν ἐπέχει τὸν Αἰγοκέρωτα κατὰ τὸν χειμερινὸν τροπικόν· καὶ εἴ γε πιστεύεις τῷ Λυδῷ Ἰωάννῃ, πρὸς τὰ ἐκείνου σε πέμποιμι Βροντολόγια.

XX.

Τῷ Τζικνόγλῳ.

Πυνθάνομαί σου, φίλτατε ἀδελφὲ, περὶ τῆς θαυμασιωτάτης σου ἀδελφῆς, ὅπως ἔχει, καὶ εἰ ὁ τὰ περίεργα ὑπισχνούμενος ἐκεῖνος ἄνθρωπος διεπράξατό τι· μᾶλλον δὲ καὶ διαπραξάμενος ὤνησε· καὶ εἰ ἐφεύρατό τινα λύσιν πρὸς τὴν ἀκαταγώνιστον νόσον; ἐγὼ γὰρ καὶ θήριον ἀγριώτατον ἄντικρυς ἐκείνην ἀποκαλῶν· ἢ ἐὰν οὐδέπω τῆς κατ' αὐτὸν ὑπήρξατο τέχνης· ὡς εἴθε μὴ δὲ ἀπάρξαιτο· τὰ γὰρ τοιαῦτα νόμοι Χριστιανῶν ἐξελαύνουσιν.

Ἐγὼ γὰρ, φιλτάτη ψυχὴ, καί μοι μηδὲν ἀπιστήσειας, πολλὰ τοιαῦτα οἶδα· καὶ ὅσα οὐκ ἄν τις τῶν κατὰ τήνδε τὴν φορὰν ἀνθρώπων ἐπίσταιτο· βίβλους περὶ τούτων ἀναλεξάμενος παμπόλλας, Χαλδαϊκάς τε καὶ Αἰγυπτιακάς· καὶ ὁπόσα Πρόκλῳ τὲ τῷ φιλοσόφῳ περὶ τῆς ἱερατικῆς διεσπούδασται τέχνης, ἣν καὶ μαγικὴν ὀνομάζουσι· καὶ ὅσα τοῖν δυοῖν Ἰουλιανοῖν συγγεγράφαται· καὶ Ἀπολλωνίῳ τῷ Τυδνεῖ[w]· καὶ πολυμαθεστάτῳ Ἀφρικανῷ· ἀλλὰ καὶ εἴτι ταῖς τριοδίτισι γραυσὶ πεφλυάρηται, καὶ ὅσα ἄλλα περὶ τὸν ἰδιώτην εἰλεῖται ὅμιλον· καὶ μέχρι

[w] sic Cod.

τούτων ἐξέτεινα τὸ φιλομαθὲς τῆς ψυχῆς· οὐδὲν δὲ διεπραξάμην, ἴστω Θεὸς, ἄῤῥητον· οὐδὲ μὴν ἄλλον ἀῤῥητουργοῦντα ἰδεῖν ὑπέμεινα· καί τοι καὶ ἐπῳδάς τε καὶ συνδέσμους καὶ συνθήματα πάμπολλα συνειλοχὼς πολυσύμφορα, ἐπαγγελίας ἀῤῥήτους ἔχοντα, καὶ θεραπείας ἐξωδηκότων σπλάγχνων, καὶ ὄγκων ἀπολωφήσεις, οὐδὲν ἐκ τούτων οὔτε διεπραξάμην, οὔτε ἐπίστευσα πώποτε.

Ἐπὶ δὲ τῇ θαυμασιωτάτῃ σοι ἀδελφῇ, ἴσθι ὡς ἀπεχρησάμην ἄν τινι τῶν τερατολογουμένων τοῖς τῶν Χαλδαίων λήροις, εἰ μὴ ἐγίνωσκον καταροτάτους ὄντας ἑξῆς ἅπαντας, καὶ ὅσοι τοῖς τοιούτοις προσέχουσι· καὶ ὡς μενεῖ τούτους τὰ ἐν ᾅδου δικαιώματα· διὰ τοῦτο τὴν ἀπὸ τῶν τοιούτων βοήθειαν παραιτησάμενος, ἀπομείλιξίν τινα τοῦ θηρίου ἐφεῦρον παρά τινος τῶν ἀρχαίων παραδεδομένην σοφήν· ἣν αὐτοπροσώπως σοι ἀφηγήσομαι, ἐπειδάν σε θεάσομαι· γράψαι γὰρ οὐκ εὐπετὲς διὰ τὸ τῆς παραγγελίας πολύστιχον· εἰ δ' ἐφθάσατο ὁ ἀνὴρ ἐκεῖνος ποιῆσαι οἷον ἐπήγγελτο, ἐγὼ μὲν ὡς οἶσθα, ὅταν περὶ τούτου μοι τὸν λόγον ἀνεκοινώσασθε, καὶ ἀπετριψάμην εὐθύς· καὶ ὡς οὐδέν τις ὠφέλεια προσέσται τῷ πράγματι προειρήκειν· διὰ δὲ τὴν γυναικωνίτιν ὑπεχάλασά τι μικρὸν, μὴ αὐτίκα καὶ ὀλολύξειε· βουλοίμην δ' ἂν μαθεῖν, εἴ τι χρηστὸν κἂν ἀπὸ τῆς περιεργίας ἀπήντηκεν.

XXI.

Τῷ ἰατρῷ Λειψιώτῃ.

Φιλοσοφώτατέ μοι καὶ γραμματικώτατε ἰατρῶν· καὶ τὴν ἰατρῶν τέχνην ἐκμελετήσας ὡς ἄριστα· προσῳδίαι μὲν εἰσὶ δέκα, σὺ δὲ πρῶτος καὶ μόνος ἐν ἰατροῖς ὁ γραμματικώτατος ἰατρῶν· καὶ μή μοι τοῦτο πρόφερε, εἰ πρῶτος, πῶς μόνος; καὶ εἰ μόνος, πῶς πρῶτος; ὑφορῶμαι δέ σου τὸ δριμύτατον πανταχόθεν, καὶ καταφορῶμαί σε ἐντρεχεστέρως εἴπῃς, καὶ πανουργεύσαιο· ἔνθέν τοι καὶ γραμματικὴ μέν ἐστιν ἐμπειρία τῆς παρὰ ποιηταῖς τε καὶ συγγραφεῦσιν· αὐτὸς δὲ ἐν πείρᾳ πάντων γεγένησαι, φύσεως τυχὼν φιλοπονωτάτης.

Οἶδας γὰρ καὶ τὰ τοῦ Σωράνου καὶ τὰ τοῦ Ἱπποκράτους·

ἐπίστασαι Γαλήνειά τε καὶ Ἡροφίλεια, καὶ τὰ τοῦ Ἡρωδιανοῦ, καὶ τὰ τοῦ Τρύφωνος, καὶ τὰ τοῦ Ἡροδότου, καὶ τὰ τοῦ Ἥρωνος· καὶ οὐ μόνον ἀλλὰ καὶ λέγεις αὐτὰ εἰδέναι, καὶ οὔτ' εἰρωνεύῃ οὔτ' ἀλαζονεύῃ τοῖς λόγοις· τὰ μὲν γὰρ οἶδας ὡς ἰατρὸς, τὰ δὲ ὡς γραμματικός· τὰ δὲ ὡς μηχανικός· πάντα δὲ ὡς πολλῶν ἐμπειρότατος· εἰ γὰρ ταῦτα περὶ σοῦ μὴ εἰδείην, Λειβηθρίων ἂν εἴην, ὡς ἀληθῶς ἀλογώτερος, καὶ ξενώτερος τῶν Στοϊκῶν, καὶ κενώτερος τῶν Ἐπικουρίων, καὶ στενότατος ἐν τοῖς λόγοις· καὶ οὐδὲν ἂν ἄλλό τι τῶν καλῶν ἐπιγνοίην, εἰ σὲ ἀγνοήσαιμι· ἀλλὰ καὶ γέλων ὀφλησαίμην παρὰ σωφρονοῦσι· καὶ ἔρον οὐ σχοίην τῶν ἀγαθῶν.

Ὁρᾷς, φιλοσοφωτάτη ψυχὴ, ὅπως γραμματικεύομαι πρὸς σὲ τὸν γραμματικώτατον· ὥσπερ γὰρ εἰ καὶ σοφιστὴς ἐτύγχανες ὢν, ἀντεσοφίστευον ἂν πρὸς σὲ, οὕτω γραμματικευομένῳ σοι τὴν τέχνην ἀντεπιδείκνυμι· σὺ γάρ με εἰς τὴν τοιαύτην παιδιὰν κατήνεγκας,

ἀπ' ἀκροτάτης κορυφῆς πολυδειράδος Οὐλύμποιο·

πολλάκις μοι ἀπὸ τῆς σῆς γραμματικῆς στωμυλλώμενος· καὶ εἰ μή τισι μειρακιευόμενος ἔδοξα· τὰ Φημονόης ἂν σοι διεξῆλθον, καὶ Δημοῦς τῆς γραμματικῆς· τῆς μὲν ἔπος εὑρούσης· τῆς δὲ τέχνας συγγραψαμένης· εἶπον ἂν καὶ τίνες μὲν τοῦ ἔπους γεγόνασι κράτιστοι ποιηταὶ, ὧν ὁ Πανίασις γνωριμώτατος μετὰ Ὅμηρον· τίς δὲ ὁ Ἐπικὸς κύκλος· τίνα δὲ Στασίνῳ τὰ Κύπρια· τίς δὲ ἡ μελικὴ ποίησις, καὶ εἰς πόσα διῄρηται· καὶ ποῖα μὲν τῆς μελικῆς εἰς θεοὺς ἀναφέρεται, καὶ λέγεται ὕμνος Ἀδωνίδος· τίνα δὲ εἰς ἀνθρώπους, καὶ ὀνομάζεται ἐγκώμια· ἐπινίκια· σκολιά· γίλλος· θρῆνοι· ποῖα δὲ καὶ τὰ ἐξ ἀμφοῖν συγκείμενα, καὶ λέγεται παρθενικά· δαφνηφορικά· ὀσχοφορικά· καὶ τί ἐστι τούτων ἕκαστον.

Ἐπεξῆλθον ἂν σοι καὶ περὶ μέτρων, καὶ τομῶν, καὶ παθῶν· καὶ τί μὲν ὁ ἴαμβος· τί δὲ ἡ παριαμβίς· καὶ τίς ὁ δάκτυλος ἢ ἀνάπαιστος· ὅσα τε Ὑφαιστίων, καὶ ὁπόσα ὁ Καυτιλιανὸς Ἀριστείδης γεγράφατον· ὁ μὲν γραμματικῶς, ὁ δὲ μουσικῶς· ἐπεὶ καὶ ὁ μὲν γραμματικὸς, ὁ δὲ μουσικός· ἔχει δὲ καί τινα

συγγένειαν ἡ γραμματικὴ πρὸς τὴν μουσικήν· μᾶλλον δὲ ἀρχιτεκτονικωτέρα μουσικὴ τῆς γραμματικῆς· ὥσπερ ἰατρικὴ φυσικῆς, καὶ γεωμετρία τῆς ὀπτικῆς· οἶδα καὶ Θηριακὰ Νικάνδρου, καὶ τὰ τούτου Ἀλεξιφάρμακα· καὶ οὐδὲ τὰ πρὸς Πίσωνά με διέλαθε τοῦ σοῦ Γαληνοῦ.

Ἀλλ' ἐμοῦ σὺ ἐν τούτοις ἐμπειρικώτερος· διὸ καὶ τὸ μέτρον τῆς δόσεως τῶν Θηριακῶν οὐ μόνον ἀναδίδαξεις ὡς σοφώτατος, ἀλλὰ καὶ ἀποστείλει ὡς πλουσιώτατος· ὅτι καλλίστη καὶ τῶν ἐπαινουμένων ἡ ἀντίδοτος ἔσται οὐκ ἂν ἀμφιβάλλοιμι· καὶ τί γὰρ τῶν σῶν οὐ καλόν; οὗ καὶ τὸ πάρεργον ἔργον ἐστὶ τοῖς πολλοῖς σπουδαιότατον.

XXII.

Τῷ Ἀκτουαρίῳ.

Κῆνσον τοῦτο ἀποδίδωμι τῷ ἐμῷ Καίσαρι· ἤδη γάρ σοι στράτῳ καὶ ὡς ὁρᾷς, μᾶλλον δὲ τοῖς σοῖς ἀπογέγραμμαι διδάσκαλος ἰατρῶν χειροτονηθείς· πλὴν οὐκ ἀπὸ στόματος ἰχθύων ἀνείλκυσα τὸν στατῆρα τουτονὶ, καθάπερ ὁ κορυφαῖος ἐκεῖνος· ἀλλ' ἐχαρίσθη μοι τὸ χρῆμα παρά τινος τῶν ἐν ἐξουσίᾳ· μᾶλλον δὲ, ἵνα παραστήσω τὸ τοῦ χρήματος εὐγενὲς, βασιλικοῖς ἐνέπρεπε στέρνοις· μίαν μὲν αὐτοῦ ταύτην ἔχεις εὐγένειαν· ἑτέραν δὲ χρυσός ἐστι, οὐχ εἷς ἅπαν, οὐδ' ἀπὸ μιᾶς ποιότητος· ἀλλ' ἡ μὲν ἀρτάνη χρυσοῦ λευκωτέρου, αὐτὸ δὲ τὸ ἐπιστέρνιον φυλακτήριον, χρυσοῦ τοῦ τιμαλφεστάτου· καὶ μεθ' ὃν οὐκ ἂν ἐφεύρῃς τὸν λῷω καὶ καθαρώτερον.

Τίνος δὲ ἡ ἐπιγραφή; οὔτε τοῦ πρώτου Καίσαρος, οὔτε τοῦ μεθ' ἐκεῖνον εὐθὺς Τιβερίου, τὰ σκῆπτρα τῆς βασιλείας ἐπιτροπεύσαντος· οὔτέ του τῶν πάλαι βασιλευσάντων, ἀλλὰ τοῦ ἐν βασιλεῦσι βασιλικωτάτου καὶ εὐσεβεστάτου καὶ κρείττονος· Κωνσταντῖνον γὰρ ἀπομάττεται καὶ Ἑλένην τοὺς θειοτάτους· ἐκ θατέρου δὲ αὐτὸν τὸν Χριστὸν Ῥωμαϊκωτέροις τοῖς ἐκτυπώμασι· καὶ οἵοις ὁ τότε χρόνος ἐνέγραφε· περὶ δὲ τὴν ἴτυν τοῦ κύκλου, γράμμασιν οὐχ Ἑλληνικοῖς ἐνσεσήμασται· οἶμαι δὲ καὶ τούτους, Ῥωμαίων εἶναι τοὺς χαρακτῆρας· καὶ ἔξεστί σοι

λαβόντι ἀναγινώσκειν τὰ γράμματα· σὺ γὰρ ἴσως καὶ τῶν τοιούτων οὐκ ἀδαής.

Ἕξεις δὲ τοῦτο οὐ μόνον φυλακτήριον τῆς ἀποτροπαίου φύσεως· ὡς καὶ τὸ τροπαιοφόρον ὅπλον, τὸν σταυρὸν ἐντετυπωμένον ἔχον· ἀλλὰ γάρ ἔστι τις ἀπόρρητος δύναμις ἰδιάζουσα τῷ χρήματι τούτῳ, οὐκ ἀπό τινος τέχνης μαγικῆς περιειργασμένη, οἷα πολλὰ Χαλδαῖοι τελοῦσι, καὶ τῶν Ἀσσυρίων οἱ θεουργοί· ἀλλ' ἔκ τινος δυνάμεως θείας, ἐξ αὐτῶν τῶν χαλκοτύπων ὀργάνων, ἴσως ἐμβεβλημένης τοὺς φοροῦντας ἐξάντεις[x] ποιοῦσα τοῦ λοιμώδους νοσήματος.

Οὐδὲν οὖν σοι δεῖ, οὔτε καθαρτηρίων φαρμάκων, οὔτ' ἀλλοιώσεως τῶν ἀέρων· οὔτ' ἄλλης τοιαύτης τινὸς ἰατρικῆς ἀρωγῆς, τὸ νόμισμα φοροῦντι τὸ Κωνσταντίνειον· ἐπ' αὐτῷ γὰρ τούτῳ καὶ χρυσῆν ἴσην ἔξωθεν περιτιθέντες καὶ ἀρτάνῃ προσδήσαντες, ὥσπερ ὁρᾷς καὶ τοῦτο πεποιημένον, εἰ δὲ τῆς κρεμάθρας ἀπέῤῥηκτο, ἐπιστήθιον ἅπαντες φέρουσιν εἰς ἀποτροπὴν, ὥς πού τις ἔφησε τῶν ἡμετέρων, πάντων τῶν ἐπερχομένων αὐτοῖς κακῶν· ὥς τε ὅρα, εἴ τι ἐπιζητοίης τούτου δῶρον ἐπιτερπέστερον ἕτερον· σὺ δὲ ἀλλὰ καὶ μαργάρους αὐτῷ περιθήσεις· δύο μὲν ἄνω μεγίστους, πρὸς τῇ συναφῇ τῆς χρυσῆς μηρίνθου· κύκλωθεν δὲ μικροτέρους καὶ τὸ θεῖον τοῦτο νόμισμα περιθέοντας· οὕτω γὰρ καὶ πρότερον ἐκεκόσμητο, ἀλλ' ἡ χρεία τοὺς μαργάρους παρείλετο μὴ θάψω τὸν καλὸν Ἀκτουάριον· ἄνευ μέντοι τούτων δίδωμι τὸν χρυσὸν, ὡς ὁρᾷς· οὐχ ὡς χρυσὸν, ἀλλ' ὡς βασιλικὸν νόμισμα, καὶ ἄῤῥητόν τινα περιβεβλημένον ἀλκήν.

XXIII.

Ἀστράπτεις τοῖς ἐν ἑσπέρᾳ ὁ ἡμέτερος ἥλιος· οὕτω γὰρ τὸν ἐμὸν δεσπότην ἐγὼ καλῶ· ὃν ἔδει καὶ πάλαι, οὐκ ἐπὶ τοιαύτης λυχνίας τεθῆναι· ὡς βαρβάροις μόνον τὸ φέγγος αὐτοῦ ἐπιλάμπειν· ἀλλ' ἐπὶ τῆς ὑψιφαοῦς Κωνσταντινουπόλεως· οὕτω γὰρ ἂν αὐτὸς γῆν τε καὶ θάλατταν κατεπύρσευσας· νῦν δὲ

[x] ἐξάν Cod.

φθονῶ τοῖς Βουλγάροις τοῦ τοσούτου φωτὸς, καὶ ἀτυχεστάτην κρίνω τὴν καθ᾽ ἡμᾶς τῆς σῆς αὐγῆς ἀστοχήσασαν· ἀλλ᾽ εἰ πρὸς τοὺς ἐσκοτισμένους κατάλληλον καὶ τὸ φῶς ὑπανάπτεται· τὸ πρώτιστον[y] ἄρα φέγγος καὶ μέγιστον τὸν θεῖον Ἀδριανὸν, τοῖς αὐτόθι καθημένοις ἐν σκότῳ καὶ πλανωμένοις, ἀπέσταλκεν ὁ Θεός· τόν τε λόγον ἐπισημότατον, καὶ τὸ γένος περιφανέστατον, καὶ τὴν γνώμην ἐπιεικέστατον· καὶ τὸ κάλλος τῆς ψυχῆς ἀπαράμιλλον, καὶ τὴν φύσιν ἀσύγκριτον· καὶ τὴν χεῖρα φιλοδωρότατον.

Ἐγὼ μὲν γὰρ ἐρῶν σου τῆς γλώττης καὶ τῆς ἡδίστης ὁμιλίας· καὶ φοιτῶν παρά σε πολλάκις, τὸν ἐν ἀμφοτέροις θαυμασιώτατον, παρεμυθούμην τὴν ἀθυμίαν, καὶ τὸ πολὺ τῆς ἀδημονίας ἐκουφιζόμην· νῦν δέ οἵας ἡδονῆς ἡμᾶς ἀπεστέρηκας ἀποδήμησας, καὶ ἄλλοις τῶν σῶν μεταδιδοὺς ἀγαθῶν· οὐδὲν γὰρ ἄμεινον ἔσχε τῶν πρότερον τὰ καθ᾽ ἡμᾶς· ἀλλ᾽ ὥσπερ ἀφῆκας, οὕτως ἔχοντες ἐσμὲν ἔτι τῷ πήλῳ καὶ τῇ πλινθείᾳ ταλαιπωρούμενοι, ἀγνώμονι κεχρημένοι τύχῃ· καὶ σύ με πότε χήρᾳ παρεικάσας γυναικὶ, ἅμα τῇ πήξει τοῦ νυμφῶνος πικρῶν αἰσθομένῃ τῶν γάμων, καὶ τὸ ἑξῆς μελανειμονούσῃ καὶ κατηφεῖ· καὶ ἀπεδεξάμην τὴν οἰκαδίαν, οἷος ἐγὼ θαυμάζειν τὰ σά· καὶ γὰρ οὕτως ἔχει· ἀεί μοι ἐπεστύγναζεν ἡ τύχη· καὶ ὡς οὕτως εἰπεῖν, οὐκ ἔθελε ποτέ μοι προμειδιάσαι· ἀλλ᾽ ἀβαρυτου τῶν[z] προειληφότων ἐπάγω τὰ μετὰ ταῦτα.

Ἀλλ᾽ εἴπερ ἐξῶν ὁρᾶν σε, καὶ τῆς σῆς καταπολαύειν γλυκύτητος· ταχ᾽ ἂν κουφότερον ἔσχον τῶν λυπηρῶν· ἓν τοῦτο πάντων ἀντίῤῥοπον ἔχων βοήθημα, ὧν ὁ δαίμων ἐπάγει ἀνιαρῶν, τὴν σήν μοι ἐν ἅπασι χαριεστάτην ὄψιν.

XXIV.

Πρὸς Ἀλέξιον τὸν Κομνηνὸν περὶ τῆς ὁμαίμων φωνῆς ἐρωτήσαντα.

Οἵ τὴν ὁμαίμων φωνὴν εἰς ἀδελφοὺς, καὶ μόνον ἐκβιαζόμενοι, καθάπερ καὶ τὴν ὁμόγνιος ἕτεροι, δοκοῦσί μοι νεοτελεῖς εἶναι ταῖς Ἑλληνικαῖς διαλέκτοις· αὐτίκα γὰρ τὸ ὁμόγνιον,

[y] πρότιστον Cod. [z] ἀβαρυ^του τῶν Cod.

ἵνα τῇ τέχνῃ τῇ περὶ ὀνομάτων ὀρθοτάτῃ χρησαίμην τοῦ Πλάτωνος, ἣν ἐκεῖνος ἐν τῷ Κρατύλῳ σοφώτατά τε δέδωκε, ἐκ τοῦ ὁμοῦ καὶ τοῦ γένους παρῆκται· ὃ ἂν φαῖεν καὶ παῖδες γραμματικῶν· τὸ δὲ γένος σημαίνει μὲν καὶ τὰ νεογιλὰ τῶν βρέφων, καὶ ἀρτίτοκα, ἢ καὶ ἁπλῶς τὸ τινὸς γέννημα.

Ἐκτιθέντων γάρ, φησι, Ἀθηναίων τὰ γένη, Μεγαρεῖς ἀναιρούμενοι ἔτρεφον· εἶτα ἥκουσι μετὰ τὴν ἀνατροφὴν ἀποδιδῶν τις τὰ γένη· σημαίνει δὲ καὶ τὴν γένεσιν ὃ παρ' Ἡσιόδῳ τὸ δῖον γένος φερόμενον βούλεται· οὕτω γὰρ αὐτὸς ἀδελφὸν Πέρσην ὀνομάζει, ὅπέρ ἐστιν εὐγενέστατον· ἀλλὰ κατὰ μὲν τὸ πρῶτον σημαινόμενον ὁμόγνιον λέγοντι, τὸν ἀδελφὸν ἂν σημαίνοιμι· κατὰ δὲ τὸ δεύτερον, καὶ τὸν ὅπως δήποτε κατὰ γένεσιν ἡμῖν συναπτόμενον.

Ἀλλὰ μαρτυρία μὲν τοῦ ὁμογνίου αὐτὸς μὲν πολλὰ συνηράνισα· ἀπό τε τῶν βίβλων τοῦ μεγάλου Διονυσίου, καὶ τῶν θύραθεν ποιητῶν, καὶ δὴ καὶ τῶν παρ' ἡμῖν ἐγνωσμένων· ἠδυνάμην ἂν καὶ αὐτὸς πλείοσι συναγηοχέναι, πολλῶν καὶ ἑτέρων ἔρανον ποιησάμενος, εἰ μὴ περιττός τις ἐδόκουν· τοῦ δὲ ὁμαίμου ἢ καὶ ὁμαίμονος, ἀπό τε τῶν βίβλων Ἀριστοφάνους τοῦ γραμματικοῦ, καὶ Σόλωνος τοῦ νομοθέτου, καὶ τῶν ἄλλων σοφῶν, ποιήσομαί σοι τὰς μαρτυρίας, ἵν' ἔχοις διὰ[a] τούτων ἀποταφρεύειν τὰς τοῦ Πρωτονοταρίου ἐπεμβολάς· καὶ πρόγε τῶν εἰρησομένων ἐκεῖνο ἂν εἴποιμι, ὅτι καὶ τὴν ὁμαίμονα λέξιν τε καὶ φωνὴν ἀμαθῶς τινες εἰς τὸν ἀδελφὸν ἐκλαμβάνονται· οὐ γὰρ μόνον παρ' Ἕλλησι τὸν ἀδελφὸν ὑποσημαίνειν εἴωθε τουτὶ τοὔνομα, ἀλλὰ καὶ πᾶσαν ἄλλην συγγένειαν σειρὰν, πορρώτερόν τε καὶ ἀγχοῦ κειμένην· δηλοῖ γὰρ καὶ τὸ αἷμα πολλάκις καὶ τὸν φόνον αὐτὸν, ὅπερ ἡ φωνὴ τῶν ἀλαστόρων ἐκείνων ἔχει καὶ θεοκτόνων· "τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ τέκνα "ἡμῶν" οὐ γὰρ αὐτοῦ τὴν χύσιν τοῦ αἵματος ἐθέλει δηλοῦσθαι ἡ λέξις, ἀλλὰ τὸ τοῦ φόνου μῦσος καθάπαξ, καὶ τὸν ἀπὸ τῆς Χριστοκτονίας μολυσμὸν, ᾧ τὰς χεῖρας οἱ αὐτόχειρες ἐμόλυντο, καὶ εἰς τοὺς μετ' ἐκείνους παρέπεμψαν.

[a] διὰ ἀπὸ Cod.

Τοιοῦτον δέ τι δοκεῖ τῷ παρ' Εὐριπίδῃ ἐν τῷ διὰ Ψωφῖδος Ἀλκμαίωνι·

αἷμα γάρ, (φησι,) σὸν μητὴρ ἀπενίψατο·

τουτέστι, καθάρσει τινὶ τὸν τῆς μητροκτονίας ἀπενίψατο μολυσμόν· δηλοῖ μὲν οὖν τὸ αἷμα τὸν φόνον, ὡς εἶπον· δηλοῖ δὲ καὶ αὐτὴν τὴν συγγένειαν· καὶ μάρτυς ὁ ποιητὴς Ὅμηρος·

αἵματος εἷς ἀγαθοῖο φίλον τέκος· (Od. Δ. 611.)

οὐ γὰρ ἐνταῦθα τὴν αἱματηρὰν φύσιν ἐπαινεῖν δοκεῖ ἡ Καλλιόπη Ὁμήρου, ἀλλὰ τὴν ἐξ ἀγαθοῦ γένους καταγωγὴν εἰς τὸν ἐπαινούμενον.

Καὶ δοκεῖ μοι ἐντεῦθεν ἐξειλῆφθαι τὸ Πλατωνικὸν ἐκεῖνο "ἀγαθοὶ δὲ ἦσαν διότι ἐγένοντο ἐξ ἀγαθῶν," καὶ ἡμεῖς εἰώθαμεν ἐν ταῖς ἀνὰ χεῖρα χρήσεσι, τοὺς συγγενεῖς καθ' αἷμα προσήκειν λέγοντες· ἔνθέν τοι καὶ ὁμαίμους καλοῦσιν Ἕλληνες ἅπαντας, οὐ τοὺς ἀδελφοὺς μόνον, ἀλλὰ καὶ τοὺς συγγενεῖς, οἱ τοῦ αὐτοῦ κεκοινωνηκότες αἵματος· αὐτίκα ὁ πολυμαθέστατος Ἀριστοφάνης, οὐχ ὁ τὰς κωμῳδίας συγγράψας, ἀλλ' ὁ γραμματικώτατος, ἐν τῷ Συγγενικῷ περὶ διαφορᾶς τῶν ἀδελφῶν διαλαμβάνων, ἐν οὐδὲ μιᾷ τούτων τέταχε τοὺς ὁμαίμους, ἀλλὰ κοινὸν οἶδε τοῦτο κατηγορούμενον συγγενείας ὄνομα· τοὺς μὲν γνησίους καλεῖ, ὅσοι ἐκ τῶν αὐτῶν ἔφυσαν γονέων, τοὺς δὲ ὁμοπατρίους, ὅσοι πατέρα μὲν τὸν αὐτὸν ἔσχον, ἐκ διαφόρων δὲ μητέρων ἐγένοντο· οὓς καὶ ἀμφιμητρίους τινὲς ὀνομάζουσι·

λιποῦσα τὸν σὸν ἀμφιμήτριον κάσιν

φησί που Λυκόφρων ὁ ποιητής[a]· εἴπερ οὖν τοὺς ἐκ μιᾶς αὔλακος φῦντας, ἑτέρων δὲ γεωργῶν, ὁμογαστρίους οἶδα κατονομάζειν, καὶ συγγόνους μὲν κοινῷ ὀνόματι καὶ αὐταδέλφους καλεῖ τοὺς ἀδελφούς· τὴν δὲ ὅμαιμος λέξιν ἐπὶ πᾶν διατείνει τοῦ γένους· καὶ καλεῖται μὲν ἂν τούτῳ τῷ λόγῳ οὐ μόνον ὁ ἀδελφός, ὅμαιμος ἢ ὁμαίμων, ἢ ὅπως ἄν τις ἐθέλοι τὴν πτῶσίν μοι ἐνεγκών· τοὺς δὲ τοιούτους τῶν ὀνομάτων μετασχηματισμοὺς πτώσεις εἴωθε καλεῖν ὁ Ἀριστοτέλης, ἀλλὰ καὶ ὁ ἀνεψιὸς καὶ ὁ αὐτανέψιος, καὶ ὁ υἱδοῦς καὶ ὁ ἀδελφιδοῦς· καὶ ἵνα νομικώτε-

[a] v. 19.

ρόν σοι περὶ τούτων ἐπεξέλθοιμι· οἱ ἀνιόντες, καὶ οἱ κατιόντες, καὶ οἱ ἐκ πλαγίου λεγόμενοι συγγενεῖς, πάντες ὅμαιμοι προσαγορεύονται[b].

Καὶ οἶδα τὴν τοιαύτην χρῆσιν καὶ ὁ νόμος ἐν διαφόροις βίβλοις εὑρισκομένην, εἰ μή τις βούλοιτο ἰδιοτρόπως ἐπ' ἀδελφοῦ τοὔνομα κατατάττειν. Πλάτων δὲ, οὐχ ὁ φιλόσοφος, ἀλλ' ὁ Κεραμικώτατος, ᾧ καὶ Κρατῖνον οἶδα συνᾴδοντα, ἀορίστως ἐπὶ συγγενείας λάβει τὴν ὅμαιμος λέξιν· καὶ ἀπεμνημόνευσα ἄν σοι τῶν ἰαμβείων ὅλων, εἰ μὴ ὁ χρόνος τὸ μέτρον καὶ τὴν λέξιν ἐξείλετό μου· ἀλλὰ τόν γε νοῦν τοῦ βιβλίου ἀκριβῶς ἀποτεταμίευκα· λέγει γάρ που κἀκεῖνος· "οὐδεὶς ὁμαίμου "συμπαθέστερος φίλος, κἂν ᾖ, φησὶ, τοῦ γένους μακράν·" οὐ γὰρ πᾶσαν τὴν κωμικὴν ἐξεμελέτησα συλλαβήν· λέγοι δ' ἂν ὁ ἀνὴρ, μᾶλλον εἶναι φίλους τοὺς συγγενεῖς, κἂν μὴ ἡμῖν ἀγχοῦ καθεστήκασι γένους, τῶν ξένων καὶ ὀθνείων· ἀντιφθεγγόμενος ἐν τούτῳ τῷ Ἡσιόδῳ

γείτονές (φησι) ἄζωστοι κίον, ζώσαντο δὲ πηοί. (Opp. I. 343.)

Οἶδα καὶ Νίκανδρον τὸν τὰ Θηριακὰ συγγραψάμενον, καὶ τὰ Ἀλεξιφάρμακα, ὅμαιμον τὸν συγγενῆ που προσαγορεύσαντα· γράφων γὰρ ἐκεῖνος πρὸς τὸν Ἑρμεσιάνακτα, ὅμαιμον αὐτὸν ὀνομάζει

φίλε, (γάρ φησιν) Ἑρμησιάναξ πόλεων κυδίσταθ' ὁμαῖμον

καὶ δῆλον ὡς οὐκ ἀδελφὸν αὐτὸν ὠνόμασεν· ἐκ τοῦ καί τινα τῶν ἀντιγράφων πηῶν ἔχειν τὸ τοῦ μέτρου ἀκροτελεύτιον· ἐνίοις γὰρ τῶν βιβλίων οὕτως ἐφεύρομεν·

πόλεων κυδίστατε πηῶν·

ὁ δὲ πηὸς συγγενής ἐστι δήπουθεν· ἀλλὰ καὶ Σόλων ὁ νομοθέτης ἐν τοῖς ἄξοσιν, ἔστι δ' ὁ ἄξων λίθος τετράγωνος, ὥσπερ αἱ κύρβεις τριγωνικῶς σχηματίζονται, ἐν ᾧ ἐγγεγράφαται οἱ νόμοι τοῦ Σόλωνος· ἀπὸ τοίνυν τούτων οἱ μεταγεγραμμένοι λόγοι ἄξονες λέγονται· ἐγὼ γοῦν τοῖς τοῦ Σόλωνος ὡμιληκὼς ὀλίγοις, συγγενεῖς κατανενόηκα, τοὺς ὁμαίμονας, τὸν ἄνδρα προσαγορεύοντα· καὶ ἄλλον δ' ἂν κατάλογον μαρτύρων ἀξιοπίστων

b $\overset{\text{θή}}{\text{προσαγορεύονται}}$ Cod.

ἐποιησάμην σοι, εἰ μή με αἱ κατὰ Φιλίππου[πλ][b] φροντίδες εἰς ἑαυτὰς ἀντισπώμεναι μεθειλκύσαντο.

XXV.

Πρὸς τὸν Χαρτοφύλακα.

Εἰς τετάρτην ἢ πέμπτην ἡμέραν ἀναγνοὺς τὴν βίβλον, ὡς ὁρᾷς, ἐξαπέσταλκά σοι αὐτήν· μᾶλλον δὲ ἀποδέδωκα· ἐπειδὴ γὰρ ἐπέσπευδες τὴν ἀπόδοσιν, δεδοικὼς οἶμαι, ἵνα μὴ μεταγραφὼς ἔχοιμι καὶ αὐτός· ἀλλὰ τοῦτο μὲν, οὐ δὲ ἐβουλήθην ἐγώ· πλείους δὲ ἡμέρας, εἴπερ ἀφῆκας ἔχειν, ἀπεδεξάμην ἄν· ὅμως δὲ οὕτως ἐπὶ τοσοῦτον ταύτης ὠνάμεθα, ὅσον κατανοῆσαι μὴ μόνον τῶν ἐν αὐτῇ νοημάτων τὴν ἔκθεσιν, ἀλλὰ καὶ ὅθεν ἕκαστον προσηράνισται.

Αὐτὸν μὲν οὖν τὸν Πατριάρχην ἑώρακα, οὐ δι' ὅλου τοῦ λόγου λαλοῦντα τῆς ἐξήγησεως, ἀλλ' ἐν τοῖς προοιμίοις μόνοις· εἶτα μικρόν τι φανεὶς ἀπεκρύψατο· εἰ δέ τις ἀκριβολογοῖτο, οὐδὲ αὐτὰ καθ' ὁλόκληρον ἐκείνου ἴδια πέφυκε· ἀλλὰ τὰ πλείω συνέρραπται καὶ συγκέκρουσται, ὥσπερ πορφυρᾶ χρυσῷ, ἢ πορφύρια χρυσός· τὰ δ' ἐφεξῆς·

ἀνὴρ ὅδ' οὐκ ἔτ' αὐτὸς ἐκνεύει πάλιν[c]·

ἀλλὰ τὰ στόματα μιμεῖται τοῦ Νείλου· καὶ νενέμηται εἰς πολλὰς προχοάς· καὶ ἐνταῦθα μὲν ἴδοις τὸν χρυσορρόαν καὶ χρυσοῦν τὴν γλῶτταν Ἰωάννην δαψιλῶς κελαρύζοντα· ἐκεῖ τὸν θεοφάντην Βασίλειον ταῖς ἀδιηγήτοις χάρισιν καταστράπτοντα· ἀλλαχοῦ δὲ τὴν θεολόγον ἐπικυπτοῦσαν βροντήν· ἐπικαχλάζει δὲ τούτοις καὶ ὁ Νυσσαεὺς Γρηγόριος· ἔστι δ' οὗ καὶ ὁ φιλόσοφος Μάξιμος συνεισέβαλεν ἐπιφρίσσων καὶ μελαινόμενος· καὶ τί ἂν ἀπαριθμῶμαι Ὠριγένεις καὶ Ἀπολιναρίους; καὶ τίνας Θεοδωρίτους; οὐ δὲ ὁ μέγας Κύριλλος ἄπεστιν· οὐδ' ὁ Μομψουεστίας Θεόδωρος· οὐδ' εἴτις ἄλλος, ἢ καταπάρεργον ῥητὸν ἀνέπτυξεν εὐαγγελικὸν, ἢ αὐτὸ τοῦτο σπούδασμα προὔθετο, τῆς μνήμης ἀπεληλύθη τοῦ Πατριάρχου· ἀλλ' ἄλλος ἄλλο τι καθάπερ εἰς κοινὸν ἔρανον συνεισέφερε.

[b] an Φιλιππούπολιν, quæ fuit urbs Thessaliæ? [c] Eurip. Phœn. 927.

Καὶ ἔστιν ἡ βίβλος αὐτῷ ψαλτήριον δεκάχορδον, ἢ καὶ τούτου πολύχορδον, ἑνὶ τῷ τεχνίτῃ πανταχόθεν καὶ ἀπὸ διαφόρων φθόγγων συναρμοττόμενον· καὶ τὸ δὴ θαυμασιώτερον, ὅτι οὐ δὲ ὑπήλλαξε τοὺς φθόγγους· οὐ δὲ παρέτεινε τὰς χορδάς· οὐ δὲ τὸ γένος μεθήρμοσεν· ἀλλ' ὡς ἕκαστον εἶχε καὶ φθόγγου καὶ τόνου καὶ κάλλους, ἀφῆκεν ἀπαρεγχείρητον· καὶ τὸν μὲν Τυφωέα οὐκ ἂν θαυμασαίμην, ὅτι ἄλλοτε ἄλλας ἠφίει φωνάς, πολυγλωττότατος τυγχάνων καὶ πολυκέφαλος· καὶ ἄλλοτε δ' αὖ τὴν φωνὴν ἐριφρύχεω λέοντος ἔπεμπε· τὸν δέ γε Πατριάρχην ἐξαίρω καὶ τῆς ἁρμογῆς καὶ τῆς ἐκλογῆς· ὅτι καὶ ἀγγέλων γλώσσαις καὶ ἀνθρώπων λαλεῖ, κατὰ τὸν θεῖον ἀπόστολον· καὶ ἐν οὐδετέροις μεταπέποιηκε· καὶ γὰρ οὔτε πρὸς τὰς ἀγγελικὰς ἔγνωκε ἀσεβῶν, οὔτε πρὸς τὰς ἀνθρωπίνας ἀδικῶν· λέγω δὲ ἀγγέλους, ὅσοι περισαλπίζουσι τῶν ἐξηγητῶν[d] ἄνωθεν τὰς ἡμῶν ἀκοάς τε καὶ μήνιγγας· ἀνθρώπους δὲ, ὁπόσοι λαλοῦμεν ἐκ γῆς· καὶ οὐκ ἄν τις ἡμῖν εἰς τὴν παροῦσαν τῶν εὐαγγελίων ἐξήγησιν, οὐδὲ τὸν κολοιὸν ἐπισείσειεν· ἐκεῖνος μὲν γὰρ ἐξ ἁπάντων ὀρνίθων ἠράνισται· τούτῳ δὲ πολλοὶ συνεκρότησαν τὴν ἐξήγησιν· ἄλλος ἄλλοτε δεδωκότες καλόν· ὁ μὲν λέξεως ἄνθην, ὁ δὲ σεμνότητα νοῦ· ἄλλος περινοίας βαθύτητα· καὶ ἕτερος ἀλληγορίας τρόπον· καὶ ἄλλος ἄλλο, καθάπερ αἱ παρ' Ἕλλησι θεοὶ τὴν μυθευομένην Πανδώραν συνεληλυθότες ἐπλάσαντο· ἐνθαύμασαι μὲν οὖν καὶ τὸν Πατριάρχην τῆς παντοδαπῆς συλλογῆς· οὐδὲν δὲ ἧττον ἀπεδεξάμην καὶ ἐμαυτὸν, ὅτι τὸν τῆς Ἀφροδίτης ὅλον κεστὸν τὴν Ἥραν περιβεβλημένην ἐγνώρισα.

XXVI.

Πρὸς τὸν μέγαν Δομεστικόν.

Καὶ προσκυνῶ καὶ προσαγορεύω σου καὶ πόῤῥωθεν τὴν ὑπεροχήν· καὶ τοῦτο δὴ τὸ τῶν πολλῶν καὶ εὐνοϊκῶν ἐρωτῶ καὶ αὐτός· πῶς ἔχεις ὁ ἅγιός μου αὐλέτης· ὁ ἐμὸς εὐεργέτης· ἡ σωτηρία μου· ὁ ῥύστης μου ἐξ ἐχθρῶν μου δυνατῶν; οὐκ ἔστι γὰρ

d ἐξῆγ Cod.

συκοφαντίας οὐδὲν ἰσχυρότερον· οὐ δὲ ὀλεθριώτερον ἄλλο· τούτου με τοῦ κακοῦ ἀπήλλαξας· τούτου τοῦ θηρὸς ἠλευθέρωσας· ἀπὸ κήτους· ἀπὸ κυμάτων· ἀπὸ σάλου καὶ κλύδωνος· εἰ γὰρ καὶ μήπω τὰ πνεύματα τῷ κύματι συναπέληξεν, ἀλλ' ἔτι ἀκοσμοῦσιν· ἔτι τὸ οὐραῖον ἐπασπαίρει τοῦ δράκοντος, τοῦ λοιποῦ νεκρωθέντος ὁλκοῦ· ἀλλ' ἐν ἀμείνοσιν ἐσμὲν νῦν ἢ τὸ πρότερον διὰ τῆς μεγίστης σου ἀντιλήψεως.

Πῶς οὖν οὐκ ἀρώην εἰς τὸν οὐρανὸν, τὰς χεῖρας μου, καὶ ἐπεύξομαί σοι πάντα τὰ ἀγαθὰ, ὅσα ψυχῆς, ὅσα σώματος, ὅσα τὴν ἔξωθεν τύχην ἐπικοσμεῖ· τῶν κατὰ σκοπὸν εὐόδωσιν· τῶν κατὰ γνώμην ἀπόβασιν· καὶ τὸ πάντων ἀκρότατον ἀγαθῶν, ψυχῆς σωτηρίαν, καί σοι, καὶ τῶν σοι φιλτάτων· καὶ περὶ τῆς ἄνωθεν δεξιᾶς ἐπιμελείαν καὶ κυβέρνησιν; μὴ γὰρ οἴου αὐλέτα μου ἅγιε, ὡς ἐπελαθόμην σου τῆς εἰς ἐμὲ χρηστότητος, ἢ ἐπιλήσομαι πώποτε· μὴ οὕτω μανείην· μὴ οὕτως ἰσχύσει τὸ πλῆθος τῶν ἁμαρτιῶν μου· πύργον γάρ σε τῆς Ῥωμαίων ἡγεμονίας ἀκράδαντον λογιζόμενος, καὶ ἀστραβῆ κίονα κατὰ Πίνδαρον, καὶ πρόβολον ἄμαχον, καὶ στρατηγίας ἁπάσης ἀκρότατον· ὦ συ τὴν φρόνησιν ἀσύγκριτε, καὶ τὴν δεξίαν ἀπαράμιλλε· καὶ τοὺς πώποτε στρατιώτας καὶ στρατηγοὺς πολλῷ τῷ μέτρῳ νενικηκὼς, εἰς φιλανθρωπίαν καὶ ἡμερότητα, ἄβυσσον καθάπερ ἀνεξεύρνητον τίθεμαι· καὶ οὐδένα τῶν ἁπάντων γινώσκω σοι ὅμοιον.

Ἀλλὰ πότε ἀνακάμψεις ἡμῖν; πότε πάλιν ἐπιφανεῖς τὸ πρόσωπόν σου, καὶ σωθήσομαι; τίς ὁ ἄληκτος πόνος οὗτος ἡμῶν; τίς ἡ τοῦ μεγάλου Αὐτοκράτορος ἀνυπέρβλητος γενναιότης; τίς ἡ περὶ τὴν τῶν πραγμάτων ἡμῶν ἐπανόρθωσιν ἐν τοῖς ὅλοις ἀσύγκριτος προθυμία; ἀπεκρύψατε τοῖς ἀμετρήτοις ἀγῶσι τοὺς Ἀλεξάνδρους ἐκείνους καὶ τοὺς Καίσαρας· ὀκνῶ γὰρ εἰπεῖν βασιλείους τινὰς βασιλεῖς· καὶ τὸν ἐν μάχαις περιβόητον Φωκεῖ γένος· καὶ ὅσοι μετ' ἐκείνους γεγόνασι θερμότατοι τοῖς πράγμασιν ἐπιθέμενοι· ὦ ἀνίκητοι στρατιῶται· ὦ καὶ τὰ φρονήματα γενναιότατοι, καὶ τὰς χεῖρας ἀκάματοι, καὶ τὴν ἀκοὴν ἀνυπόστατοι.

Ἀλλὰ καὶ ὁδηγοίη καὶ ὑμᾶς ὁ Θεὸς, ὡς τὸν παλαιὸν Ἰσραὴλ,

θάλασσαν τέμνων· ποταμοὺς ἀνακόπτων· τὰ στοιχεῖα καθυποτάττων· βαρβάρους ὑποστρωννύων· τείχη κατασείων· ἔθνη πάντα διδούς· πάντα εὐμαρῆ καθιστῶν· ἴδοιμι τὸν θαυμάσιον Αὐτοκράτορα ἐν μέσῃ πάλιν τῇ βασιλίδι τῶν πόλεων, ἐπὶ μεγάλοις τροπαίοις καταθρίαμβον, καὶ τὰ νικητοῦ στεφανούμενον· τὸν παμφαέστατον ἥλιον μεγαλοπτέρυγον ἀετὸν, τὸν ἐν βασιλεῦσιν ἀσύγκριτον, καὶ ἐν μάχαις ἀήττητον· ὃν οὐ τοσοῦτον ὁ στρεπτὸς, καὶ ἡ βασιλικὴ πορφύρα, καὶ ἡ περίχρυσος ταινία κοσμεῖ, ὅσον οἱ ὑπὲρ τῶν Χριστιανῶν ἀγῶνες, καὶ τὰ πολλὰ κατορθώματα.

XXVII.

[e]*Πρὸς τὸν μαθητὴν ἡ ἐπιστολή· εἶτα τί ἀνεκάγχασας; τοῦτο γὰρ ποιεῖν εἴωθας, ἐπειδάν σε ἐμὸν μαθητὴν ὀνομάσαιμι· ἡ γὰρ ἐξ ἀρχῆς πρόθεσις ἐμόν μαθητήν σε πεποίηκε· κ'ἂν ὁ ἐφεξῆς οὐ παρέστησε τοῦτο χρόνος· καὶ τοῦτο τεθρύλληται· ὡς οὐκ ἄνευ σὺ τῆς Ἰταλικοῦ γλώττης, οὕτως ἔχεις εὐμουσίας καὶ χάριτος.*

Γράφω τοίνυν παρὰ τὸν μαθητὴν, μετὰ τοῦ προσήκοντος σχήματος· διδασκάλοις περὶ τῶν ἀπὸ τοῦ Παλατίου νομισμάτων τῶν διδασκάλων, οὐκ ἀξιῶ, ἀλλὰ κελεύω δοθῆναι θᾶττον· καὶ μὴ ἀπὸ τοῦ δὲ ἐπιβραδῦναι τὴν δόσιν· πλὴν ἡμέρας μιᾶς, ἢ δυοῖν· εἰ δὲ δυσχεραίνεις τὴν προσηγορίαν ὡς ψευδομένην, ἀλλ' ἐγὼ ἐξ ἄλλου τρόπου μαθητήν σε ποιοῦμαι· ὁ γάρ τοι σοφώτατος ἐπὶ τῶν γονάτων, ἐμός ἐστι καὶ φίλος καὶ μαθητής· οὗ σὺ δηλαδὴ ἀκροατὴς γέγονας· εἰ δὲ κοινὰ τὰ τῶν φίλων, κ'ἂν ἀλλαχόθεν διολισθαίνεις, ἀλλ' ἀπόγε τούτου, τῷ ἐμῷ συγκατείλεξαι κύκλῳ· ὥς τε πάλιν ὡς μαθητὴν περὶ τῶν νομισμάτων ἐπισκήπτω, καὶ τῆς τούτων ταχύτητος· οὐ μέν τοι ἐνταῦθα σοφίσται ἡμᾶς ὁ σὸς διδάσκαλος· καὶ κοινὰ ἡγήσεται τὰ ιί[f] διὰ τὴν τῶν φίλων κοινότητα· τὸν γὰρ νόμον ἄκυρον εἶναι πρὸς τὰ ιί[f] τίθεμαι· καὶ κρατείτω μὲν ὁ λόγος περὶ τοὺς λόγους· μὴ μέντοι γε καὶ περὶ λογάριον.

[e] in marg. τῶ φ βω (βα above φ; π? above βω)   [f] sic Cod.

Εἰ δὲ παντάπασι τὴν μαθητείαν οὐ προσποιῇ· γράφω πρὸς τὸν οἰκονομικώτατον, τὸν δραστηριώτατον, τὸν τῆς οἰκουμένης ἁπάσης διοίκησίν τε καὶ πρόνοιαν· οὗ ἄνευ οὐδέν τι καθ' ἡμᾶς κόσμου διοικηθήσεται, κατὰ τὸν Τζικνόγλον· οὐκ Ἀλαμανία· οὐκ Αἴγυπτος· οὐ τὰ πρόσοικα· οὐ τὰ πόῤῥω· οὐ τὰ ἐπέκεινα Φάσιδος· οὐκ ἀνατολὴ, οὐ δύσις· οὐχ αἱ μερίδες Ἀρμενίων καὶ Σύρων, ὅπου τοὺς ὅρους τῆς Ῥωμαϊκῆς δυναστείας ὁ Αὐτοκράτωρ ἐπήξατο· γράφω τοίνυν καὶ δέομαι, πρὸς ἄλλο σχῆμα μεταβαλλόμενος, ἐπειδὴ, μὴ ὡς διδασκάλου ἀνέχῃ, δοθῆναι τὰ τῶν ταλαιπώρων διδασκάλων νομισματίτζια ταχύτερον· δεῖ γάρ με ταπεινούμενος καταβαίνειν καὶ εἰς τὰς τῶν λέξεων τριοδίτιδας.

XXVIII.

Τῷ μεγάλῳ Δομεστικῷ.

Αὐλέτα μοῦ ἅγιε, ἐχρῆν ὡς ἔοικεν ἐπὶ τῶν ὑμετέρων χρυσῶν ἡμερῶν τὰ τῶν Ῥωμαίων ἀνορθωθῆναι πράγματα· καὶ τοῖς συχνοῖς ὑμῶν καμάτοις καὶ πόνοις, καὶ τοῖς συνεχέσι πολέμοις τὴν προτέραν εὐδαιμονίαν ἀναλαβεῖν· ἐξ ὅτου γὰρ ὁ θεσπέσιος ἡμῶν Αὐτοκράτωρ ἐπέβη τοῦ βασιλικοῦ ἅρματος οὐκ ἐλήξατε τὴν οἰκουμένην ἅπασαν περιθέοντες· καὶ νῦν μὲν τὸν Ἴστρον διαβαίνετε, καὶ ἐξωθεῖτε τοὺς ἐκεῖσε βαρβάρους· ἔπειτα τῆς χώρας βαθύτερον· νῦν δὲ ἐπὶ τὸν Τίγρητα ποταμὸν ἐλαύνετε· καὶ τοῦ δόρατος ἡμῶν τὴν ὀξύτητα Πάρθοις καὶ Μήδοις διαδείχνυσθε, πόση τίς ἐστι· Σύρους καὶ Κίλικας ὑπηγάγεσθε· καὶ τὰς πρὶν ἀποῤῥιψαμένας πόλεις τὸν Ῥωμαϊκὸν ζυγὸν, αὖθις δουλεύειν Ῥωμαίοις κατηναγκάσατε· γέλως πρὸς ὑμᾶς Ἀλέξανδρος ἐκεῖνος, καὶ οἱ διττοὶ Καίσαρες· γέλως ὁ Πομπήϊος, καὶ ὁ Σκηπίων ἐκεῖνος Καρχηδονίους παραστησάμενος.

Ἐγὼ δὲ τὴν ὑμετέραν ἀνδρείαν ἀναφέροιμ' ἂν καὶ εἰς τοὺς ποικιλωτάτους ἵππους τοῦ Ζαχαρίου, οἱ τὸν ὅλον κύκλον τῆς γῆς ἐπέδραμον· οὐ γάρ ἐστιν, οὐκ ἔστιν μέρος γῆς· οὐκ ἀνατολικὸν, οὐχὶ δυτικὸν, οὐ βόρειον, οὐ νότιον κλῆμα, ἐφ' ἃ μὴ γεγόνατε, μὴ δὲ ἐπεδείξασθε τῶν ὅπλων τὴν ἀρετήν· ἁπανταχόθεν γὰρ ἡ φήμη βάλλει τὰς ἡμῶν ἀκοὰς, καὶ κηρύττει τὰ τοῦ βασιλέως καλά.

Τί οὖν αὐτὸς ἐπὶ τούτοις ἡσυχίαν ἄγω; μέχρις ἀκοῆς ἱστῶ τὰ τῆς φήμης; ἀλλ' οὐχὶ ταύτῃ συμφθέγγομαι· πολλοῦ γε καὶ δεῖ· αὐτίκα γοῦν πρὸς τὴν ἀκοὴν ἐνθουσιάσας, καὶ ἐπὶ τοὺς ἐμοὺς ἀναπηδήσας ὀκρίβαντας, διδάσκαλος γάρ εἰμι, καὶ πᾶσαν κατακλύζω ψυχὴν τῷ τοῦ λόγου ῥεύματι· τοῦ βασιλέως τοὺς ἀγῶνας δημηγορῶν, καὶ τοῖς περιεστηκόσιν ἀφηγούμενος, ὅπως Κιλίκων ἐπέβηται, ὅπως Συρίαν ὅλην κατεδουλώσατο· πῶς ὑπερέσχε τοῦ δόρατος ἡμῶν ἡ ἀστραπή· τῆς μελίας τῶν ἐν Συρίᾳ Κελτῶν· ἀλλ' ἐγὼ μὲν οὕτως εὔνους· οὕτως πιστός· οὕτως εἰς τοὺς ἐπαίνους τοῦ βασιλέως καὶ πυρὸς θερμότερος· τὰ δέ μοι τῆς ἐκκλησιαστικῆς προκοπῆς ἐπὶ τὸ κατόπιν βαδίζει· καὶ ὑπερίσχυσε τῆς εὐφήμου γλώττης ἡ λοίδορος γλῶσσα· καὶ σχεδὸν ἔξωθεν ἡμᾶς τῶν τῆς ἐκκλησίας περιβόλων ὠθεῖ· τυραννοῦσα καὶ αὐτὴν τὴν ἀλήθειαν.

Ἀλλὰ σύγε, θεσπεσιώτατε στρατηγὲ καὶ συστρατηγὲ τοῦ θειοτάτου βασιλέως ἡμῶν, ἀντίστηθι τῇ συκοφαντίᾳ, καὶ λάλησον εἰς τὰ ὦτα τοῦ Αὐτοκράτορος ὑπὲρ τῶν ἀδικουμένων ἡμῶν· ἐπιδοὺς αὐτῷ τὸ εὐτελές μου γραμμάτιον, καὶ οἰκονόμησον τὴν τούτου ἀνάγνωσιν· καιρὸν καὶ τρόπον εἰς ταύτην ἐπιτήδειον ἐφευράμενος· μᾶλλον δὲ σύμπνευσον τῷ δεητοῦ γράμματι διὰ μεγίστης σου ἀντιλήψεως· ἵνα μὴ μάτην θυραυλήσαντες οἱ λόγοι περὶ τὰ ὦτα τοῦ βασιλέως, κενοὶ καὶ κατηφεῖς παλινδρομήσωσι πρὸς ἡμᾶς.

XXIX.

Τῷ Λογοθέτῃ τοῦ Δρόμου τῷ Μέλητι.

Μεγάλα μὲν, αὐλέτα μου ἅγιε, καὶ αὐτόθεν τὰ τοῦ Βασιλέως τρόπαια· καὶ οἷα καὶ ὅσα οὐδεὶς πρότερον εἴργασται τῶν ἀνέκαθεν Αὐτοκρατόρων· οὔκουν ὅσα γε καὶ ἡμᾶς εἰδέναι βίβλους ἀνελιξαμένους παντοδαπὰς συγγραφέων ἀνδρῶν· οἵτινες οὐκ ἀφῆκαν παρασυρῆναι τοῦ χρόνου τῷ ῥεύματι, καὶ λήθης παραδοθῆναι βυθοῖς, τὰ πάλαι τοῖς πρώην βασιλεῦσι προπεπραγμένα· ἐκεῖνα γὰρ πρὸς τὰ νῦν συγκρινόμενα, εἰς τὸ μηδὲν ὡς ἀληθῶς κατακλείεται· καὶ τὰ πλήθη πρὸς πλήθη· καὶ τὰ μεγέθη πρὸς μεγέθη· εὐαρίθμητα καὶ μικρὰ καταφαίνεται.

Ἔστι μὲν οὖν ὅπερ εἶπον, καὶ ἀφὲς[g] αὐτῶν θαυμάστα τε καὶ παρὰ θαύματος τὰ τοῦ βασιλέως ἀνδραγαθήματα, ὅσα Κίλιξι καὶ Σύροις ἐνδέδειχεν· ἀλλὰ σύγε γράφων καὶ συγγράφων αὐτὰ, καὶ τοῖς μεγάλοις μέγεθος περιτέθεικας, καὶ τὰ θαυμάσια θαυμασιώτερα ἐξείργασαι, τῇ χρυσῇ σου γλώττῃ τὰ ἔργα τοῦ Αὐτοκράτορος ἀφηγούμενος· εἰ γὰρ καὶ ἡ καταπεμφθεῖσα βασίλειος ἐπιστολὴ τῷ δήμῳ Ῥωμαίων τὸν Αὐτοκράτορα ὑπεκρίνετο, καὶ ὡς δῆθεν ἐκ τῆς ἐκείνου φωνῆς ἐπέμπετο· ἀλλὰ καὶ τῆς σῆς εὐστομίας ἐδείκνυε τὴν ἁβρότητα· ἴσθι γὰρ, σοφώτατε, ὅτι ἀνηρτήσω πάντας τῆς ἀκοῆς, καὶ ἐξεκρεμαννύμεθα σου ῥητορεύοντος τὰ τοῦ βασιλέως καλά· τὰς παρατάξεις· τὰς εἰσβολάς· τὰς καταδρομὰς τῶν βαρβαρικῶν πόλεων· τὰς ἁλώσεις τῶν μυρίων ἐθνῶν· ὡς οἱ μὲν ἔφευγον προτροπάδην· ὁ δὲ καταδιώκων ἐκλόνει τὰς τούτων φάλαγγας.

Τούτων εἰς κοινὴν ἀκοὴν ἀναγινωσκομένων, ἐβόων αὐτὸς, Μέλητος γινώσκω τὴν γλῶσσαν λαλοῦσαν· Μέλης ἐστὶν ὁ ταῦτα κελαρύζων τὰ ῥεύματα· τοῦ Μέλητος ἐστὶ τουτὶ τὸ ἐπίκροτον καὶ ἐπίχαρι τοῦ ῥυθμοῦ· τοῦ Μέλητος αἰσθάνομαι τὴν γλυκύτητα· εἶτ᾽ ἄλλος ἐπ᾽ ἄλλῳ ἱέμεθα, καὶ πολὺς ὅμιλος συνεῤῥύη τῶν θείων ἐκείνων φωνῶν ἐξεχόμενος· ἐτερπόμεθα τῇ ἁρμονίᾳ τῶν λέξεων· ἡδόμεθα τοῖς ῥυθμοῖς· ταῖς μεταβολαῖς ἐγαννύμεθα· τῷ τοῦ πρέποντος κάλλει ἐξεπεπλήγμεθα· οὐκ εἴχομεν ὅτι θαυμάσομεν· πότερον τῶν ἔργων τὸ μέγεθος, ἢ τῶν λόγων τὴν εὐμουσίαν· τὸν αὐτουργὸν τῶν κατορθωμάτων βασίλεα, ἢ τὸν συγγραφέα τῶν ἔργων· τὸν ἀθλητὴν, ἢ τὸν κήρυκα· ἐδόκεις γὰρ διὰ τῶν λόγων, οὐ μὲν αὐτοπροσώπως λέγειν, καὶ τῇ γλώττῃ ἐφῆναι πρὸς δημηγορίαν· ἡ δὲ αὐτοπροσώπως ἐν ὅπλοις εἶναι, καὶ πολέμοις συνεξετάζεσθαι, ὁ Αὐτοκράτωρ ὑπελαμβάνετο.

Ἐναύλους τοίνυν ἔχων τὰς τοιαύτας ἐγὼ φωνὰς καὶ προσιζήσασας τὴν ὅλην ἁρμονίαν ἐν τῇ ψυχῇ, ἀνῆλθον ὡς εἶχον εὐθὺς ἐπὶ τοὺς τῆς διδασκαλίας ὀκρίβαντας, καὶ ὧν ἐνεφορήθην λόγων, πρὸς ἄλλους ἐπλήρουν· καὶ μετοχετεύοντα σὰ ῥεύματα

[g] sic Cod.

ἐπὶ τὸν λαὸν, διακόνῳ τῇ γλώσσῃ χρώμενος· καὶ τότε οἶδα τοῖς σοῖς λόγοις καλλωπισάμενος· καὶ ἔδοξα τότε κομψότερός τε καὶ ῥητορικώτερος ἢ τὸ πρότερον· ἀλλ' ὥσπερ ἡμᾶς ἔθελξας τὴν χρυσὴν λύραν ἐπικροτήσας αὐτόθεν ἐνθάδε, οὕτω κατάθελξόν μοι καὶ τὸν θειότατον Αὐτοκράτορα ὑπὲρ ἡμῶν πρεσβευσάμενος· δοὺς τὲ καὶ ὑπαναγνοὺς τὸ παρὸν εὐτελὲς ἐπιστόλιον· σὺ δὲ ἀλλὰ καὶ ἐπιπνεύσαις αὐτοῦ ταῖς σαῖς σοφωτάταις αὔραις· καὶ τὴν γλῶσσαν ἐπὶ τῇ ἀναγνώσει ἐπὶ τὸ γλυκύτερον μεθαρμόσειας· ἵνα πάντα γέμῃ τοῦ μέλιτος.

ΞΕΝΕΔΗΜΟΣ Η ΦΩΝΑΙ.

Μουσαῖος. Εἶεν ὦ παῖ Ἀριστάνδρου· Θεοκλέος δέ τινα φήμην Βυζαντίου ἔχεις ἑλὼν, ἀνδρὸς, ὡς οἱ πολλοὶ φασὶ, φιλοσόφῳ μὲν τοῖς μάλιστα τεθειμένου; ὡς ἐμέ γε οὐκ ἔστιν ὁπόση τις ἱερὰ περὶ τ' ἀνδρὸς ὀμφὴ ἐκκεκώφωκεν ὑπὸ τῶν ἐκεῖθεν καταιρόντων Ἀθήνησιν· οἵ με καὶ τῶν ὤτων οἷον ἀπηωρήκεσαν, τοῖς τεραστίοις περὶ τοῦ ἀνθρώπου, καὶ διηγήμασι καὶ ἀκούσμασι· κἀπειδὴ πολὺς ἐνεκείμην ἐκείνοις ἐναργῆ μοι παραστήσειν αὐτὸν, οἱ δὲ παρά σε ἥκειν ἐκέλευον, εἴτε ἀνθρωπινῶς ἀναθεωρῆσαι βουλοίμην τὸν Θεοκλέα· αὐτήκοον γάρ σε τῆς ἐκείνου γενέσθαι τῆς φιλοσοφίας, καὶ τοῦ ἐξ ἀγχιστείας δὲ ἄλλως εἶναι γένους οὐ πόῤῥω· οὐκοῦν εἰ μήτε σοῦ καταψεύσαιντο οἱ εἰπόντες, μήτε σὺ τὸν φίλιον ἀπόπροσποιοῖο, λέγοις οὐκ ἂν φθάνων ἤδη τὸν ἄνθρωπον.

Ξενέδημος. Τοῦτ' ἐκεῖνο, Μούσαιε, τὸν ἵππον ἄγεις εἰς τὸ παιδίον· καὶ τῷ παροιμιακῷ δελφῖνι διδως τὴν θάλατταν· περὶ οὗ γὰρ ἄλλου μᾶλλον ἢ ἀκούοιμ' ἂν ἥδιον, ἢ διηγοίμην ἢ Θεοκλέος· ὃς περὶ τὴν τρύγα μὲν ἐξέφυ τοῦ βίου· τὸ δὲ μὴ τὸν γενάρχην γηράσαι χρόνον τοῖς καθ' ἑαυτὸν ἐπιστώσατο· φύσιν μὲν αἰθερίαν εἰληχὼς καὶ πτηνήν· καὶ οὐ μόνον ἐπ' ἄκρων ἀνθερίκων κατὰ τὰς Ὁμηρικὰς φερομένην αἴθας· ἀλλὰ τὴν μὲν γεηρὰν βασιλικῷ τῷ πήχει ὑπεραναβᾶσαν οὐσίαν· τὸ δὲ ἀέριον ὑπερπτᾶσαν χῦμα, καὶ τὴν τοῦ ὑπεκκαύματος[a] λεπτομέρειαν· μετὰ δὲ τὴν ἀστρῴαν φύσιν, καὶ πλανωμένην τῇ ἀπλανεῖ, καὶ ἀνάστρῳ πελάσασαν, καὶ μετὰ θεοῦ γενομένην· γλῶσσαν δὲ πλουτήσας Ἀττικοῦ πυρὸς μένος πνείουσαν, πολὺ πλέον ἢ ἣν οἱ μῦθοι πλάττουσι χίμαιραν, κἂν τὴν αὐτὴν ἀνεδίπλου ἐνίοτε συλλαβὴν καὶ φωνήν· οὐ μὰ τόν· ὡς ἐκεῖνος ἐπιεικευόμενος ἔλεγε διὰ πλημμέλειαν φύσεως· ἀλλ' ἵνα τῇ διπλόῃ τῆς ἀπηχήσεως διπλασιάζοι τὴν ἐκεῖθεν ἀπορέουσαν ἡδονήν· τιμῶν

[a] ὑπερκαύματος Barocc. 187.

κἂν τούτῳ τὴν παροιμίαν, διὸ τὰ καλὰ παραγγέλλουσαν γίνεσθαι.

Μ. Ὦ Ἡράκλεις· αὐτόν μοι τὸν Ἑρμῆν ἀναγράφῃ τῷ λόγῳ· καὶ οὐκ οἶδ' ὅπως ἔραμαι τὰς Ἀθήνας ἀπολιπὼν φοιτῆσαι πρὸς τὸ Βυζάντιον, ὅπως ἂν καὶ ξυγγένεσθαι μοι τἀνθρώπῳ γένοιτο.

Ξ. Τί δ' ἂν ὦ λῷστε καὶ ἐπεπόνθεις, εἴπῃ τυχὸν τὰς ἐκείνῳ πεπονημένας βίβλους ἱστόρηκας; ὡς μὲν πλείστας· ὡς δὲ καλλίστας· ὡς δὲ διαφόρους τοῖς εἴδεσι καὶ τοῖς χαρακτῆρσιν· αἱ μὲν γὰρ οἱ πρὸς τοὺς βασιλέας γεγράφαται, πολέμους καὶ νίκας· εἰσὶ δὲ καὶ τὰ δυσφημότερα νόσους καὶ θανάτους ἐπικαίρους ὡς ἕκαστα διασκευαζόμεναι· καὶ τούτων μὲν μέτρῳ, καὶ τούτῳ ποικίλῳ τε καὶ παντοδαπῷ· αἱ δὲ πεζευούσῃ τῇ γραφῇ μεμερίδαται· ὡς δὲ πρὸς τοὺς ἰδιώτας καὶ τὰ συμπίπτοντα ἄλλως τετάχαται· ὁμοίως καὶ αὗται τῷ ἐμμέτρῳ καὶ πεζῷ μεριζόμεναι· ὀκνῶ γὰρ λέγειν, ὅσος μὲν εἰπεῖν ὁ ἀνήρ· ὅσος δὲ αὐτοματίσαι γράμμα, καὶ ταῦτα ἐπὶ μεγίστοις· θᾶττον ἥλιος κάμοι πυρίνοις ἵπποις διϊππεύων τὸ ὑπὲρ γῆς ἡμισφαίριον, ἢ ἡ γλῶσσα ἐκείνη καὶ χεὶρ, μικροῖς τὰ μεγάλα διασαφοῦσα λόγοις καὶ γράμμασι πράγματα· καὶ τὰ μικρὰ μεγάλοις διοικονομουμένη.

Μ. Εἶτ' ὦ παῖ Ἀριστάνδρου τηλικοῦτον ἔθρεψε τὸ Βυζάντιον ἄνδρα· ὃν μόγις ἂν καὶ Ἑλλάδες ὅλαι;

Ξ. Οὐδ' ἐκεῖνος οὐ μὰ τὴν θέμιν τῇ πατρίδι πάνυ ἱλαρῶς προσεφέρετο, ταῖς παλαιαῖς περὶ ταύτης πειθόμενος ἱστορίαις· ἀλλὰ τοῖς μὲν ἐξονειδίζειν αὐτὸν εἰς τὴν ἐνεγκαμένην ἐθέλουσι μεγαλοψύχως ἀπήντα, καὶ οὐκ ἔστιν ὅσα ταύτην ἐσεμνολόγει· προκαθεζομένην τὲ τῆς ἑώας ὀνομάζων μητρόπολιν· καὶ τῆς ὅλης οἰκουμένης καρδίαν· ἑώας τε καὶ ἑσπερίου λήξεως συνδεσμόν· ἐμοὶ δὲ καὶ τοῖς λοιποῖς τῶν ἐπιτηδείων, ἔπηλυν ἑαυτὸν Βυζαντίοις καὶ παράγραπτον πολίτην ἐγνώριζε· τὸ γὰρ οἱ γένος ἐξ Ἰταλίας ὡρμῆσθαι ἔλεγε.

Μ. Μεγάλα μὲν καὶ ταῦτα καὶ ὅλως ἡρωϊκὰ τῷ ἀνδρί. ἐμοὶ δὲ οὐχ ἵστησι τὴν ὁρμὴν τῆς ἐφέσεως· καὶ τοσαῦτα γε

ὄντα· φύσιν μὲν ἁπλῶς πτηνὴν, καὶ γλῶσσαν δεινὴν, καὶ χεῖρα γοργὴν, καὶ ψυχὴν σοφὴν ὑπογράφουσιν· ἐμοὶ δ' οὐκ οἶδ' ὅπως ἀσαφέστερος ὁ ἐκ τῶν κοινοτέρων ὁτουοῦν δοκεῖ γνωρισμός· καὶ ὥσπερ οὐκ ἀπόχρη, Ἀθηναῖον εἰπόντας εὐθὺς αἰνίξασθαι Πλάτωνα· εἰ μὴ καὶ τὰ Πλάτωνος γνωρίσματα εἴποιμεν· τυχὸν, τὸν ἐν Τιμαίῳ φυσικευσάμενον· τὸν ἐν Φαίδωνι περὶ ψυχῆς ἀθανασίας φιλοσοφήσαντα· τὸν γράψαντα νόμους· τὸν οἰκίσαντα πόλεις· ἵνα μὴ τὰ καθέκαστον ἐπεξίωμεν, ὀνομαστὶ, Πλάτωνα· οὕτως οὐδὲ Θεοκλέα τὰ ῥηθέντα παρίστησιν ἄντικρυς, εἰ μή μοι καὶ ἰδίως τῶν ἐκείνῳ πεπονημένων, ἢ καὶ ἄλλως εἰρημένων τινὰ, εἰ δ' οἷόν τε καὶ τὰ πλεῖστα, ὑπ' ὄψιν ἀγάγης.

Ξ. Τὸν Ἄθω με, ὦ φίλ' ἑταῖρε, ἀνορύττειν κελεύεις, ἢ τὴν στεφάνην τῆς γῆς διαμετρεῖν τὸν ὠκεανόν· τὰ Θεοκλέος κελεύων ἀναλέγεσθαι γράμματα· ἀλλ' ὅσα μὲν ἐκείνῳ καὶ εὕρηται, καὶ ὑπὸ διφθέραις ἐντεθεῖται, λώϊον ἂν εἰδῆς τοῖς ἐκείνου ἐντύχων πονήμασι· πολλοῖς, ὦ χάριτες, καὶ καλοῖς· ἃ δέ μοι μειρακίῳ γε ὄντι, καὶ οὐδέπω τῷ ἰούλῳ γεωμετρηθέντι τὴν γένυν, ἐκ μηχανῆς, ὅ φασι, θεὸς ἐντύχων διελέξατο, οὐ φθονησαιμ' ἂν Μουσαίῳ εἰπεῖν· ἦ γὰρ ἐμαυτῷ φθονοίην, Μουσαίῳ φθονῶν. ἀγαθὸς γάρ μοι δαίμων ἐς διδασκάλου ποτὲ φοιτῶντι τὸν ἄνδρα συμπαρέστησε τοῦτον· καὶ ὃς ἅμα ἰδών με καὶ ἀναγνοὺς, ὦ λόγοι, ἀνέκραγεν· οὐχ ὁ καλὸς οὑτοσὶ Ξενέδημος; αὐτότατος οὗτος· καὶ ἅμα ἐπιψήσας μου τῇ χειρὶ τὴν κόμην· ξανθὴ δέ μοι τηνικαῦτα μέχρι καὶ ἐπὶ τοὺς ὤμους καθεῖτο τῷ ζεφύρῳ παίζουσα· πῆ δὴ καὶ πόθεν, ἔφη, Ξενεδημήδιον; ἢ τάχα ἐς διδασκάλου; εἰ μή με ἡ ὑπὸ κόλπον βίβλος, καὶ τὸ ἐν χείλεσιν ὑπόψηλμα[a] διαψεύδεται· ἀλλ' εἰ καὶ μὴ πώποτέ σοι, ἦν δ' ἐγὼ, ὁ μάντις τὸ κρήγυον ἔειπεν, ἀλλὰ νυν, παρὰ γὰρ Ἑρμαγόραν ἄπειμι τὸν διδάσκαλον· τί δὲ, ἦ δ' ὃς, παιδεύσεως μέτει μέρος ὑπ' αὐτῷ καθηγεμόνι τοῦ λόγου; τὰς Ἀριστοτέλους, ἔφην, κατηγορίας· καὶ ὃς, ἀγαθά σοι, εἶπε, τὰ προοίμια ὦ παιδίον· καὶ ὄντως εὐτυχεῖ θαλάμῳ χρυσέας ὑπεστήσω τὰς κίονας· σοφώτατόν τε γὰρ τὸ βιβλίον, καὶ διδασκάλων ὁ

[a] deest hæc vox Lexicis.

Ἑρμαγόρας πολυμαθέστατος· ἐκ πολλῶν τε ἄλλων, καὶ τῆς ὑπήνης μάλιστα, καὶ τῆς ὤχρας· τῆς μὲν τὰ πρόσωπα περιπλανωμένης· τῆς δ' ἄχρι καὶ ἐπὶ γονάτων[b] καθειμένης, τεκμηριούμενος τὸ φιλόσοφον.

Ἀλλ' ἔχοις, ἦν τί σε καὶ ἐροίμην, ἔφη, τοῦ μύστακος ἅμα ἐπιλαβόμενος, καὶ ἐπιμειδιάσας τῷ λόγῳ· μὴ ἀνάξια τῆς Ἑρμαγόρου διδασκαλίας ἀποκρινεῖσθαι; ἔχοιμ' ἄν· τὴν Πορφυρίου δ', ἔφη, πάντως προυτελέσθης εἰσαγωγήν· πάνυ τι, ἦν δ' ἐγώ· οὐκοῦν ἀρξώμεθα, εἶπεν, ἐκ ταύτης· καὶ πολὺ πρὸ τῶν ἄλλων περὶ τοῦ γένους ζητήσωμεν· ἀλλ' ἀνώνυμον μοι, ἦν δ' ἐγὼ, τὸ γένος ὀλεῖται, εἰ μή σοι τὰ περὶ γένους ἀκριβῶς διασαφησαίμην· καὶ μὴν οὐδὲν τί σε ἄλλο πρῶτον ἐροίμην, ἔφη ὁ Θεοκλῆς, ἢ ὃ πρὸ τῶν ἄλλων ἐπιστῆναι ἀνάγκη· τοῦτο γὰρ πρῶτον ζητητέον, ὃ καὶ πρῶτον ἐπιστητέον· εἰ μὴ ἀπιστητέον Ἀριστοτέλει, τὰ ζητούμενα ὡσαύτως ἔχειν λέγοντι, τοῖς ἃ ἐπιστάμεθα· πρότερον οὖν ἔστιν, ἢ μὴ ἔστι τὸ γένος, ἀπαιτητέον· ἀλλ' ἔστι γε, ἦν δ' ἐγὼ, καὶ τῶν ὄντων τὸ κάλλιστον· καὶ ὅς, ὀρθῶς, ἔφη, λέγεις· οἰχήσεται γὰρ ἡμῖν, εἰ μὴ τοῦτο δοθείη, τὰ πλέονα τῶν βιβλίων· καὶ τὰ κάλλιστα τῆς φιλοσοφίας ἀνατραπήσεται· καὶ συνόλως τὰ ἄνω κάτω γενήσεται· τί δὲ τῶν ὄντων ἐστὶ, καὶ τίνι ἀποδίδοται λόγῳ, λέγοις ἂν ἐφεξῆς· καὶ ἅμα ὑποφθασὰς ἐγὼ, τὴν παρὰ Πορφυρίῳ τοῦ γένους ὑπογραφὴν, ἐτύχον γὰρ οὐκ ἀμελετήτως ἔχων τοῦ βιβλίου, ἀπεστομάτισα.

Καὶ ὅς, χαῖρε, εἶπεν, ὦ τέκνον· πλὴν ἀλλὰ τῆς μὲν τοῦ γένους ὑπογραφῆς, ὡς κάλλιστά σου φαμένου, ξυνήκαμεν· τὶ δὲ τῶν ὄντων ὑπάρχον τὸ γένος, τῷ τοιούτῳ ἀποδίδοται λόγῳ, οὔπω ξυνίαμεν· τῶν γὰρ ὄντων ἁπάντων εἰς τὴν δεκάδα τῶν κατηγοριῶν ὡς εἰς ἀρχὰς ἀνάρχους ἀναλυθέντων, ὡς μὴ ἐξεῖναί τι τῶν ὅλων τὰς λαβυρίνθους ταυτησὶ τῆς δεκάδος διεξέλθειν, ζητῶ τινί γ' ἂν αὐτῶν τὸ γένος οἰκειωθήσεται; πρὸς φιλοσοφίας, τῷ πρός τι, γένος γὰρ εἴδους ἐστίν· ἀλλὰ τὸ ἄπορον πάλιν οὐδὲν ἧττον μεμένηκεν ἄπορον· τί γὰρ ὄν, ἐρήσομαί σε

[b] γόνατον MS.

πάλιν· ἔπειτα τὴν πρὸς τὸ εἶδος εἴληχε σχέσιν; δεῖ γὰρ εἶναι πρῶτον Σωκράτην, ἵνα παρυποσταίη αὐτῷ καὶ πατήρ· καὶ πρότερον ὑποτεθῆναι τετράδα, ἵνα τὸ ἥμισυ ταύτῃ παραφυῇ· ἐὰν οὕτω ἀποτύχῃ τὸ διπλάσιον· τί γοῦν καὶ τὸ γένος γε ὄν· ἐπεὶ πρός τι πῶς ἔχει· καὶ τίνι τῆς δεκάδος μέρει τοῦτο συνάψαιμεν; πᾶσα γὰρ ἀνάγκη τῆς λοιπῆς ἀλλοτριῶσαι αὐτὸ ἐννεάδος, ὁποιῳοῦν ἑνὶ προσαρμόσαντας· ἀλλὰ μὴν ὁρῶμεν καὶ τὰ δέκα αὐτὸ μερισάμενα κατὰ ζυγὰ, καὶ λόγους ἀπαραῤῥόπους ἰσότητος· ὡς μηδὲν μᾶλλον ἕτερον ἑτέρου γένος εἶναι, καὶ γενικώτατον· κινδυνεύει οὖν, ἢ τὸ εἶναι τὸ γένος διαπεσεῖν, ἢ ὂν ἔξω τῆς δεκάδος, καὶ ὑπὲρ ταύτην εἶναι ὑποτεθῆναι· εἰ δὲ τὸ πρῶτον ἀλογισταίνει, τὸ δεύτερον ἀναγκαίως εἰσάγεται· πάνυ τι, ἦν δ' ἐγὼ, καὶ οὐκ ἔστιν ἄλλως εἰπεῖν.

Εἰπέ μοι, ὦ Ξενέδημε, ξυνίεις δὲ σὺ τηνικαῦτα τηλικαύτης ὑψηλολογίας καὶ θεωρίας κομιδῇ φιλοσοφίας πρωτόπειρος, ὡς ἔφησθα, ὤν, εἰ μή μοι καταιτιῶ τοῦ πράγματος τὸ ὀξύ σου τῆς φύσεως· καὶ πτηνὸν καὶ σφαίρα κατὰ πρανοὺς τεθειμένη καὶ μόνου δεδεημένη τοῦ πρώτου κινήσοντος, ἐοικός· καὶ τοῦτο μὲν ἴσως ὦ λῷστε· τὸ δ' ὅλον ἡ Σειρὴν ἐκείνη τῆς γλώττης ἦν ἐς αὐτὸ τῶν καρδιῶν τὸ βάθος ἐνσημαίνουσα τὰ νοήματα· κἀπειδήπερ οὕτω ταῦτα καὶ συνδοκεῖ Ξενεδήμῳ, ἦ δ' ὅς, ὁ Θεοκλῆς, κατηγορῶμεν τῶν δέκα τοῦ γένους τὸ ὄνομα· κατηγορῶμεν ἦν δ' ἐγώ· μὴ πρότερον, ἔφη, πρὸς Ἑρμοῦ καὶ Μουσῶν, πρὶν καὶ τὸν κατὰ τοὔνομα οἱ ἐπισκεψόμεθα λόγον· ἵν' εἰδέναι ἔχωμεν ὅπως ποτε ἡμῖν τὸ κατηγόρημα ἕξει· ἀλλ' ἐπίσκεπτος, ἔφην, ὁ λόγος· καὶ οὐ πολύ τι περὶ τούτου καμούμεθα· γένος γὰρ καὶ ἀνωτέρω ἐφάμην εἶναι τὸ κατὰ πλειόνων καὶ διαφόρῳ τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον.

Εἰ τοίνυν, εἶπεν ὁ Θεοκλῆς, τὸ μὲν τοῦ γένους ὄνομα κατηγορεῖται τῶν κατηγοριῶν· ὁ δέκα τοὔνομα τούτου λόγος οὐχὶ ὁμώνυμος ἡμῖν πεφώραται ἡ κατηγορία· εἰ δ' ἅμα ταῦτα, συνώνυμος· ἀλλ' ἄμαγε, ἦν δ' ἐγώ· καὶ οὐδὲν μᾶλλον τοὔνομα τοῦ γένους, ἢ ὁ κατὰ τοὔνομα τούτου λόγος κατηγορεῖται τῶν κατηγοριῶν· καὶ γένη γὰρ ἅμα πάντα· καὶ κατὰ πλειόνων καὶ

διαφόρων τῷ εἴδει λεγόμενα ἐν τῷ τί ἐστί· τί οὖν λοιπὸν, ἔφη ὁ Θεοκλῆς, ἀπὸ τῆς ζητήσεως εὕρομεν, συνωνύμου τῆς κατηγορίας ἀναφανείσης· ἢ γένος εἶναι τῶν δέκα τὸ γένος· εἴγε κατὰ πλειόνων αὐτῶν καὶ διαφόρων τῷ εἴδει, καὶ ἐν τῷ τί ἐστι λέγεται κινδυνεύει. μετέπεσεν οὖν ἡμῖν ἡ πολυαρχία εἰς μοναρχίαν· καὶ εἰς ἑνάδα τὸ πλῆθος.

Εἰ δέ τις πρὸς ταῦτα ἡμῖν ἀπαντώη φωνὴν τὸ γένος λέγων εἶναι ἀπράγματον· μὴ δὲ καθ' ἑαυτὴν ὑφεστῶσαν, ἀλλ' ἐν τοῖς προχειριζομένοις τῶν δέκα τὸ εἶναι λαμβάνουσαν, πρῶτα μὲν τῆς ἀντιθέσεως κατειρωνευσάμενοι, ἀφιλόσοφος οὖν ὁ Πορφύριος φῶμεν, ὦ ξένε, ἀνυπόστατον φωνὴν ὁρισάμενος· τὸν γὰρ ἑκάστου ὅρον τῆς τούτων φύσεως εἶναι δηλωτικὸν, ἠγνόησε, μὴ ὑπὸ σοί γε ὡς ἔοικε παιδαγωγηθεὶς καὶ τελεσθεὶς τὰ ἀπόῤῥητα· ἔπειτα καὶ τὸ ζῶον τοιαύτην εἶναι φωνὴν ἀνυπόστατον ὑποθέσθαι αὐτὸν ἀπαιτήσομεν, εἰ μὴ ἐν ἀνθρώπῳ ληφθείη καθ' ἑαυτὴν μὴ θεωρουμένην· καὶ τὸν Ἀριστοτέλη κομίσομεν μάρτυρα, τὸ ζῶον λέγοντα τὸ καθόλου, ἢ οὐδέν ἐστιν ἢ ὕστερον· εἰδ' ὑπόστασιν ἐκεῖνος τῷ ζώῳ διδοίη, οὐσίαν ἔμψυχον αἰσθητικὴν τιθέμενος εἶναι· κατὰ ταυτὸν καὶ ἡμεῖς τῷ γένει ὑπόστασιν δοίημεν, τὸ κατὰ πλειόνων ἀποδιδόντες, καὶ διαφόρων τῷ εἴδει, καὶ ἐν τῷ τί ἐστι.

Ταῦτα φάμενος, καὶ δὴ μικρὸν ἠρεμήσας· κᾆτα ὅλοις βλεφάροις πρὸς ἐμὲ ἀφεωρακώς· εἰ μὲν οὖν ἐπείσθης, ἔφη, χάρις τῷ λόγῳ· εἰ δὲ μὴ, ἀλλὰ τοῦτο τὸ Πλατωνικὸν τί σοι ἔτι ποιήσω· ἢ εἰς τὴν ψυχὴν φέρων ἐνθῶ τὸν λόγον; ὅμως κοινωτέα ταῦτα καὶ Ἑρμαγόρα· καὶ ἴσως ἡ ὑπήνη ἔχει τί λέξαι τῶν ἄλλων σοφώτερον· καὶ ναὶ μὰ τοὺς λόγους, ἔφην· ἀλλ' εἰς τὴν ψυχὴν τὸν λόγον φέρων ἐνέθηκας, ὥστ' οὐ δ' Ἑρμαγόρου ἔτι δεήσομαι· τὶ οὖν λοιπὸν, ἦ δ' ὃς, μεταβατέον; ἦν δ' ἐγὼ, πρὸς χαρίτων.

Πῆ δὲ ἄλλη; ἔφη· ἢ δῆλον ὡς ἐπὶ τὴν δευτέραν τῆς κλίμακος ταυτησὶ βαθμίδα, τὸ εἶδος; καὶ ἀπορητέον εἴ πη ἐγχωροίη κἀνταῦθα μηδὲν ὑποστειλαμένους, εἰ πρὸς κρείττονας ἄν τι λέγοιμεν· τῷ ὄντι γὰρ, κατὰ τὸν εἴποντα, οὐκ οἶμαί τινα οὕτως εὐτυχῆ γραφὴν ἧ μηδεὶς ἀντερεῖ· ἀλλ' ἐκείνην εὔλογον, ᾗ

μηδεὶς εὐλόγως ἀντερεῖ· καὶ ἄλλως δὲ τὸ Δημοκρίτειον ἐκεῖνο καλῶς ἂν ἔχοι καὶ ἐφ' ἡμῖν·

στρεπτὴ γλῶσσα βροτοῖς, πολέες δ' ἔνι μῦθοι[c]·
παντοίων ἐπέων δὲ πολὺς νόμος ἔνθα καὶ ἔνθα. (Il. Υ. 248.)

τοὶ γὰρ ἀκόλουθως κἀνταῦθα τὸν λόγον ἐφοδευτέον· καὶ τὸν τοῦ κυρίου εἴδους, ἤγουν τοῦ εἰδικωτάτου λόγον, ὅστις ποτέ ἐστι, πρὸ τῶν ἄλλων ἀπαιτητέον· ἀλλ' εἰ μὴ μάτην μοι ἐν χερσὶν, ἦν δ' ἐγὼ, παντάπασι τὸ βιβλίον, εἰδικώτατον εἶδος εἶναι λέγεται, τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ ἀριθμῷ ἐν τῷ τί ἐστι κατηγορούμενον· ἀλλ' οὐ παρὰ μοῖραν, ἦ δ' ὅς, ἡ ἀπόκρισις Ξενεδήμῳ·

οὐ δέ σοι βέλος ἅλιον ἔκπεσε γλώσσης·
ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἔμφρονα μῦθον ὀπάζοις·

ἵνα τελέως ὁ λόγος ῥαψῳδηθῇ. τίνι τὸν ἀποδοθέντα λόγον ἐφαρμόττεις εἴδει; καὶ τίνος εἰδικωτάτου εἶναι τιθῇς αὐτὸν, πρὸς Μουσῶν, ἀνθρώπου ἢ ἵππου; ἢ τοῦδε τῶν εἰδικωτάτων, καὶ τοῦδε· ἢ τοῦ κοινοῦ τε καὶ ὁλικῶς εἰδικωτάτου; τοῦτογε οἶμαι καὶ αὐτὸς ξυνθεῖο τῷ λόγῳ· ὡς γὰρ ὁ τὸν ἄνθρωπον ὁριζόμενος, οὐ[d] τόνδε καὶ τόνδε, τὸν Σιμμίαν τυχὸν, ἢ τὸν Κέβητα, ἀλλά τοι ἁπλῶς ὁρίζεται ἄνθρωπον· καὶ τὸν τῶν ἀνὰ μέρος συνεκτικόν τε καὶ περιεκτικόν· ὡς δὲ καὶ ὁ τὸ ζῶον ἀποδιδούς· οὐ τὴν ἄρκτον, οὐδὲ τὴν πάρδαλιν, ἀλλ' αὐτὸ τὸ ζῶον καθολικῶς ἀποδίδωσι· φύσεως γὰρ δηλωτικόν ἐστι τὸ χρῆμα τοῦ ὁρισμοῦ· καθολικοὶ δὲ αὐτὴ καὶ ἑνιαῖον· οὕτως οὐδὲ τὸ εἰδικώτατον ὁριζόμενος, τὰ δέ τινα τῶν εἰδικώτατον· οὐδ' ἂν τὸν ἄνθρωπον· οὐδ' ἂν τὸν ἵππον· τινὰ γὰρ εἴδη ταῦτα· ὁ δὲ ὁρισμὸς οὐ τινῶν, ἀλλὰ τῶν καθόλου· καὶ πολλὰ μὲν ταῦτα· ὁ δὲ ὁρισμὸς οὐ πολλῶν ἀλλ' ἑνός· πάνυ μὲν οὖν, ἦν δ' ἐγώ.

Ἀλλ' εἰ ταῦτα τοιαῦτα, εἶπεν ὁ Θεοκλῆς, οὐχ ὑγιῶς ἂν ἔχοι τοῦ εἴδους ὁ λόγος τῷ Πορφυρίῳ· εἰ γὰρ, καθάτε εἴρηται, καὶ τοῖς πράγμασι συνδοκεῖ, τοῦ ὁλικῶς εἰδικωτάτου, καὶ τὰ ἀνὰ μέρος περιέχοντος εἰδικώτατα, ἡ ἀπόδοσίς ἐστι· τὰ δὲ εἰδικώτατα, ἑτεροφυῆ καὶ εἴδει ἀλλήλων διάφορα· οὐ τὸ κατὰ δια-

[c] πολέες δ' ἐν μῦθοι MS. [d] σὺ Cod.

φορων τῷ ἀριθμῷ λεγόμενον ἐν τῷ τί ἐστιν εἶδος ἔδει θέσθαι, ἀλλὰ μᾶλλον τὸ κατὰ διαφόρων τῷ εἴδει· πάλιν δὲ εἰ τοῦτο δοθῇ ὁ λόγος τοῦ εἴδους, τῷ τοῦ γένους ταυτοσθήσεται λόγῳ· εἰ γὰρ κατ' ἄλλο μὴ δ' ἀμφοτέρω τὼ ὅρω διενηνόχατον εἰ μὴ τὸ διάφορον εἴδει καὶ διάφορον ἀριθμῷ, ὕφελοι δὲ ὁ λόγος καὶ τοῦτο, λείπεται παντάπασιν ἀλλήλοιν ἰσάζειν τὼ ῥηθέντε ὅρω· ὧν δὲ ὅροι κατ' οὐδὲν διαλάττουσι, τούτων οὐδὲ τὰ ὁριζόμενα πράγματα· ἔσται ἄρα γένος τε καὶ εἶδος ταυτόν· καὶ οὕτως ἡμῖν ἡ πεντὰς τῶν φωνῶν εἰς τετράδα μετενεχθῇ· οἶ ἐγὼ δείλαιος, ἦν δ' ἐγώ, τῆς ἀγνοίας· ὁπόση τίς μου περικαθημένη τὸν νοῦν ἐλάνθανεν· ὡς εἴ τίς με ἤρετό ποτε, ποῖον, ὦ Ξενέδημε κρειττόνως ἀμφοτέροιν τούτοιν ἔπισται· τὴν σαυτοῦ κλῆσιν, ἢ τὴν Πορφυρίου εἰσαγωγήν; τὸ δεύτερον ἂν θαῤῥούντως ἀπεκριnάμην· νῦν δ' οὐκ οἶδ' ὅπως εἰς τὸ ἐναντίον τὸ πρᾶγμα περιετράπη μοι· καὶ τοῦτό γε ᾐσθόμην, τὸ εἰδέναι μηδέν.

Καὶ ὃς ἐπιμειδιάσας· βούλει δ', εἶπε, καὶ ἐπὶ τὴν τρίτην ἀναβαθμίδα τὸν πόδα βάπτομεν, ὦ Ξενέδημε; πάνυ μὲν οὖν, ὦ δαιμόνιε, ἦν δ' ἐγώ· καὶ τοσοῦτον ὡς καὶ ἐπὶ τῇ κλίμακι ἄχθεσθαί με ὀλιγοβάθμῳ γε οὔσῃ· μέχρι γὰρ καὶ εἰς οὐρανὸν προήκειν αὐτὴν ἐβουλόμην πολὺ πλέον, ἢ ὁ μῦθος τῶν Ἀλωάδων βούλεται· ναί, ἦ δ' ὅς, ἀλλὰ τὸ Ἀλωάδαις ἐπενεχθὲν ἐπιτίμιον, οὐ τοσαύτην οἰκοδομῆσαι τὴν κλίμακα τὸν Πορφύριον εἴασε· καίτοι καὶ αὐτὴ βαθμίσι μὲν ὀλίγαις καταμετρῆται, εἰς αὐτοὺς δὲ ὅμως φθάνει τοὺς οὐρανούς· τί γοῦν διαμέλλομεν, ἔφην, καὶ οὐκ ἀναβαίνομεν, ἀλλ' ἔτι χαμαὶ καὶ ὑπὸ τὰς νεφέλας ἱστάμεθα; καὶ ὁ Θεοκλῆς, ἀναβαινετέον οὖν, ἔφη· πλὴν ἀλλά, δυσάντης γὰρ ἡ ἄνοδος καὶ ἀκροσφαλής, σκοπιμώτερόν τε βαῖνε καὶ ἀνάβαινε βεβαιότερον· μή πω καὶ καταῤῥαγῇς πτῶμα οἴκτιστον· ἀλλ' οὔτι γε, ὦ θαυμάσιε, εἶπον, ὑπὸ σοὶ τῆς ἀνόδου ταττόμενος ἡγεμόνι· τίς οὖν ἡμῖν ἡ τρίτη αὕτη, ἔφη, ἀναβαθμίς; ἡ διαφορά, ἦν δ' ἐγώ, τὸν λόγον ἁρπάσας· καὶ ὅς, οὐκοῦν τίνα σοι ταύτης ὁ Ἑρμάγορας, καὶ ὁ Πορφύριος πολὺ πρὸ τούτου λόγον ἀπέδοτο; πολλοὺς μέν, εἶπον, καὶ καλούς, ἀλλ' οὔτι πάντας ταῖς ἁπάσαις διαφορότησιν ἐφαρμόττοντας· ὁ δὲ

κοινῇ ταῖς ἁπάσαις ἁρμόττων, εἶπου ἀπομνημονεύω, τοιοῦτος τίς ἐστι· διαφορὰ γάρ ἐστιν, ὅτῳ διαφέρει ἕκαστα ὡς ὅλον.

Ἦ δ' ὅς, τὸν Πορφύριον μειράκιον καταπέπτωκας, καὶ οὐκ ἔστιν ὅπως οὐχὶ τέθηπά σε τῆς φύσεως, καὶ ὑπερφιλῶ· καίτοι τὴν ἀρετὴν οὐ φιλομειράκιον εἶναι μαθὼν παρὰ Πλάτωνος· πλὴν ἀλλὰ περικρουστέον τὸν ὅρον, μήτι κατὰ τὰς οὐχ ὑγιαινούσας φθέγγηται χύτρας· εἰ γὰρ μία μὲν τῶν φωνῶν ἡ διαφορὰ, καὶ τῶν λοιπῶν τεττάρων διάφορος, ὁρίζοιτο δὲ τῷ ὅτῳ ἕκαστα διαφέρει· πρῶτα μὲν περὶ τοῖς γένεσι δέδοικα· μὴ τεταγμένα φύσει πρὸ τῶν διαφορῶν, ταῖς διαφοραῖς συντετάξεται· διαφέρει γὰρ καὶ τοῖς γένεσιν ἕκαστα· ὥσπερ ἀμέλει, λευκὸν καὶ Σωκράτης· τὸ μὲν γὰρ ὑπὸ τὸ χρῶμα· ὁ δ' ὑπὸ τὸ ζῶον ἀνήνεκται· ἔπειτα οὐ μικρόν με δέος ὕπεισι, καὶ περὶ τοῖς εἴδεσι, μὴ ταῦτα τὴν τῶν εἰδῶν ἀπολωλεκότα προσηγορίαν ὀνομασθεῖεν διαφοραί· εἰ γὰρ διαφορὰ μὲν, ὅτῳ ἕκαστα διαφέρει· διαφέρει δ' ἄνθρωπος ἵππου τῷ εἴδει· εὔδηλον ὡς διαφορὰ τὸ εἶδος ἐσεῖται· ἀλλ' εἰ τοῦτο δοθῇ, καὶ σὺν ταῖς διαφοραῖς τὰ γένη καὶ τὰ εἴδη τετάξεται· οὐκ ἔτι ἐν τῷ τί ἐστιν οὐδέτερον αὐτῶν κατηγορηθήσεται, ἀλλ' ἐν τῷ ὁποῖον τί ἐστιν· εἴ γε καὶ ἡ διαφορὰ ἐν τούτῳ κατηγορεῖται· πρὸς ἐπὶ τούτοις τὸ εἶδος κατὰ πλειόνων τῷ εἴδει ῥηθήσεται· ὡς ἀμέλει καὶ ἡ διαφορά· ἀλλὰ μὴν, οὐχ οὕτως ὑπέκειτο· ἔτι, εἰ τὸ μὲν γένος ὕλη, ἀνάλογον, μορφὴ δὲ ἡ διαφορὰ, ὕλη ἂν καὶ μορφὴ ἔσται ταυτόν· εἰ δὲ ταῦτα, καὶ στέρησις καὶ οὐσία, καὶ τὸ εἶναι καὶ τὸ μὴ εἶναι.

Ὦ μοῦσαι καὶ χάριτες, ἦν δ' ἐγὼ, καὶ βιβλία· οἷός με παρὰ Ἑρμαγόρα ὑπελάμβανε πλάνης, τῷ ἀμφιλαφεῖ ἐκείνῳ πιστεύοντα καὶ πώγωνι· σὺ δὲ ἀλλὰ, μὴ γάρ μοι φθονοίης τῆς ἀναβάσεως, καὶ ἐπὶ τὴν τετάρτην πρὸς τῆς τετρακτύος βαθμίδ' ἀποδήγησον· ποδηγήσαιμ' ἂν, ἤ δ' ὅς, καί μοι ἐρομένῳ ἀποκρίναι, εἰς πόσας ἡ εἰρημένη αὕτη τῶν ἀναβαθμίδων τὸ ἴδιον τῷ Πορφυρίῳ διηρέθη τομάς· εἰς τέτταρα, ἦν δ' ἐγὼ, ἡ τετάρτη· ὃ τὲ γὰρ μόνῳ τινὶ ξυμβέβηκεν εἴδη· κἂν εἰ μὴ παντὶ, μηδ' ἀεὶ, ὡς τῷ ἀνθρώπῳ τὸ ἰατρεύειν· καὶ ὃ παντὶ, κἂν

εἰ μὴ μόνῳ, ὡς τούτῳ τὸ εἶναι δίποδι· καὶ ὃ μόνῳ καὶ παντὶ, κἂν εἰ μὴ ἀεὶ, ὡς τῷ αὐτῷ ἡ ἐν γήρᾳ πολίωσις· καὶ τὸ ἐφ' οὗ τὰ τρία συνέδραμον, τὸ μόνῳ, καὶ παντὶ, καὶ ἀεὶ, ἴδια τῷ Πορφυρίῳ ὠνόμασται.

Τῆς ἐπιστημονικῆς, ἦδ' ὅς, καὶ ἀκριβοῦς διαιρέσεως· καὶ ἅμα σὺ μὲν φυλάττοιο τέκνον εἶπεν· οὐκ ἀγεννὴς ἐσόμενος φιλοσοφίας ὀργιαστής[e]· ἵνα τὰ μὲν ἀναπληρώσαις τῶν ἐνδεόντων· τὰ δ' ἀνακαθήραις τῶν ὑπεσμυγμένων καὶ βεβυσμένων· ἔστι δ' ὧν καὶ αὐτὸς γεννήτωρ ἀναδειχθείης· νῦν δ' ἀλλὰ τεττάρων σοι τῶν ἰδίων ἀναπεφασμένων τῇ διαιρέσει, καὶ πάντων διαφόρων πρὸς ἅπαντα· ἢ γὰρ ἂν οὐδὲ τέτταρα ἦν, εἰ μὴ διάφορα ἦν, τὴν τοῦ τετάρτου ζητῶ πρὸς τὸ πρῶτον διαφορότητα· τοῦ οὗ τὸ γελαστικὸν παράδειγμα, πρὸς τὸ, οὗ τὸ ἰατρεύειν παράδειγμα· τίς οὖν ἡ τούτοιν διαφορὰ πρὸς ἄλληλα τοῖν ἰδίοιν; ὡς προφανὴς, ἦν δ' ἐγὼ, καὶ πᾶσι σαφής· μὴ πᾶσιν— ἦδ' ὅς, ὤγαθε· οὐ γὰρ καὶ ἐμοί· εἰ δὲ σὺ τὰ τηλικαῦτα σοφὸς, δίδαξόν με, ὦ πρὸς Ἑρμοῦ· παίζεις ἔχων· τίς γὰρ ἄν σε καὶ ἀγνοεῖν ὑποπτεύσῃ, Θεοκλεᾶ γε ὄντα, ὅση τις ἐπ' ἀνθρώπῳ ἡ τοῦ γελᾶν καὶ ἰατρεύειν διαφορότης· ὧν τὸ μὲν ἀεὶ καὶ παντὶ, τὸ γελᾶν· τὸ δὲ τινὶ καὶ ποτὲ, τὸ ἰατρεύειν ἀνθρώπῳ πέφυκεν· ὅσον γὰρ τὸ μὴ ἀεὶ τοῦ ἀεὶ, καὶ τὸ μὴ παντὶ τοῦ παντὶ διενήνοχε, τοσοῦτον καὶ τὸ ὡς τὸ ἰατρεύειν ἴδιον, τοῦ ὡς τὸ γελαστικόν· ὡς ἄγαμαί σε τῆς εὐφυΐας Ξενέδημε· καὶ εὔχομαί γε καὶ ἀναγωγῆς αὐτὴν τυχεῖν δεξιᾶς· τὰς γὰρ εὐφυεστάτας ψυχὰς κακῆς παιδαγωγίας τυχούσας κακωτέρας γίνεσθαι, διδάσκει με ὁ Ἀρίστωνος· "μέγα μέρος," λέγων, "εἰς ἀρετὴν καὶ κακίαν τὴν ἀνατροφὴν συντελεῖν·" ἀλλὰ σοῦ ἀπείη ταυτὶ τὰ κακόφημα· καὶ ἄπεσται πάντως παρ' Ἑρμαγόρᾳ παιδευομένου· νῦν δ' ἀλλὰ τοῦτό μοι μὴ φθονήσῃς ὡς ἄριστα ἀποκρίνασθαι· πῶς παντὸς ἀνθρώπου καὶ ἀεὶ κατηγορεῖς τὸ γελαστικόν; πρὸς Ἑρμοῦ γε, ὅτι ἀεὶ γελᾷ· καὶ ὅτι σύμπας γελᾷ· καὶ μὴν οὐθ' ἅπας ἀνθρώπων γελᾷ· εἰσὶ γάρ οἱ καὶ παντάπασι τὸ τοῦ γέλωτος ἠγνόησαν χρῆμα· καθάπου καὶ Λυκόφρων τὸν ἄνδρα

[e] ὀργιασθὴς Cod.

Τορώνης ἱστόρηκε νήϊδα δακρύου καὶ γέλωτος· οὐθ᾽ ὁ γελῶν αἰεὶ τῷ γέλωτι κέχρηται· ἀναλγήτου γὰρ ἐν πένθεσι καὶ νόσοις καὶ μάλιστα θανάτοις ἐπιτηδείων γελᾶν· εἰ δὲ μὴ, καὶ ἐσθίων ὁ τοιοῦτος καὶ πίνων γελώῃ· καὶ ὁμιλῶν, καταδαρθάνων· οὗ τί γελοιότερον; λείπεται δὴ κατὰ τὸ πεφυκέναι λέγειν τὸ παντί τε καὶ τὸ ἀεί· πέφυκε γὰρ καὶ ἅπας ἀνθρώπων γελᾶν, καὶ ἀεί· ἀλλ᾽ εἰ τοῦτο οὕτως δοῖμεν ἔχειν, ζητῶ μαθεῖν τὴν αἰτίαν, δι᾽ ἣν μοι καὶ τὸ ἰατρεύειν ἀεὶ καὶ παντὶ τῷ ἀνθρώπῳ λεχθείη· εἰ γὰρ καὶ μὴ ἰατρεύοι αἰεί· ἀλλ᾽ αἰὲν ἰατρεύειν πέφυκεν ἄνθρωπος, καὶ εἰ μὴ πᾶς ἰατρεύοι, ἀλλὰ πέφυκε πᾶς· ἔσται ἄρα καὶ τὸ ἰατρεύειν ἀνθρώπῳ ἴδιον κατὰ τὸ γελαστικόν· εἰ δὲ τοῦτο, καὶ τὸ γεωμετρεῖν καὶ τὸ ῥητορεύειν· καὶ ἐπιστήμη συνόλως ἅπασα· εἴγε δεκτικὸν ἐπιστήμης ἁπάσης ὁ ἄνθρωπος ὥρισται· κἂν εἰ τοῦτο πλείω τοῦ αὐτοῦ ἐσεῖται εἴδους τὰ ἴδια, ἀλλ᾽ ἓν ἑνὸς ὑποτέθειται, κινδυνεύεται ἄρα μὴ καλῶς μήτε διελεῖν μήτ᾽ ἀποδοῦναι τὸ ἴδιον τὸν Πορφύριον· κινδυνεύεται, ἦν δ᾽ ἐγώ· σοῦ δὲ τῆς ἐπὶ τῇ πειθοῖ χάριτος· τί ἂν ἄλλο οἰκειότερον κατεπάσαιμι· ἢ ὅ ποτε καὶ ὁ κωμῳδὸς Μένανδρος ἐπὶ ταῖς εὐτυχίαις τοῦ Μακεδόνος εἶπε παίζων πρὸς τὸ παράδοξον· "ὡς ἀλεξανδρῶδες τοῦτο κἂν ζητῶ τινὰ, αὐτό- "ματος οὗτος πάρεστι· κἂν διελθεῖν διὰ θαλάσσης δέῃ τόπον, "οὗτος ἔσται μοι βατός[d]." ἐγὼ δ᾽ ὡς θεοκλεῶδες τοῦτο, εἴποιμ᾽ ἂν, ἐπὶ σοὶ τὰς συλλαβὰς ὑπαλλάξας, κἂν τι ἀναπόρητον δοκοίη, ἀπορηθήσεται· κἂν ἐπ᾽ ἀσφαλοῦς ἑστηκοί γε, ἀνατραπήσεται· ἀλλὰ ταῦτα μὲν τοῖς Ξενοδήμου, εἶπεν, ἡλικιώταις καὶ ἀκούειν κατὰ κοσμὸν καὶ λέγειν· τυχὸν δὲ καὶ Ἑρμαγόρᾳ ταῦτα λέξας χαρίσαιο· ἡμῖν δὲ, περὶ γὰρ τὸν κολοφῶνα τῆς κλίμακος τὴν πέμπτην ἤδη ἀναβαθμίδα γεγόναμεν, τὸ συμβεβηκὸς, ἀναβατέον καὶ ταύτην καὶ στάσιν ἐπὶ τῆς ἀκρωρείας ἐπισκοπητέον, τὰ ὄντα ὅπως ἂν ὀντότητος ἔχῃ· πάνυ τοι, ἦν δ᾽ ἐγὼ, καὶ μάλιστά γε πρὸς τῷ τέλει τοῦ λόγου ποτνιῶμαι φιλοτιμήσασθαι, ἐπεὶ καὶ τῷ Ἄσκρηθεν ποιητῇ, "ἀρχομένου

[d] Plenius hoc fragm. dedit Plut. Vit. Alex. e quo noster. Cf. Meinek. Menandr. Rel. p. 211.

"πίθου καὶ λήγοντος κορέννυσθαι δέδοκται" (Opp. I. 366.) οὐκοῦν ἐμφοροῦ γε, ἦδ' ὅς, τοῦ πίθου καὶ τῶν ἐν τῷ πυθμένι χαρίτων ἀπόλαυε· ἀλλ' ἦν σύ γε, εἶπον, κερδῇς· τίνα γοῦν, ἔφη, τῷ συμβεβηκότι ἀποδοίης τὸν λόγον, ὁ τὰ λοιπὰ ὡς ἄριστα ἀποδούς; ῥαδία, ἦν δ' ἐγώ, ἡ ἀπόδοσις· ὃ γὰρ ἐνδέχεται τῷ αὐτῷ εἶναι καὶ μὴ εἶναι, τοῦτο συμβεβηκός· αὕτη ἐκείνη, εἶπεν, ἡ παρὰ Πορφυρίῳ ἀπόδοσις· καὶ οὐκ ἔστιν ὅπως ἄν σοι τὶς καὶ ἐπιμεμψεῖται αὐτῆς· ἀλλὰ τοῦτό μοι ἀπόκριναι· εἰ Σωκράτην κατὰ Σωκράτην ἀλλ' οὐ κατ' ἄνθρωπον ὁρίζεσθαι βούλοιο· τίνι γ' ἂν ἀφορίσαιο; ἢ οὐ συνδρομῇ τῶν τούτῳ συμβεβηκότων; πάνυ μὲν οὖν· καὶ τί ἂν διασταίη Πλάτωνος; ἥ συ ταύτῃ, ναὶ καὶ δὴ ὑπόγραψας, ἦδ' ὅς, Πλάτωνα καὶ Σωκράτη· τὸν μὲν μέλανα τυχὸν, τετανότριχα, σιμὸν, λαγαρὸν, ἢ ὅπως ἄλλως· τὸν δὲ τῷ προκοιλίῳ ἐκείνου διάφορον; μέλανά τε γὰρ καὶ τοῦτον, καὶ τετανότριχα, καὶ σιμόν· τίνι διαφέρετον ἀλλήλων τὼ ἄνδρε; ἢ πάντως τῷ λαγαρῷ καὶ τῷ προκοιλίῳ· ἀλλ' εἰ συμβεβηκὸς τὸ λαγαρὸν καὶ προκοίλιον, τοῦτο δ' ἐνδέχεται τῷ αὐτῷ εἶναι καὶ μὴ εἶναι, ἐνδέχοιτο ἂν καὶ λαγαρὸν εἶναι Σωκράτην, καὶ προκοίλιον Πλάτωνα· καὶ οὕτω Σωκράτης ἂν ὁ Πλάτων ἐσεῖται.

Εἶχόν σοι καὶ ἄλλα περὶ τούτων διαπορίσασθαι· καὶ ἴσως οὐκ ἀγενῆ· ἀλλὰ καλῶς ἐκεῖνο ἔχει τὸ Ἀναξάρχειον[e]· "πολυμαθείη κάρτα μὲν ὠφελέει· κάρτα δὲ βλάπτει· ὠφελέει μὲν τὸν ἄξιον ἐόντα[f]· βλάπτει δὲ τὸν ῥηϊδίως φωνέοντα πᾶν ἔπος, καὶ ἐν παντὶ δήμῳ· χρὴ δὲ καιροῦ μέτρα εἰδέναι· σοφίης γὰρ ὅρος οὗτος[g]." καὶ ἅμα Ξενεδήμῳ δὲ πλήρης ὦ χάριτες παιδεύσεως γένοιτο ἡ φροντὶς εἰπὼν ἀπηλλάττετο· μέτρια μὲν ταῦτα περὶ Θεοκλέος ἐῤῥέθη· ἀλλ' οὔτι μουσαίῳ γε μέτρια ἀνδρὶ συμβάλλειν καὶ ἐξ ὀνύχων μόνων, εἰδέναι[h] τὸν λέοντα[i].

[e] Cod. Barocc. 187. leg. ἐξαναρχεῖον sed Ἀναξάρχου Stob. Tit. XXXIV. 19. [f] Stob. Edd. δεξιὸν ἄνδρα. [g] οὗτος ὅρος Stob. [h] εἰδέ ... τὸν λ. Cod. [i] Seq. in Cod. τοῦ αὐτοῦ περὶ μεγάλου καὶ μικροῦ· καὶ τοῦ πολλοῦ καὶ ὀλίγου· ὅτι οὐ τῶν πρός τι ἀλλὰ τοῦ πόσου.

ΤΟΥ ΑΥΤΟΥ

ΕΙΣ ΤΟΝ ΚΑΙΣΑΡΑ,

Η ΥΠΕΡ ΠΡΑΣΙΝΩΝ.

ΧΡΩΜΑΤΩΝ περὶ, καὶ φύσεων αὐτῶν, καὶ γενέσεων, πολλοὶ πολλάκις, σοφώτατε Καῖσαρ, ἐπραγματεύσαντο· ἡμῖν δὲ καὶ αὐτοῖς περὶ χρωμάτων μέλλουσι λέγειν, οὐ κατὰ ταυτὸν ἐκείνοις τὸν λόγον ἐφοδευτέον· ἅλις γὰρ τοῖς ἀνδράσι τὰ τῆς τοιαύτης φιλοσοφίας· ἀλλὰ παραθετέον χρώμασι χρώματα· οὐ τοῖς πᾶσι τὰ πάντα· δυοῖν δὲ τῷ λευκῷ καὶ τῷ κυανῷ, δύο τὸ φοινικοῦν καὶ τὸ πράσινον· καὶ θεωρητέον οἷον Λυδίᾳ τῷ λόγῳ ταυτὶ παρέξετασιν, ὁποῖον αὐτῶν εὐγενέστερον καὶ σεμνότερον· καὶ ἀποδοτέον ὡς ἔνι μάλιστα τῷ κρείττονι τὰ πρεσβεῖα· ἢ ἐπειδὴ φθάσαντές τινες τὸν ἀγῶνα ἐρήμην ᾠήθησαν τοῦ πρασίνου καταψηφίσασθαι· αὐτοῖς γε τούτοις ἀντιπαραβλητὸν τὸ γράμμα, καὶ λόγον λόγῳ παλαιστέον κατὰ τὴν παροιμίαν· οὐχ ὡς ἄλογόν τινα βούλησιν ἢ παράλογον ἐκτελέσειν ἁπλῶς ἡμῶν διατεινομένων· οὐ, μὰ γὰρ τὴν Καισαρικὴν κεφαλὴν, οὐκ ἐφ' οὕτω μεγάλοις ἀλόγως θεληματαίνομεν· ἀλλὰ πρῶτα μὲν τοῦ ἀληθοῦς ὑποπτευόντων ὑπερμαχεῖν, οἷς τοῦ πρασίνου ὑπερμαχοῦμεν· ἔπειτα καὶ κύκλῳ πολεμουμένῳ πράγματι διδόντων χεῖρα ξυνέριθον· ἱλήκοιεν δὲ τῷ λόγῳ οἱ τοῦ Καίσαρος ὀφθαλμοί· καὶ ἀγωνιεῖταί οἱ παρὰ τὴν βούλησιν.

Γένους μὲν οὖν τὰ τέτταρα τοῦ αὐτοῦ· ὑπὸ τὸ χρῶμα γὰρ καὶ ἐπὶ τὴν ποιότητα κοινῶς ἀνηνέχαται· φασὶ δὲ τὸ μέντοι τούτων ἁπλοῦν τὸ λευκὸν, τὰ δ' ἀπ' αὐτοῦ τε τοῦ λευκοῦ καὶ τοῦ μέλανος, τῆς τοιᾶσδε, ἢ τοιᾶσδε ἀναλογίας τῶν ἐν τούτοις μίξεών τε καὶ κράσεων, γεννώσης τε ἅμα καὶ ἐξαλαττούσης τὰ χρώματα· ἀλλ' ἐντεῦθεν ἡμῖν ἀρκτέον τῆς θεωρίας· κἀπειδὴ τινὲς ὡς ἁπλοῦν καὶ στοιχειῶδες καὶ τοῖς ἄλλοις αἴτιον ἀπο-

σεμνύνουσι τὸ λευκόν· φατέον πρὸς αὐτοὺς, ὧδέ πῃ· πότερον οἱ τὸ λευκὸν ἀνυμνοῦντες καὶ τῆς[a] τῶν ἄλλων χρωμάτων γενέσεις αἰτιώμενοι καὶ ὁμογενὲς αὐτοῖς διδόατε εἶναι, ἢ ἑτέρου γένους εἶναι φάτε; ἢ τούτων μὲν οὐδέτερον, ἑνδέκατον δέ τι τοῦτο γένος πρὸς τοῖς δέκα χειροτονεῖτε; εἰ μὲν τοῖς γενικωτάτοις καὶ τοῦτο προστίθετε, ἀπορῶ τὰ πρῶτα, πῶς τὴν Ἀριστοτέλους ὀξύτητα παρελθὸν, ὑμῖν γε ἀπεκαλύφθη τοῦτο τὸ γένος· ἔπειτα καὶ ποῖα τούτου τάξαιμεν εἴδη ὑπάλληλά τε καὶ εἰδικώτατα· οὐ γὰρ δὴ αὐτὸ ἑαυτῷ καὶ γένος ἔσται καὶ εἶδος· εἰ μὴ καὶ τὸν αὐτὸν Σωκράτη πατέρα τὲ ἑαυτοῦ καὶ υἱέα εἶναι ὁμολογήσετε· εἴθ᾽ ὑφ᾽ ἕτερον μὲν τὸ λευκὸν ἀνάγετε γένος, ὑφ᾽ ἑτέρου δὲ τὰ λοιπὰ χρώματα, ζητῶ μαθεῖν ἐκεῖνο τὸ γένος, ὑφ᾽ ὃ τὸ λευκόν· καὶ οὐ πρότερον τῆς ζητήσεως ἀποσταίην, μέχρις ἂν ἢ ὃ ὑπέθεσθε δοῖτε, ἢ τῷ λείποντι μέρει τῆς διαιρέσεως ἐπινεύσοιτε· εἰ δὲ καὶ τοῦτο τέως ἐῤῥωμένως ἔχετε τοῦ νοοῦντος, τὸ τὸ χρῶμα κατηγορεῖν ὡς γένος καὶ τοῦ λευκοῦ τῶν ἄλλων· τίς ὑμᾶς ξυνέπεισε δαίμων, τὸ μὲν τῶν ὁμογενῶν αἴτιον εἶναι τόδ᾽ αἰτιατόν γε ὁμολογεῖν; καὶ ταῦτα τῆς φιλοσοφίας ὁμότιμον εἶναι μυσταγωγούσης τὴν ἐκ τοῦ γένους τοῖς εἴδεσι προβολήν· οἱ δὲ καὶ αὐτοὶ τό τε ὁμογενὲς ἀποδέχεσθε, καὶ λυμαίνεσθε τῇ ἰσοτιμίᾳ· ἔπειτα δεδόσθω γὰρ καὶ ὁμογενὲς τοῖς ἄλλοις εἶναι τοῦτο καὶ αἴτιον, οὐκ ἀνάγκη παρὰ τοῦτο τὴν νικῶσαν ἐπιψηφίσασθαι τῷ λευκῷ. οὐ γὰρ αἰεὶ τὸ ξυντεθὲν τῶν ἐξ ὧν συντέθειται ἀτιμώτερον· ἀλλ᾽ ἔστιν ὅπου καὶ τιμιώτερον· οἰκίαν γὰρ, πλίνθος ὀπτὴ, καὶ λίθος ξεστὴ, καὶ ἄλλα ἄττα ξυντίθησιν· ἀλλ᾽ οὐ πλίνθου φαῖμεν τὴν οἰκίαν ἀτιμοτέραν· καὶ γῆ μὲν ἀνθρώπου στοιχεῖον, ἀλλ᾽ οὐχὶ καὶ βελτίων ἀνθρώπου· καὶ χορδὰς μὲν μόνας καὶ μόνους καλάμους, εἴπερ ἀναχεῖρας ὁ ἐκ Μηθύμνης θεῖτο κιθαρῳδὸς, οὐκ ἂν οὐδὲ πολλοστόν τι μέλος προήσεται· εἰ δὲ τὸ ξύνθετον μετὰ χεῖρας λάβοι τὴν περικαλλέα καθ᾽ Ὅμηρον κίθαριν· τάχα καὶ δελφῖνας ἕλξει τῇ μελῳδίᾳ, καὶ ἱππάσεται ἐφ᾽ ὑγρῶν, καὶ σωθήσεται.

[a] Sic Cod.

Ὁρᾷς ὡς ἐς τὸ ἐναντίον τὸ πρᾶγμα προετράπη σοι, ὦ φίλ' ἑταῖρε· ἀλλ' ὡς τοῦ τῆς παροιμίας κύβου ῥιφέντος, ὡς ἐγώ σε καὶ τῆς τῶν χρωμάτων ἐπαινῶν συστοιχίας, οἷς εὐστόχως ἄγαν καὶ φιλοσόφως ἐτέθησαν· καὶ λευκὸν μὲν καὶ μέλαν ἄκρα γεγράφαται· τὸ μέντοι πράσινον καὶ τὸ ἀλουργὸν τὴν μεσαιτάτην χώραν εἰλήχεσαν τοῦ ἐντεῦθεν ἐπιχειρήματος, οὐδ' ὁπωτιοῦν ἀποδέχομαι· εἰ γὰρ τὸ λευκὸν ἐπαινοίης ἄκρον γε ὂν, ἐπαινέσαις ἂν ταύτῃ καὶ τὴν δειλίαν, ἢ καὶ νὴ τὸν λόγον τὸ θράσος· ἄκρω γὰρ ἑκατέρω· τοῦτο δ' ὅποι φλαυρότητος ἐξολισθαίνει, καὶ τύφλῳ φασὶ δῆλον.

Ἀλλ' ἕπου μοι ὦ λῷστε, καὶ συνθεωρῶμεν κατὰ λόγον τὰ χρώματα· ἔχομεν δὲ πάντως, ἀπὸ τὲ τῶν βίβλων, ἀπό τε τῆς ἐνεργείας, κάλλιστον αἰσθητὸν, τὸ τῇ αἰσθήσει ἡδὺ, καὶ σῶζον ταύτην οὐκ ἀπολλύον· οἷον ἄριστον ὀσφραντὸν, τὸ τῇ αἰσθήσει ἡδὺ, καὶ σῶζον τὴν ὄσφρησιν· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως· θεωρῶμεν δὴ τοῦτο κἀπὶ τῶν χρωμάτων καὶ τῆς ὁράσεως· καὶ τὸ ἡδύ τε ἅμα τῇ ὁράσει καὶ σωστικὸν, κάλλιστον εἶναι χρῶμα τιθώμεθα· τὸ μὲν οὖν λευκὸν ἢ τὸ μέλαν οὐκ ἂν εἴη τοιοῦτον· τὸ μὲν γὰρ διακρίνει τὴν ὄψιν, καὶ διαχεῖ καὶ σκεδάννυσι τὸ λευκόν· τὸ δὲ τὸ μέλαν συγκρίνει καὶ συνάγει παντάπασι· καὶ οὕτως ἑκάτερα λυποῦσιν αὐτήν· ἢ καὶ νὴ τὴν θέμιν γε ἀπολλύουσιν· οὐκ ἄρα οὐδὲ ξανθόν τε καὶ φοινικοῦν· ἀλλ' οὐδὲ φαιὸν καὶ κυανοῦν αὐτὴν ἡδυνεῖ· τὰ μὲν γὰρ τούτοιν λευκότερα· τὰ δὲ μελάντερα καθεστήκασι· λείπεται δὴ τὸ ὡς ἐπίσης μετέχον ἀμφοῖν καὶ μέσον καὶ ξυμμέτρως κραθὲν, τοιοῦτον εἶναι οἷον δῆτα καὶ ὑποθέμεθα, μεσαίτατον δὴ καὶ ξυμμετρότατον, καὶ ὡς ἐπισῆς τῶν ἁπλῶν μετέχον· τὸ πράσινον πρὸς τῷ ἀλουργῷ· τὸ ἄρα πράσινον κάλλιστόν τε χρῶμα καὶ τιμιώτατον.

Τί *πρὸς ταῦτα λέγεις, ὦ πρὸς* Εὐκλείδου, *ἀφυῶς κατεγεωμετρήθη τὰ χρώματα· οὐ μὲν οὖν καὶ αὐτὸς ὁμολογήσεις εὖ οἶδ' ὅτι· βούλει σοι κἀκεῖνο τῆς γραφῆς ἐξετάσομαι· ὅπου κυάνεον μὲν ἀπεφήνω τὸν οὐρανόν· μέλαιναν δὲ τὴν γῆν· τὸ δὲ ὕδωρ λευκόν; ἢ σὴν χάριν, τοῦτο γοῦν ἀποσιωπήσομαι· ἄμεινον*

οἶμαι φάναι, καὶ φήσω ἑλών· ἀπόκριναι γοῦν μοι ὁ φυσικώτατος σύ· χρῶμα δίδως τῷ ἀερίῳ σώματι, ἢ οὐχί; ἀλλ' οὐκ ἂν οἶμαι δοίης· αἰδοῖ τοῦ ὃν διδάσκαλον κομπάζεις Ἀριστοτέλους, ἀχρωμάτιστον εἶναι αὐτὸν ἀποφαινόμενον[b]· εἰ δὲ ἀὴρ ἀχρωμάτιστον τὸ περὶ ἡμᾶς τοῦτο σῶμα τὸ παθητὸν καὶ ἀλλοιωτόν· πολλῷ πλέον τὸ αἰθέριον ἐκεῖνο καὶ ἀπαθές· ἀλλ' εἰ καὶ κεχρῶσθαι φαῖμεν τὸν οὐρανὸν, ἐνταῦθα τὸ ἀπορώτατον ἀνακύψει τῶν ζητημάτων· πῶς γὰρ ἁπλοῦν σῶμα ὃν ὁ οὐρανὸς καὶ ἀσυνθετώτατον, οὐχ ἁπλοῦν εἰλήφει καὶ χρῶμα, τὸ λευκὸν τυχὸν ἢ τὸ μέλαν; ἀλλὰ ξύνθετον τὸ κυάνεον· ὡς ἔγωγε οὐδ' ἄλλο οὐδὲν τῶν ἁπλῶν σωμάτων κεχρῶσθαι διατονοῦμαι· οὐ πῦρ· οὐχ ὕδωρ· οὐ γῆν· κ' ἂν σύ μοι προβάλῃ τὸν ποιητὴν πολιὰν τὴν θάλασσαν ὀνομάζοντα· ἐγώ σοι τοῦτον αὐτὸν προβαλοῦμαι μέλανα τὸν πόντον ἀντονομάζοντα, κ' ἂν ὑπὲρ σαυτοῦ καὶ τοῦτο τοῦ ἔπος ἐκδέξῃ· ἐπὶ τὸν ἠεροειδέα πόντον μεταπλευσοῦμαι· τί τοῦ ποιητοῦ ἐντεῦθεν αἰνιττομένου· ἢ ἀχρωμάτιστον οἶμαι εἶναι καὶ τὸ ὕδωρ ὡς τὸν ἀέρα; ἢ εἰ μὴ τοῦθ' οὕτως δοῖμεν ἔχειν, πολλὰ ἂν τὸ ἁπλοῦν ὕδωρ ἕξει τὰ χρώματα· τὸ ἠεροειδές· τὸ ἰοειδές· τὸ μέλαν· τὸ πολιόν· καὶ ἄλλα ἄττα ὅποσα τῆς ῥαψῳδίας ἐστὶ μεταφέρειν· ἐξεδόθη σοι ἄρα ὁ οὐρανὸς τὸν χυανοῦν χιτωνίσκον τοῦ λόγου τοῦτον ἀπογυμνώσαντος.

Γῆν δὲ τὶς ἄρα καὶ ἀμφισβητοίη, ὡς οὐ κατὰ φύσιν τῷ μέλανι κέχρωσται· κατ' ἔθνη καὶ τόπων ἐξαλλαγὰς καὶ μετάλλων συνεξαλλαττόμενα οἱ γινώσκων τὰ χρώματα· ὡς πῇ μὲν σιδηρίτην εἶναι· πῇ δὲ χρυσίτην· καὶ ἀλλαχοῦ ἀργυρίτην· καὶ τὸ ὅλον φάναι παντοδαπήν· βούλει καὶ τὴν γῆν ἀποδῦσαι ὃ περιέθου ταύτην μέλαν χιτώνιον; ἢ ἡμεῖς γε τῇ τοῦ λόγου μαχαίρᾳ φθάσαντες αὐτὸ περιῤῥήξομεν; ἀποδύσεις γε πάντως αὐτός· τί γὰρ καὶ πεπαρωνηκυῖα ἡ παμμήτωρ μελαμφορήσει.

Ἀλλὰ τί μοι τούτων τῶν λόγων; τί δὲ πόῤῥωθεν καὶ ἐξ αἴθερος ἕλκω τὰς ἀποδείξεις· καὶ ὅλους Ἄθως καὶ Παρνασοὺς ἐπικυλινδῶ τῇ γραφῇ· καὶ θαλάσσας ὅλας ἐποχετεύω τῷ λόγῳ· καὶ τυραννῶ τὰ στοιχεῖα τῇ μαρτυρίᾳ· ἐξὸν αὐτόθεν

[b] Sic Cod.

δεῖξαι τὴν τῶν χρωμάτων τούτων διαφορότητα· ὁπηνίκα γὰρ ἀκμάζει τε ἡ καθ' ἡμᾶς φύσις, καὶ τὸν νεανίσκον ἢ τὸν μείρακα παραλλάττομεν· πυῤῥὰ μὲν ὡς τὰ πολλὰ ἡμῖν ἡ κόμη, πυῤῥὸν δὲ τὸ γένειον· ἔρευθος δὲ κύκλῳ περιγράφει τὴν παρειάν· καὶ βάπτεται τὸ χεῖλος ἡλίκῃ· καὶ ὅσῃ πρὸς κάλλος τῇ τοῦ κοκκίνου βαφῇ· καὶ ὅλως ἄγαλμά τι πάγκαλον τυγχάνομεν ἄνθρωποι· ὁπηνίκα δὲ ἥ τε φύσις γηράσοι, καὶ συγγηράσοι τὸ ζῶον, λευκαὶ μὲν, κατὰ τὸν εἰπόντα, περὶ κροτάφοισιν ἔθειραι· τὴν μέλαιναν κῆρα τοῦ θανάτου προμαντευόμεναι· λευκὸν δὲ καθεῖται μέχρι καὶ γονάτων τὸ γένειον· λευκὴ δὲ καὶ ταῖς ῥισὶν ἐπιμυρμύρεται κόρυζα· λευκὸς δὲ καὶ τὰ χείλη περικάθηται σίελος· καὶ ὦχρα περιπλανᾶται τὴν παρειάν· καὶ ὅλως ἀσθένημα φύσεως ὁ λόγος παρίστησι τὴν λευκότητα.

Ταυτὸν οἶμαι τούτῳ καὶ ἐπ' ἀσταχύων ἐστὶν ἰδεῖν· ἐπὶ μὲν γὰρ αὐτῆς τῆς ἀκμῆς καὶ τῆς ἥβης, τοὺς στάχεις ἡ φύσις τῷ πρασίνῳ κατακοσμεῖ· ὅταν δὲ ἀσθενήσωσί τε καὶ ξηράνθωσι παντάπασι, τοῦ τρέφοντος ἅπαντος ἐξικμασθέντος ὑγροῦ, τότε δῆτα καὶ λευκανθίζουσι, καὶ τὸν θερισμὸν ὡς θάνατον ἀπεκδέχονται· καὶ ἵνα τὰ λοιπὰ παρεάσω, ὅσα ἐν φυτοῖς καὶ βοτάναις καὶ δένδρεσι, ἠρύθρωταί τε καὶ περιπρασίνωται, καὶ ὥρα λειμώνων γίνεται· ἔτι δὲ ὅσα ἐν σμαράγδοις καὶ λυχνίταις, λίθοι δὲ οὗτοι τῶν πολυτίμων· ἐπειδὴ τούτοις τὸ ζωογόνον αἷμα καὶ τῆς ὅλης ἡμῶν ξυστατικὸν φύσεως, τίς οὐκ οἶδεν κεφαλὴν μὲν οἰκουμένης τοὺς βασιλέας, παράσημον δὲ βασιλέων τὴν πορφυρίδα; ἢ πυνθάνομαι σοῦ, καί μοι ἀπόκριναι· ποτὲ πλέον τῆς γῆς ἀποδέχῃ τὴν ἐπιφάνειαν, καὶ εὐχρουστέραν εἶναι τίθῃς, ὁπηνίκα τῇ χίονι λευκαίνηται, ἢ ὁπηνίκα πεπρασίνωται ταῖς βοτάναις; οὐκ ἂν οἶμαι τὸ πρῶτον ἐρεῖς· εἰ μὴ ἐπιτοσοῦτον λημᾷ σοι τὸ ὀπτικὸν τῆς ψυχῆς, ὡς καὶ τῆς καλλίστης ὡρῶν ἔαρος ὑπερθεῖναι τὴν κακίστην χειμῶνα.

Οὕτω μὲν ἡμῖν περὶ τούτων εἴρηταί τε καὶ ἀποπέφανται· καὶ ὀρθῶς ἴσως· σὺ δ' οὐκ οἶδ' ὅτι παθὼν, ὦ ἄνθρωπε· τότε φοινικοῦν διαβάλλειν ἐπικεχείρηκας, οἷς ἐκ τοῦ φόνου ἠτυμολόγηκας· μὴ εἰδὼς ὅτι δύναταί τις καὶ ἀντετυμολογεῖν αὐτὸ ἐκ τοῦ

φαίνειν· διὰ τὸ φανότατον τῆς μορφῆς· καὶ τὸν ὅλον λόγον κατεμετάλλευσας· καὶ οὐ μόνος σὺ περὶ τὸ ἔργον ἠνέσχου πονεῖσθαι· ἀλλὰ δὴ καὶ τὸν ἐξ Ἄσκρης *σοφὸν γέροντα, ἄνδρα πρὸ μυρίων ἤδη που τῶν ἐτῶν ἄϊδος δὲ κατ' αὐτὸν ἐκεῖνον βεβῶτα, δι' ὁποίας οὐκ οἶδα νεκυίας ἀνεστακὼς, ξυνεργὸν παραλαμβάνεις τῇ μετὰ μοχθηρῷ γε πράγματι· ἀλλ' εἰπέ μοι, ὦ μεταλλουργῶν γενναιότατε, πῶς ποτε τὸ λευκὸν προθέμενος ἐπαινεῖν καὶ τὸ μέλαν, οὐκ οἶδα γὰρ ὅπως ἀντὶ κυανέου τῷ μέλανι κέχρησαι, ἐκεῖνο τῶν* Ἡσιόδου *προσαγήοχας εἰς μαρτυρίαν τοῦ λόγου· ἔνθα τὰς τῶν παλαιγενῶν ποιότητας ὁ σοφὸς ταῖς ἀπὸ γῆς ταύταις ὕλαις τῷ χρυσῷ, καὶ τῷ ἀργυρῷ, καὶ τοῖς ἄλλοις ἀπείκασε· καὶ τὸ λευκὸν ἀποσεμνύειν ἔφης τὸν ποιητὴν, οἷς ἀποσεμνύει τὸν ἄργυρον· καὶ μὴν εἰ ταῦτα τοιαῦτα, τί μὴ τοῦ λευκοῦ μᾶλλον τὸ ὠχρὸν ἐπαινεῖς; τοῦ γὰρ ἀργυροῦ τὸν χρυσὸν ὁ ποιητὴς ὑπερτίθησιν, ὠχρόν γε ὄντα· τί δὲ καὶ τὸ μέλαν ξυνεπαινῶν, τὸ ἑξῆς τοῦ ἔπους ἀπεσιώπησας· ὅπου τὸ μέλαν σιδήρεον γένος ἐπὶ τοσοῦτον αὐτὸς διαβάλλει, καὶ πονηρὸν εἶναι τίθεται· ὡς καὶ τοῦτο προαχθῆναι φάναι περὶ αὐτοῦ·*

μηκέτ' ἔπειτ' ὤφελλον ἐγὼ πέμπτοισι μετεῖναι
ἄνδρασιν· ἀλλ' ἢ πρόσθε θανεῖν, ἢ ἔπειτα γενέσθαι· (Opp. I. 172.)

ἢ τίς, εἰπέ μοι, ἡ ἀποκλήρωσις, τοῦ μὲν ἀργυρέου γένους εὐφημουμένου, συνευφημεῖσθαι λέγειν καὶ τὸ λευκόν· τοῦ δὲ σιδηρέου βλασφημουμένου, μὴ καὶ τὸ μέλαν συμβλασφημεῖσθαι; ταῦτά μοι ὡς οἷόν τε περὶ τῶν τοιούτων ἐῤῥέθη· εἰ δὲ καὶ τῷ σοφῷ μὴ κατὰ γνωμὴν ἐῤῥέθη Καίσαρι, *συγγνώμη τῷ λόγῳ· δυοῖν ὄντοιν φίλοιν προτιμήσαντι τὴν ἀλήθειαν, ἣν καὶ αὐτὸς ἐν ἅπασι τῶν ἁπάντων τιμᾶται.*

* * * * * *

* * * * * *

[b]ΜΑΡΣΥΑΝ δὲ εἴτις ἤρετο τὸν αὐλητὴν, πότερα, ὦ φίλε Μαρσύα, ἄκρος φὴς εἶναι τὴν αὐλητικὴν ἐπιστήμην; ὁ δὲ καὶ πάνυ μὲν οὖν ἔφην, ὦ ἄνθρωπε, ὡς καὶ Ἀπόλλωνι ποτὲ περὶ ταύτης διαμιλλήσασθαι· καὶ ὃς, μανθάνω μὲν καὶ ταῦτα, εἶπεν, ὦ Μαρσύα ὡς διαμιλληθείης ποτὲ περὶ μουσικῆς τῷ ἀκερσεκόμῃ· καὶ ὡς αἱ Μοῦσαι ἀμφοῖν κατακούσασαι τῷ θεῷ τὴν νίκην ἐπιψηφίσαιντο· τά τε δὴ ἄλλα τῆς ἱστορίας ἀκούω καὶ τὰς ἐπενεχθείσας σοι παρὰ τοῦ Ἀπόλλω πληγάς· καὶ ὡς ἐντεῦθεν ἀπὸ τῶν αἱμάτων γένοιτο ποταμὸς, καὶ ἀπὸ σοῦ παρονομασθείη· εἰ δὲ μὴ λόγος ἄλλως ταῦτα, μὴ δὲ φιλοτιμία ποιητικὴ, ἄγε μοι τουτονὶ τὸν αὐλὸν ἀνελόμενος, ἔνδειξαι· καὶ ἅμά οἱ παρὰ ταῖς χερσὶν ἐτίθει τὸ ὄργανον· ἀπεδεχόμεθα ἂν τοῦ ἀνθρώπου, εἰ οὕτως ἀκριβολογοῖτο τὸν αὐλητήν; κἂν τις μὴ ῥᾳδίως μὲν τὰ κατὰ τὸν ἐκ Μηθύμνης κιθαρῳδὸν παρεδέχετο· τὸ ᾆσμα ἐκεῖνο, καὶ τὸν δελφῖνα ἐκεῖνον, καὶ τὴν καινὴν ἐφ' ὑγρῷ ἱππασίαν· ἀλλὰ κἀκείνου μὴ ἂν ἄλλως ἔχειν τὸν λόγον διαμαρτυρομένου· σεμνὰ μέν σοι καὶ ταῦτα, ὦ Ἀρίων, ἔλεγεν· ἐγὼ δὲ οὐκ οἶδ' ὅπως τῷ λόγῳ πιστεύειν οὐχ οἷός τέ εἰμι· εἰ μὴ πρότερον ἐναψάμενος τὴν κιθάραν, τοιοῦτον ᾄσαις ὁποῖον ἐπὶ τῆς πρώρας τὸ τηνικαῦτα.

Εἰ δὴ ταῦτα ἐκεῖνος ἀπῄτει, παρὰ θύρας ἂν οὐκ ἀπαντᾶν ἐδόκει τῇ ἀληθείᾳ· σοὶ δὲ γραμματικῷ δοῖμεν εἶναι, ὦ φίλ' ἑταῖρε, διότι σαυτῷ τὴν ἐπιστήμην ἐπιψηφίζῃ, μὴ δὲ ἀπαιτήσαιμεν ὁπωστιοῦν περὶ αὐτὴν ἐνεργήσαντα τὸ εὐδόκιμον ἐπιδείξασθαι; ἀλλὰ φατέον καὶ ἐπὶ σοὶ τὸ αὐτὸς ἔφα, καθάπερ

[b] Exstat quidem hujus opusculi titulus in Codice, sed ita evanida est scriptura ut legi prorsus nequit, nec apparet in apographo Cod. Bar. 187.

ἐπὶ τῷ Σαμίῳ πάλαι σοφῷ; καὶ μὴν εἰ ταῦτα τοιαῦτα, τί μὴ κἀκ τῶν ἄλλων ἐπιστημῶν καὶ τεχνῶν ἑαυτόν γε παρονομάζεις, καὶ μουσικὸν, καὶ ἰατρικὸν, καὶ γεωμέτρην, καὶ ἀστρονόμον; τί μὴ ὑποκρίνῃ τὸν Φρασιμήδη; τί μὴ Χαρώνδαν τὸν ἐκ Κατάνης; ὧν ὁ μὲν διήνεγκε τῶν λοιπῶν τὴν ἀγαλματοποιητικήν· ὁ δὲ τὴν Ἰταλίαν καὶ Σικελίαν οὐ μικρὰ ταῖς νομοθεσίαις ὠφέληκε· τί μὴ τὰ Θάλεως σφετερίζῃ τοῦ Μιλησίου[c], καὶ πρῶτος ὀνομάζῃ κατ' ἐκεῖνον σοφός; τά τε ἄλλα, καὶ ὅτι ψυχὴν ἐνέθηκε τῷ ἠλέκτρῳ καὶ τῇ μαγνητίδι· ἀλλὰ σὺ μὲν, μηδὲν ὑποστέλλου τῶν ἁπάντων, μὴ πρᾶγμα, μὴ ὄνομα· φάθι μόνον, καὶ φαίνου κατὰ τὴν φάσιν· ἢ μὴ δὲ τοῦτό τε· ἀλλ' ἐνθυμήθητι μόνον εἶναι τὰ πάντα· καὶ ἔσο τὰ πάντα.

Ἐγὼ δὲ τοσοῦτον οὐκ ἂν τῷ τοιούτῳ ξυνθείην δόγματι, ὡς οὐδὲ σκυτέα ῥᾳδίως οὐδένα εἴποιμ' ἂν, κἂν ἡ Διομήδειος ἀνάγκη μοι ἐπικέοιτο, ξίφει τὸ μετάφρενον πληττομένῳ· εἰ μὴ τὴν σμίλην εὐφυῶς ἀναλήψαιτο, καὶ τὸ κεντητήριον, καὶ τὸ ὑπόδημα εὖ διάθοιτο, καὶ τὴν ἀρβυλίδα τεχνηέντως ῥάψοι, καὶ τὸ βλαυτίον· τίς γάρ με συμπείσει λόγος, ὡς οὐκ Ἄνυτος μὲν Ἀριστείδην, Ἰσμηνίαν δὲ Δημόφιλος ὑποκρίνεται; ποῦ δὲ οἶδα εἰ ὑπὸ τῇ λεοντῇ καὶ πάλιν ὄνος ὀγκήσεται, καὶ ὁ μῦς γαλῆν ἐλέγξει, τὴν τέως νύμφην· καὶ φωνήσας ὁ κόραξ πονήσεται; ἢ πότε τὶς καὶ παρά τινι πυγμικὸς ἢ παλαιστρικὸς ὠνομάσθη, μὴ πὺξ ἀθλήσας, μὴ πάλην· μὴ ἐν Νεμέᾳ· μὴ ἐν Ἰσθμοῖ; πότε δὲ τὴν πίτυν ἢ τὸ σέλινον ἐκομίσατο; τὶς δὲ καὶ τὸν Θετταλὸν ἐστεφάνωσε Πολυδάμαντα, μὴ πρότερον ἐν παγκρατίῳ ἐπιδεξάμενον;

Οὐκ ἄρα οὐ δὲ σοὶ ἀποχρῶν ἔσται τὸ λέγειν εἶναι γραμματικῷ, εἰς ἔνδειξιν τοῦ εἶναι τοιούτῳ· μὴ καὶ δοκιμασθέντί γε πρότερον· τάχα γὰρ ἡ Λυδία ἐλέγξει τὸ κίβδηλον, καὶ τὸ νόθον ὁ Ῥῆνος, καὶ τὸν οὐκ ἀετιδέα ὁ ἥλιος· ἢ γοῦν ἀρνητέον σοι καὶ τὸ ὄνομα, ἢ τοῦτο μὴ ἀρνουμένῳ καταδεκτέον τὴν δοκιμήν· ὡς ἐγὼ βραχὺ τί σε καὶ τοῦτο τῶν ἐν προοιμίοις τῆς τέχνης κειμένων ἐρήσομαι· εἰπὲ γάρ μοι πῶς καὶ τέχνην ὁ τεχνώσας

c μελησίου Cod.

τίθεται τὴν γραμματικὴν, καὶ ἐμπειρίαν αὖθις ταύτην ὁρίζεται; πότερον δύο τίθῃς εἶναί μοι τὰς γραμματικὰς ἀτελεστέραν τε καὶ τελεωτέραν; καὶ τὴν μὲν ἐμπειρίαν· τὴν δὲ τέχνην ὀνομάζεσθαι ἀξιοῖς; ἢ καὶ ἄμφω δίδως κατὰ μιᾶς τὰ ὀνόματα, ὡς ταυτοῦ ὄντος τέχνης καὶ ἐμπειρίας· ἀλλὰ τέχνην μὲν καὶ ἐμπειρίαν οὔτε σὺ ταυτὸν οἶμαι θείης, οὔτ' ἐγώ σοι ξυνθείμην θεμένῳ, μέχρις ἂν Ἀριστοτέλους ἀκούω, ἐκ πολλῶν μὲν μνημῶν τὴν ἐμπειρίαν γεννῶντος, ἐκ δὲ ταύτης τὴν τέχνην προβάλλοντος.

Δέδοικα δὲ καὶ ἄλλως, μὴ ἀντιφάσει περιπεσοῦμαι, τὸ αὐτὸ καὶ μὴ ἔχειν λόγον καὶ ἔχειν τιθέμενος· εἴπερ ἄλογον μὲν τριβὴν τὴν ἐμπειρίαν εἰδὼς, καὶ Πλάτωνος δὲ ἀκούων, μὴ ἀξιοῦντος τέχνην καλεῖν ὃ ἂν ἄλογον ᾖ, ἔπειτα ἐμπειρίαν καὶ τέχνην ταυτίζοιμι· λείπεται δὴ γραμματικὰς δύο θέμενον, ἑκάτερον τῶν ὀνομάτων ἑκατέρᾳ προσάψαι· ἡ μὲν οὖν μία ἐστὶ καὶ παρ' ἡμῖν, ὦ θαυμάσιε, καὶ πόλυς ὁ ἐκ ταύτης παρωνομασμένος τῶν γραμματικῶν ὁρμαθός· τὴν δὲ ἄλλην εὑρίσκοις αὐτός· ἀλλ' οὐκ οἶμαι, κἂν μυρίον ἀνατλαίης τὸν κάματον· εἰ μή σοι φίλον οὕτω τὴν γραμματιστικὴν ὀνομάζειν.

Τί σιωπᾷς πρὸς ταῦτα, γραμματικέ· μὴ δὲ τὴν ἀπορίαν ἀπολύεις ὅτι ταχύ; βούλει σοι τοῦτο μὲν ξυγχωρήσομεν, ἑτέρον δέ τι προβαλώμεθα τῶν εὐπορωτέρων; πάνυ μὲν οὖν, εὖ οἶδ', ὅτι ἐρεῖς· οὐκοῦν ἀπόκριναί μοι, τὴν κόρυζαν ὀψὲ περιελόμενος τῆς ῥινὸς, πῶς ἐκ τοῦ ἐν ξένοις φονεύεσθαι τόποις ὁ Ξενοφῶν ἐτυμολογήθη τῷ παλαιῷ σου; πότερον γὰρ διότι κέκληται οὕτω, πεφόνευται· ἢ διότι πεφόνευται, κέκληται; εἰ μὲν τὸ πρῶτον, μισάνθρωποι οἵ τ' ἀνθρώπῳ τὸ ὄνομα θέμενοι, εἰ διὰ τοῦτο μέλλοι φονεύεσθαι ἐπ' ἀλλοδαπῆς· ἢ τοσαύτην ἑαυτοῖς τῶν ὀνομάτων πενίαν προσεμαρτύραντο, ὡς εἰακέναι μὲν τὸν Διομήδη, τὸν Φερεκύδη, τὸν Θεμιστοκλέα, τὸν Περικλέα, τὸν Ἀριστόδημον, τὸν Ἀλκίνοον, καὶ ὅσα ἄλλα τῶν ὀνομάτων σεμνὰ, ἐπὶ τὸ δυσφημότατον τοῦτο κατηντηκέναι τὸν Ξενοφῶντα· εἰ δὲ διότι πεφόνευται κέκληται, λανθάνει πρῶτον κτινύμενος, κᾆτα τικτόμενος, καὶ ὀνομαζόμενος· ἐγὼ δὲ καὶ Ξενο-

φῶντας μανθάνω πάνυ πολλοὺς, εἰ μὴ ὀνείρῳ τοῖς βιβλίοις ἐφίστημι· μήτε ἐπ' ἀλλοδαπῆς, μήτε βιαίως τὸ χρεὼν ἀπολελειτουργηκότας· ὥστε ἢ ἀφαιρετέον ἐκείνους τὸ ὄνομα, μὴ δὲ Ξενοφῶντας καλεῖσθαι ἀξιωτέον, ἵνα μὴ τὸν ἔτυμον καὶ ἀληθέα λόγον συμβῇ διαψεύδεσθαι· ἀλλὰ τῷ τεχνικῷ μὲν ἧττον ἂν διὰ ταῦτα καὶ ἐπιτιμητέον· τύπους γὰρ ὑποδεικνύειν μόνους ἐτυμολογιῶν καὶ ἐμφάσεις τούτῳ προέκειτο, οὐ μέντοι φιλοσοφεῖν περὶ τούτων τὰ τελεώτατα.

Σοὶ *δὲ, ὦ ἐμβρόντητε, οὐκ ἐπιτιμητέον μόνον ὀρθῶς, ἀλλὰ δὴ καὶ κονδύλοις κατὰ κόῤῥης ἐπιτριπτέον· οἷς τὸν μὲν γραμματικὸν ἐπιψηφίζεσθαι σαυτῷ, καὶ τὸ ἐν* Δωδώνῃ *χαλκεῖον ὑπερηχεῖς· πρὸς δέ μοι τὰς πεύσεις, πήλινος ἀντικρυς ἕστηκας ἀνδριάς· βούλει σου καὶ τρίτον πυθοίμεθα, ἢ καὶ πρὸς αὐτὸ ἀποσιωπήσεις οὐδὲν ἔλαττον· οὐ μενοῦν ἀλλ' ἐρώτα οἶμαι λέγει κατανεῦον σοῦ τὸ κρανίον· ἐπεὶ τοιγαροῦν σοὶ γὰρ καὶ τῶν ποιημάτων ἡ κρίσις· ταύτῃ γε μὴν καὶ τῶν ποιητῶν παρὰ τῆς γραμματικῆς ἐπιτέτραπται·* Ὁμήρου *ἀπεδέχῃ ποίησιν ἢ* Ἡσιόδου; *ἢ παρ' ἄμφω τὼ ἄνδρε ἄλλού του;* Ὁμήρου *εὖ οἶδ' ὅτι λέγεις, καὶ μετ' αὐτὸν* Ἡσιόδου· *εἰ μὴ παντάπασι καταψεύδομαί σου τῆς κεφαλῆς· καὶ εὖγε ποιεῖς τοὺς σοφωτάτους τῶν ἄλλων ὑπερτιθέμενος· ἆρα οὖν καὶ τοῖς τούτων ποιήμασιν ἐγγυμνάσαις τοὺς νέους; καὶ τοῦτο μόγις κατένευσας·* Πλάτων *δὲ ἄρα ὁ* Ἀθηναῖος *οὐκ οἶδ' ὅτι παθὼν, οὐ συμψηφὰ τῷ λόγῳ, οὐδὲ ἀδελφά σοι φρονεῖ· ὃς τοσοῦτον τῆς* Ὁμηρικῆς *κατέγνωκε* Καλλιόπης, *ὥστε καὶ τὸν εὖ προστησόμενον πόλεως, μὴ ἂν ἐντετράφθαι τῇ ῥαψῳδίᾳ νομοθετεῖ· εἰ μὴ μέλλοι πάσης εἴδωλα κακίας ἐντεῦθεν ἐνθέμενος τῇ ψυχῇ, ἔπειτα καὶ ἑαυτῷ καὶ τῇ πόλει κακῶν ἀναπεφάνθαι σωρός· ὡς οὔτ' ἂν ἀνδρείας οὔτ' ἀληθείας, οὔτε σωφροσύνης οὔτε ἐλευθεριότητος ἐξ ὄντων εἶναι ἄλλως ἐπιλαβέσθαι, εἰ μὴ παντάπασι τῶν* Ὁμήρου *ἀπόσχοιτο.*

Τί *δέ σοι καὶ ὁ ἐξ* Ἄσκρης *σοφός; πάνυ μὲν οὖν χρησιμώτατον εἶναι οἱ τὸ ἔπος ἐρεῖς· ἀλλ' οὐ τῷ γραμματικῷ γε ὦ λῷστε· τῷ ναυτιλλομένῳ δὲ πολὺ μάλιστα καὶ τῷ γεωργοῦντι·*

τί γάρ μοι εἰ δωρῶν μὲν τῶν σῶν δὲ ἡ ἅμαξα· τοίαδε δέ τις ἡ ὕννις· καὶ εἰ νῦν μὲν ἀμητέον· νῦν δὲ ἀροτέον· καὶ εἰ νῦν μὲν θετέον ὑπὲρ καπνοῦ τὸ πηδάλιον· νῦν δ' ἑλκτέον τὴν ναῦν εἰς τὴν θάλασσαν; εἰ μή τις τῶν ναυτιλλομένων εἴην καὶ γεωργούντων· ὀκνῶ γὰρ λέγειν ὡς οὐδὲ τοῖς τοιούτοις χρησιμεύσει τὰ Ἡσιόδεια· τοῦ μέτρου οἷον ἐπὶ προσθήματός τινος τοῖς ἀγροικοτέροις τὴν διδασκαλίαν ἐπικαλύπτοντος.

Ὁρᾷς, ὡς ἔσφαλταί σοι τὰ περὶ τὴν τῶν ποιημάτων κρίσιν, σοφώτατε· ὡς ἐγώγε, εἴ μοι βούλει τὸ οὖς ὑπέχειν ὁποσονοῦν, συμβουλευσαίμην ἂν σοι πινάκιον ἀνὰ χεῖρας λαβόντι, καὶ ἐς γραμματιστοῦ ἀπιόντι, τοῖς πρώτοις μὲν τὰ πρῶτα στοιχείοις προσβιβασθῆναι· εἶτα κλιμακηδὸν[d] τοῖς τελεωτέροις ἐπαναβαίνειν, ἄχρις ἂν τὴν τῆς γραμματικῆς καταλάβῃς ἀκρόπολιν· εἰ δὲ καὶ πόνων σοι ἀνίοντι δεήσει καὶ πόνων οὐ τῶν μετρίων ὑπέχειν κἀκείνοις μάλα γενναίως τοῦ οὗ ἕνεκα· γελοῖον γὰρ ἂν εἴη καὶ ἐπιεικῶς ἄλογον, σπουδὴν μὲν περὶ τὰ παικτὰ κατατίθεσθαι· περὶ δὲ τὰ σπουδαῖα μὴ οὐχὶ τοῦτο ποιεῖν· ἢ πύθου μοι τῶν ἐπὶ σκηνῆς ὁπόσον ὑπέχουσι τὸν ἀγῶνα, ὡς ἂν αὐτοῖς ῥαπιζόμεναι ψοφεῖν ἐθισθεῖεν αἱ παριαί· καὶ εἰ φωνὴ, νῦν μὲν τὸν θρηνοῦντα, νῦν δὲ τὸν ἀπειλοῦντα, ἐνίοτε δὲ τὸν ἀνιώμενον ὑποκρίνοιτο· τά τε σφυρὰ καὶ οἱ πόδες εὖ κατακλώμενοι καὶ καμπτόμενοι τῷ κόρδακι, καὶ τὴν ἄλλην διασκευάζοιεν ὄρχησιν· σὺ δ' ἀξιοῖς οὐδὲν προπεπονηκὼς, οὐ δὲ πολλοστὸν γοῦν τινα τῆς ἀρετῆς * * * τα βαλλόμενος κάματον, ἔπειθ' οἷον σπαρτός τις ἀναφῦναι τῷ βίῳ γραμματικός.

Καὶ μὴν οὐκ ἔδει σε, ὦ φιλότης, εἰς τοῦτο ἀτιμίας κατάγειν τὸν λόγον, ὡς τοῦ βούλεσθαι μόνου ὠνητέον εἶναι ποιεῖν· οὗ προπάροιθεν ἱδρῶτα ἔθεσαν, κατὰ τὸν σὸν Ἡσίοδον, οἱ θεοί· εἰ μή που καὶ σὲ κατὰ τοῦτον ἴσως τὸν ποιητὴν φαῖμεν ὑπὸ Μουσῶν σεσοφίσθαι· ἀλλ' ἐκεῖνον μὲν δαφνινῇ τῇ ῥάβδῳ αἱ Διὸς ἐσόφισαν θυγατέρες κατὰ τοὺς μύθους· σὲ δὲ δικαίως ἂν ἔπαισαν ἀδρᾷ καὶ ῥοϊνῇ ἀνόητον ὄντα· εἶτα τοιοῦτος ὢν, ὦ ἀνθρώπων ταλαιπωρότατα, καὶ διδασκαλεῖα φαντάζῃ, καὶ θρόνους

[d] κλιμακιδὸν Cod.

καὶ βήματα, καὶ ὁμαδόν τινα νεανίσκων οὐκ ἀγεννῶν· ὧν μὲν στοιχηδὸν, ἐκ παραλλήλου παρισταμένων· ἔστι δ' ὧν καὶ ἐπὶ σκιμποδίων καθιζημένων· καί τινας ἀναπλάττῃ μείρακας εὐπροσώπους, ἐξισταμένους σοι τῇ εἰσόδῳ ἅμα καὶ σίζοντας.

Τὰ μὲν οὖν ἄχρι τούτων, οὐκ ἀγεννῶς εὖ οἶδ' ὅτι τὸν διδάσκαλον ὑποκρίνοις· σεμνῶς τε γὰρ εἰσέλθῃς, καὶ προκαθίσεις λαμπρῶς· καὶ χαλάσεις μὲν τὴν ὑπήνην· χαλάσεις δὲ τὸν αὐχένα· καὶ σχηματίσῃ τὸν μεριμνῶντα· ἑκάτερα τῶν τοῦ θρόνου πλευρῶν τὴν πῆχυν ἐπερειδόμενος· ἀλλ' οὐ μέχρι τούτων ἡμῖν ὁ διδάσκαλος· ἀνοίξει δέ ποτε καὶ τὰ χείλη, καὶ τοῖς ἔργοις πιστώσεται τοὔνομα· οἷς μὲν, τοῦτο τοῦ λόγου ἐπιμετρῶν· οἷς δὲ ἄλλο, καὶ ἄλλοις ἕτερον· οὐ δὲ καιροῦ καλοῦντος εἰπεῖν· τί γ' ἂν καὶ φαίης ἀλογώτατος ὤν; καὶ ἄλλως δὲ οὐδὲ ἀβασανίστως οὕτω τίς σοι παράθοιτο τὸν υἱεά. οἴει γὰρ χύτραν μὲν ἐωνῆσθαι μέλλοντας, μὴ ἄλλως τοῦτο ποιεῖν, πρὶν ἂν καὶ ὀφθαλμῷ τὸν ὄστρακον ἱστορήσαιμεν καὶ περικρούσαιμεν τοῖς δακτύλοις; μήτι καὶ δύσηχον κατὰ τὰς οὐχ ὑγιαινούσας φθέγγηται· λόγῳ δὲ τὰ παιδία μέλλοντας ἐμβιβάζειν, μὴ οὐχὶ δεδοκιμασμένως τοῦτο ποιεῖν; καὶ τὸν μὲν πῶλον οὐκ ἀμαθεῖ πωλοδάμνῃ, ἀνοήτῳ δὲ τὸν παῖδα διδασκάλῳ παρατιθέναι; καὶ τῶν μὲν ἀνδραπόδων οὐ μικρὸν τίθεσθαι λόγον, εἴ πως ἀποξεσθεῖεν αὐτοῖς αἱ γλῶτται πρὸς τὸ Ἑλληνικώτερον, τῶν δὲ υἱῶν τὰς γλώττας καὶ τὰς ψυχὰς καταβαρβαροῦντας καὶ ἐξανδραποδίζοντας, τῶν εὐκαταφρονήτων ἡγεῖσθαι τὸ πρᾶγμα;

Οὐκ οὕτως ἀνοηταίνουσιν οἱ ἄνθρωποι· οὐχ οὕτως ὁ Πηλεὺς Μελιτίδης, ὡς ἀντὶ Χείρωνος χοίρῳ τὸν ἑαυτοῦ ἐμπιστεύσασθαι Ἀχιλλέα· οὐχ οὕτω Κόροιβος ὁ Ἀλέξανδρος, ὡς τῷ παντάπασιν ἀτελεῖ ἀντ' Ἀριστοτέλους μαθητιᾶν. ἀλλὰ σὺ μὲν ὕδωρ καὶ γαῖα γένοιο κατὰ τὸν σὸν ποιητὴν, εἰ μὴ ἐξ ἀμφοῖν γε ἤδη πεφύρασαι, πήλινος ὢν τὰ γραμματικά· ἡμεῖς δέ σε παρέντες, ὡς ἂν ἐθέλεις διανοεῖσθαι περὶ σαυτοῦ, ἄλλον ἐντεῦθεν κόσμον ἀείσομεν.

ΗΡΩΔΙΑΝΟΥ

ΠΕΡΙ

ΠΑΡΑΓΩΓΩΝ ΓΕΝΙΚΩΝ ΑΠΟ ΔΙΑΛΕΚΤΩΝ.

[a] ΑΙ Θετταλικαὶ γενικαὶ εἰ μὲν ἀπὸ περισπωμένων κοινῶν γενικῶν ὦσι προπερισπῶνται· οἷον· καλοῖο, σοφοῖο· ἀπὸ δὲ βαρυτόνων, προπαροξύνονται. οἷον, Πριάμοιο, φίλοιο.

Ἀπὸ Ἀττικῶν γενικῶν κατὰ πλεονασμὸν τοῦ ο γινόμεναι, εἰ μὲν ἀπὸ ὀξυτόνων γενικῶν ὦσι, προπερισπῶνται· οἷον, Πετέω, Πετῶο· στερέω, στερῶο· Ταλάω, Ταλῶο· εἰ δὲ ἀπὸ βαρυτόνων προπαροξύνονται· οἷον, τοῦ Μίνω, τοῦ Μίνωο· τοῦ Ἀνδρογέω, τοῦ Ἀνδρογέωο. τοῦ τόνου καταλεχθέντος, διὰ τὸ μὴ δύνασθαι πρὸ τριῶν συλλαβῶν πίπτειν τόνον.

Αἱ διὰ τοῦ εω Ἰωνικαὶ γενικαὶ, εἰ μὲν ἀπὸ βαρυτόνων γενικῶν κοινωνοῦσι, προπαροξύνονται· οἷον, Ἀτρείδεω, Ὀρεστέω· ἀπαθεῖς δηλονότι οὖσαι· πάσχουσαι δὲ, πρὸ μιᾶς ἔχουσι τὸν τόνον· Ἑρμείου, Ἑρμειέω, καὶ ἐν συγκοπῇ Ἑρμείω·

Ἥρης, Ἑρμείωτε καὶ Ἡφαίστοιο ἄνακτος· (Il. O. 214.)

εἰ δὲ ἀπὸ περισπωμένων τινῶν γενικῶν ὦσι, παροξύνονται· αὐλητοῦ, αὐλητέω· Καυσοῦ, Καυσέω· ὄνομα κύριον.

Αἱ διὰ τοῦ αω, ἀπὸ μὲν βαρυτόνων, βαρύνονται· ἀπὸ δὲ περισπωμένων, περισπῶνται· Ἀτρείδου, Ἀτρείδαο· ἀργέστου, ἀργέσταο.

Τὸ μὲν προσηγορικὸν συστέλλει τὸ α· καὶ διὰ καθαροῦ τοῦ ος κλίνεται· τὸ δὲ κυρίως ἐκτεταμένον ἔχει τὸ α, ὡς ἰσοσυλλάβως κλίνονται κατ' ἀποβολὴν τοῦ σ· οἷον λάα· ὡς κλίνεται τὸ μέγας· τὸ μὲν κυρίως ἐκτεταμένον ἔχει τὸ α· καὶ ἀποβολῇ τοῦ σ ποιεῖ τὴν γενικήν· οἷον ὁ μέγας, τοῦ μέγα· τὸ δὲ ἐπίθετον συστέλλει τὸ α· καὶ ὀφείλει διὰ καθαροῦ τοῦ ος κλιθῆναι, οἷον τοῦ μέγαος, ἀλλὰ γίνεται ἑτερόκλιτον, καὶ κλίνεται τοῦ μεγάλου.

Διατὶ εἶπεν ὁ τεχνικὸς πᾶσα γενικὴ εἰς ος λήγουσα τροπῇ τοῦ ος εἰς ι τὴν δοτικὴν ποιεῖ; ἄτοπον γάρ ἐστι τὰ σύμφωνα εἰς φωνήεντα τρέπεσθαι. Ἰστέον ὅτι ἡ τροπὴ πενταχῶς γίνεται· ἔστι γὰρ τροπὴ κατὰ πάθος· ὡς ἐπὶ τοῦ ἐλαφοβόλος,

[a] Cf. quæ ex Chœrobosc. habet Bekker. Anecd. Gr. p. 1223. et seq.

ἐλαφηβόλος· ἔστι τροπὴ κατὰ παραγωγὴν, ὡς ἐπὶ τοῦ νέμω νόμος, λέγω λόγος· ἔστι τροπὴ κατὰ διάλεκτον, ὡς ἐπὶ τοῦ ὄναρος ὄνειρος Αἰολικῶς· ἔστι τροπὴ κατὰ πάθος, ὡς ἐπὶ τοῦ ἐλαιάφυτον[b], ἐλαιόφυτον. ἔστι τροπὴ κατὰ κλίσιν, ὡς ἐπὶ τοῦ Αἴαντος, Αἴαντι· τροπῇ οὖν κλισέως καὶ τὰ φωνήεντα εἰς σύμφωνα τρέπονται· καὶ τὰ σύμφωνα εἰς φωνήεντα· καὶ τούτου χάριν εἶπε τροπῇ τοῦ ος εἰς ι.

Διατί ἐν τοῖς δυικοῖς συνεζευγμέναι εἰσὶν αἱ πτώσεις, ἐν δὲ τοῖς πληθυντικοῖς οὐκ ἐστί; ἐπειδὴ δυικὰ τὰ δύο πρόσωπα σημαίνουσι· καὶ τούτου χάριν δύο πτώσεις ἐν μιᾷ φωνῇ ζητοῦσι· τὰ δὲ πληθυντικὰ πολλὰ πρόσωπα σημαίνουσι, καὶ οὐ δύνανται εἶναι συνεζευγμένα.

Διατί ἐν τοῖς δυικοῖς ἡ εὐθεῖα μετὰ αἰτιατικῆς συνεζεύγνυται· ἡ δὲ γενικὴ μετὰ δοτικῆς; ἐπειδὴ συγγένειαν ἔχει ἡ αἰτιατικὴ πρὸς τὴν εὐθεῖαν· καὶ ἡ δοτικὴ πρὸς τὴν γενικήν· ἐπεὶ καὶ τὸν αὐτὸν τονον ἀνεδέξατο· οἷον, ὁ ἄνομος, τὸν ἄνομον· τοῦ ἀνόμου, τῷ ἀνόμῳ.

Διατί ἐπὶ μὲν τῶν δυικῶν καὶ τῶν πληθυντικῶν, ἡ αὐτή ἐστιν ὀρθὴ καὶ κλητική· ἐν δὲ τοῖς ἑνικοῖς, οὐκ ἐστί; ἐπειδὴ τῆς γενικῆς μήτηρ ἐστὶν ἡ εὐθεῖα, ἡ δὲ γενικὴ τῶν ἄλλων ἐστὶ μήτηρ· ἐπεὶ οὖν ἐν τοῖς δυικοῖς καὶ τοῖς πληθυντικοῖς ἡ γενικὴ εἰς ν λήγει, διὰ τοῦτο ἡ αὐτή ἐστιν ὀρθὴ καὶ κλητική· ἐν δὲ τοῖς ἑνικοῖς ἡ γενικὴ διάφοραν τελικὰν ἔχει· ποτὲ γὰρ τὸ σ· ποτὲ δὲ τὸ υ· ποτὲ δὲ τὸ α· διὰ τοῦτο οὐκ ἀεί ἐστιν ὀρθὴ καὶ κλητική.

Διατί οὐ κλίνομεν ὁ κοχλίας, τοῦ κοχλίω, ἀλλὰ τοῦ κοχλίου; ἐπειδὴ πᾶσα γενικὴ ἰσοσυλλάβως κλινομενὴ μακροκαταληκτεῖσθαι θέλει· ὡς κλίνει ἑκάστη διάλεκτος τὸ Αἰνείας· οἱ μὲν Δωριεῖς, Αἰνείας, Αἰνεῖα κλίνουσιν· οἱ δὲ Βοιωτοὶ, Αἰνείας, Αἰνείαο· οἱ δὲ Ἴωνες, Αἰνείας, Αἰνείεω· οἱ δὲ κοινοὶ, Αἰνείας, Αἰνείου.

Διατί Αἰνείας μακρὸν ἔχει τὸ α; ἐπειδὴ πᾶσα γενικὴ ὀνόματος εἰς φωνῆεν λήγουσα καὶ περιττοσυλλαβοῦσα τῆς ἰδίας εὐθείας, ἢ ἐκτείνει τὴν παραλήγουσαν καὶ συστέλλει τὴν λήγουσαν, οἷον καλοῖο, σοφοῖο· ἢ συστέλλει τὴν παραλήγουσαν,

[b] ἐλοιάφυτον Cod.

καὶ ἐκτείνει τὴν λήγουσαν· οἷον, Ἀτρειδέω, Πηλειδέω, Πριαμιδέω· *εἰ μὲν οὖν τὸ* Αἰνείαο *οὐκ ἐξέτεινε τὴν τελευταίαν συλλαβὴν, ἀνάγκη τὴν παραλήγουσαν ἐκτεῖναι.*

Διατί μὴ προσγράφωμεν τὸ ι ἐν τῇ εὐθείᾳ τῶν δυικῶν; διὰ τὸ μὴ εὑρίσκεσθαι ἐν τοῖς δυικοῖς ἄλλο τελικὸν, πλὴν τοῦ α καὶ ε· καὶ ω· καὶ η· τούτου χάριν οὐκ ἔχει τὸ ἀνεκφώνητον ι τῆς δοτικῆς· ἐπεὶ ἔμελλε λέγεσθαι καὶ τὸ ι τελικὸν τῆς εὐθείας τῶν δυικῶν.

Τί *ἐστὶ συγκοπή; καὶ τὶ ἀποκοπή; καὶ τὶ ἀφαίρεσις· συγκοπὴ ἐστὶ πάθος περὶ τὸ μέσον γινόμενον· οἷον ἐξαίρετος, ἔξαιτος· ἁρμόσαντες, ἅρσαντες. ἀποκοπὴ δὲ, πάθος ἐν τῷ τέλει γινόμενον· οἷον, ἱδρῶτα, ἱδρῶ· δῶμα, δῶ· ἀφαίρεσις δὲ, πάθος ἐν τῇ ἀρχούσῃ· οἷον σῦς, ὗς· λείβω, εἴβω· γαῖα, αἶα.*

Ὁ Γρᾶς *τοῦ* Γρᾶ *πόθεν; ὁ κανών· τὰ εἰς ας μονοσύλλαβα περισπώμενα κοινὰ, μὴ ἔχοντα οὐδέτερον, ἀποβολῇ τοῦ σ ποιεῖ τὴν γενικήν· οἷον, ὁ λᾶς, τοῦ λᾶ· ὁ* Δᾶς, *τοῦ* Δᾶ, *ὄνομα ποταμοῦ· ὁ* Θᾶς, *τοῦ* Θᾶ· *ὁ* Χνᾶς, *τοῦ* Χνᾶ· *ὁ πᾶς, τοῦ πᾶ· σημαίνει δὲ τὸν πατέρα. εἰ δὲ ὀξύνονται, περιττοσυλλάβως κλίνονται· οἷον, ὁ* Ζὰς, *τοῦ* Ζάντος· Πρὰς, Πράντος· *φὰς, φάντος· φθὰς, φθάντος· κρὰς, κράντος· ταῦτα δὲ ὀξύνθησαν ὡς μετοχικά.*

Ὁ *δρῆς, τοῦ δρῆ, πόθεν; ὁ κανών· τὰ εἰς ης μονοσύλλαβα, εἰ μὲν περισπῶνται, ἀποβολῇ τοῦ σ ποιεῖ τὴν γενικήν· οἷον, ὁ τρῆς, τοῦ τρῆ, ὁ δρῆς, τοῦ δρῆ· εἰ δὲ ὀξύνεται, διὰ τοῦ σ κλίνεται· οἷον, σὴς, σητός· βλὴς, βλητός· γνὴς, γνητός·* Κρὴς, Κρητός.

Διατί μὴ κλίνωμεν ὁ δρῆς, τοῦ δροῦ· καὶ ὁ τρῆς, τοῦ τροῦ· ὡς ὁ Ἑρμῆς, *τοῦ* Ἑρμοῦ; *ἐπειδὴ πᾶσα μονοσύλλαβος εὐθεῖα ἰσοσυλλάβως κλινομένη, ἀποβολῇ τοῦ σ ποιεῖ τὴν γενικὴν, οἷον ὁ* Γρᾶς, *τοῦ* Γρᾶ· *ὁ* Χνᾶς, *τοῦ* Χνᾶ· *ὁ ῥοῦς, τοῦ ῥοῦ· οὕτως οὖν καὶ ὁ δρῆς, τοῦ δρῆ.*

Πῶς *κλίνεται τὸ μύκης; μύκου καὶ μύκητος· καὶ πόσα σημαίνει; τέσσερα· τὰ κάρβουνα τὰ ἐπικείμενα τοῖς λύχνοις, ὡς παρὰ* Καλλιμάχῳ Ἑκάλῃ[f].

ὥς ποτε λύχνος
δαιόμενος πυρόεντες ἄδην ἐγένοντο μυκῆτες·

[f] Ἑκαβῃ Cod.

καὶ τοὺς ἀμανίτας τοὺς περὶ τὰ δένδρα γινομένους, ὡς παρὰ Ἀντιμάχῳ·

φάγε δ' ὀπτὰ μύκητας
πριννίνους—

καὶ τὸ μέρος τῆς λαβῆς τοῦ ξίφους ἔνθα κρατεῖ τίς· σημαίνει δὲ καὶ τὸ αἰδοῖον τοῦ ἀνδρός· ὅπερ καὶ ἰσοσυλλάβως ἔκλινεν ὁ Ἀρχίλοχος[g], εἰπὼν,

ἀλλ' ἀπεθρῶσι μυκέω[h].

Σαφὴς, τοῦ σαφοῦς πόθεν; ὁ κανών· τὰ εἰς σ λήγοντα ἔχοντα οὐδέτερον εἰς ες, εἰς ους ἔχει τὴν γενικὴν, κ'ἂν βαρύτονα, κ'ἂν ὀξύτονα· κ'ἂν ἁπλᾶ, κ'ἂν σύνθετα· οἷον σαφὴς, σαφοῦς, σαφὲς, καὶ τὰ ὅμοια.

Πῶς κλίνεται τὰ εἰς ης περισπώμενα; εἰ μὲν εἰσὶ παρὰ τὸ κλέος, εἰς ους ἔχει τὴν γενικήν· οἷον Σοφοκλῆς, Σοφοκλοῦς· Περικλῆς, Περικλοῦς· Ἡρακλῆς, Ἡρακλοῦς· εἰδὲ ὦσιν ἀπὸ συναιρέσεως τῶν εἰς ης, εἰς ου ἔχει τὴν γενικήν· οἷον Θαλῆς, Θαλοῦ· Ἑρμῆς, Ἑρμοῦ.

Διατὶ τὸ Κράτης Κράτητος, ἔχον ἐν τῇ εὐθείᾳ τὸ τ, εἰς τος ἔχει τὴν γενικήν· ἐπειδὴ τὸ τ ἀπὸ τοῦ ἐνεστῶτος ἔχει· τὰ γὰρ εἰς ης ἰαμβικὰ ἔχοντα τὸ σύμφωνον τοῦ ἐνεστῶτος, εἰς τος ἔχουσι τὴν γενικήν· οἷον, χαίρω, χάρις, χάριτος· λείβω, λέβης, λέβητος· τρέμω, τρόμης, τρόμητος· οὕτως οὖν καὶ κρατῶ, Κράτης, Κράτητος· καὶ πῶς τὸ θύτης καὶ πλύτης οὐκ ἔχουσι τὴν γενικὴν εἰς τος; ἐπειδὴ οὐκ ἔχουσιν ἀπὸ τοῦ ἐνεστῶτος τὸ τ· ὁ γὰρ ἐνεστὼς, θύω καὶ πλύνω ἐστί· καὶ διὰ τοῦτο οὐκ ἠκολούθησε τῇ κλίσει τοῦ Κράτητος.

Ποσαχῶς κλίνεται τὸ Κόμης; διχῶς. κλίνεται γὰρ ὁ Κόμης τοῦ Κόμου, ἐξ οὗ καὶ Κόμεω Ἰωνικῶς· ὥσπερ Ἀτρείδης, Ἀτρείδου, Ἀτρείδεω· κλίνεται δὲ καὶ διὰ τοῦ τος· ἐπὶ τῆς ἀξίας τῷ λόγῳ τῶν ἰάμβων· οἷον ὁ Κόμης, τοῦ Κόμητος· Κόμης, Κόμου· πόθεν; ὁ κανών· τὰ ἀπὸ τῶν εἰς η θηλυκῶν εἰς ης γινόμενα βαρύτονα μὴ ἔχοντα οὐδέτερον εἰς ες, εἰς ου ἔχει τὴν γενικήν· οἷον

g Ἀντίλοχος Cod. h Bekker. Anecd. Gr. in Ind. p. 1399. hæc attulit ex Chœrobosc. ad Theodos. f. 90. qui secundum frag. non Antimacho sed Aristophani assignat.

λέσχη, Λέσχης, Λέσχου· γυνὴ, μισογύνης, μισογύνου· οὕτως οὖν καὶ τὸ Κόμη, Κόμης, Κόμου. τὸ δὲ Κόμητος ἐπὶ τῆς ἀξίας τῷ λόγῳ τῷ ἰαμβικῷ ἐπηκολούθησε. Καὶ διατί οὐ γράφεται τὸ Λάχης, Λάχητος διὰ τοῦ ι; ἐπειδὴ οὐδέποτε ἀρσενικὴ γενικὴ διὰ τοῦ τος κλινομένη τῷ ι παραλήγεται· οἷον λέβητος· Δάρητος· πρόσκειται ἀρσενικὴ, διὰ τὰ παρὰ Δωριεῦσι θηλυκά· τὸ γὰρ θέμις, θέμιτος λέγουσιν· ὅθεν παρὰ τῷ ποιητῇ,

Ζεὺς δὲ Θέμιστα[k] κέλευσε (Il. Υ. 4.)

κατὰ πλεονασμὸν τοῦ σ.

Γράδης· Γράδου· πόθεν; ὁ κανών· τὰ εἰς ης πατρωνυμικὰ, ἢ καὶ τύπου πατρωνυμικοῦ ὄντα, εἰς ου ἔχει τὴν γενικήν· πατρωνυμικὰ μὲν, οἷον, Ἀτρείδης, Ἀτρείδου· Πηλείδης, Πηλείδου· τύπου δὲ πατρωνυμικοῦ, οἷον, Εὐριπίδης, Εὐριπίδου· Θουκυδίδης, Θουκυδίδου· Ἡρώδης, Ἡρώδου· τὸ δὲ Γράδης, πατρωνυμικόν ἐστι· τὸν γὰρ υἱὸν τοῦ Γρᾶ σημαίνει. Καὶ τί διαφέρει τὰ πατρωνυμικὰ τοῦ τύπου τῶν πατρωνυμικῶν; διαφέρουσιν ἀλλήλων, ὅτι τὰ πατρωνυμικὰ εἰς τὸ υἱὸς καὶ ἔγγονος διαλύονται· οἷον ὁ Ἀτρείδης, ὁ υἱὸς τοῦ Ἀτρέος. Αἰακίδης, ὁ ἔγγονος τοῦ Αἰακοῦ. τὰ δὲ τύπου πατρωνυμικοῦ ὄντα, οὐ διαλύονται εἰς υἱοὺς καὶ ἐγγόνους· οἷον Ἡρώδης· Θουκυδίδης. ταῦτα γὰρ οὐ σημαίνουσι τινὸς υἱὸν ἢ ἔγγονον· ἀλλ' ὀνόματα εἰσὶ κύρια.

Χαλκοκρὰς, χαλκοκράτος, πόθεν; ὁ κανών· τὰ εἰς σ λήγοντα ὀξύτονα ὄντα, σύνθετα ἀπὸ παρακειμένου, καὶ φυλάττοντα μίαν συλλαβὴν αὐτοῦ τοῦ παρακειμένου, κ'ἂν εἰς ας, κἂν εἰς ης, κ'ἂν εἰς ως, διὰ καθαροῦ τοῦ τος κλίνεται· οἷον κέκραται, χαλκοκράς· ἐστὶ δὲ ὁ χαλκοῦ κεκερασμένος· βέβληται, ἀβλής· πέπτωκα, ἀπτώς· τέτρωται, ἀτρὼς, ὁ ἄτρωτος.

Ἀργὴς, ἀργῆτος, πόθεν; ὁ κανών· τὰ εἰς γης λήγοντα, ἔχοντα πρὸ τοῦ γ τὸ σ ἢ τὸ ρ, διὰ τοῦ τος κλίνονται· οἷον Μίσγης, Μίσγητος· Μόργης, Μόργητος· Μίργης, Μίργητος· σεσημείωται τὸ ἄργης, ἄργου.

Μάσθλης, μάσθλητος, πόθεν; ὁ κανών· τὰ εἰς ης λήγοντα δισύλλαβα κατὰ πλεῖστον διὰ τοῦ τος κλίνονται· οἷον μήλλης,

[k] θέμιτα Cod.

μήλλητος· πόλλης, πόλλητος· μέσβλης, μέσβλητος· μάσθλης, μάσθλητος, σημαίνει δὲ τὸν μεμαλαγμένον λῶρον.

Κούρης, Κούρητος, πόθεν; ὁ κανών· τὰ εἰς ης τῇ ου διφθόγγῳ[1] παραληγόμενα διὰ τοῦ τος κλίνεται· οἷον, μούρης, μούρητος· Κούρης, Κούρητος.

Ναίης, Ναίητος· πόθεν; ὁ κανών· τὰ εἰς ης βαρύτονα ἰαμβικὰ, μὴ ἔχοντα ἐπ' εὐθείας τὸ τ, εἰς τος ἔχει τὴν γενικήν· Ναίης, Ναίητος· γλοίης, γλοίητος. διὰ τὸ εἶναι τὴν αι καὶ οι ἀντιβραχεῖαν.

Ἐσθὴς, ἐσθῆτος· πόθεν; ὁ κανών· τὰ εἰς ης θηλυκὰ μονογενῆ διὰ τοῦ τος κλίνεται· οἷον ποτὴς, ποτῆτος· σημαίνει δὲ τὴν πόσιν· Πάρνης, Πάρνητος, καὶ κατὰ μετάθεσιν τοῦ τ εἰς θ, Πάρνηθος· πρόσκειται μονογενῆ, διὰ τὸ ὁ νημερτὴς, τοῦ νημερτοῦς· ἔχει γὰρ οὐδέτερον τὸ νημερτές.

Ποσαχῶς κλίνεται τὸ Ἄρης; ἑπταχῶς· κλίνεται γὰρ Ἄρης, Ἄρητος· ἐξ οὗ πατρωνυμικὸν Ἀρητιάδης· κλίνεται καὶ Ἄρης, Ἄρου, τῷ λόγῳ τῶν ἀπὸ ῥήματος συνθέτων· ἀπὸ γὰρ τοῦ ῥῶ τὸ λέγω γίνεται ἄρης, ὁ ἐστερημένος τοῦ λέγειν· ἐν γὰρ πολέμῳ οὐ λόγου ἀλλὰ πράξεως χρεία· κλίνεται καὶ Ἄρευς, Ἄρεος, κοινῶς· καὶ Ἄρεος, Ἀττικῶς· καὶ Ἄρηος, Ἰωνικῶς· καὶ Ἄρευος, Αἰολικῶς.

Ἀγκυλοχείλης, ἀγκυλοχείλου, πόθεν; ὁ κανών· τὰ ἀπὸ τῶν εἰς ος εἰς ης ὀνόματα βαρύτονα, εἴτε ἁπλᾶ, εἴτε παρασύνθετα, εἰς ου ἔχουσι τὴν γενικήν· οἷον Ἄραξος, Ἀράξης, Ἀράξου· Λάπιθος, Λαπίθης, Λαπίθου· ὑπνηλὸς, ὑπνήλης, ὑπνήλου[m]· ἑπτάπους[n], ἑπτάποδος, ἑπταπόδης, ἑπταπόδου· εὔπατρις, εὐπάτριδος, εὐπατρίδης, εὐπατρίδου. οὕτως οὖν χεῖλος, ἀγκυλόχειλος[o], ἀγκυλοχείλης, ἀγκυλοχείλου.

Ποσαχῶς συναιρεῖται τὸ ε καὶ ο· τριχῶς· παρ' ἡμῖν καὶ παρὰ τοῖς Ἀθηναίοις εἰς τὴν ου· οἷον Δημοσθενέος· Δημοσθένους· καὶ εὐσεβέος, εὐσεβοῦς· παρὰ δὲ τοῖς Δωριεῦσι καὶ τοῖς Ἴωσιν εἰς ευ· οἷον, Ἰδομενέος, Ἰδομενεῦς· οἷον,

Ἰδομενεῦς μὲν οὐ λῆγε μένος μέγα[p]

[1] τὰ εἰς ους τῇ ει διφθόγγῳ Cod. [m] ὑπνίλος, ὑπνίλης, ὑπνίλου Cod. [n] ἑπτάπτευς Cod. [o] ἀγκειλόχειλος Cod. [p] Iliad. N. 424. ubi leg. Ἰδομενεὺς δ' οὐ λῆγε.

ἀντὶ τοῦ Ἰδομενέος· παρὰ δὲ τοῖς Ἀθηναίοις εὑρίσκεται τὸ ε καὶ ο εἰς τὴν ι δίφθογγον κιρνώμενον· οἷον, πλέον[q] πλεῖν· δέον, δεῖν.

Πότε κιρνᾶται ἐπὶ τῆς αἰτιατικῆς τῶν ἑνικῶν τὸ ε καὶ α εἰς α μακρὸν, καὶ πότε εἰς ᾶ; ἡνίκα εὑρεθῇ τὸ ε καὶ α ἔχον προηγούμενον φωνῆεν, τότε εἰς α μακρὸν κιρνᾶται· οἷον, τὸν εὐφυέα, καὶ εὐφυῆ καὶ εὐφυᾶ· τὸν ὑγιέα, καὶ ὑγιῆ καὶ ὑγιᾶ· ἡνίκα δὲ πρὸ τοῦ ε καὶ α εὑρεθῇ σύμφωνον, τότε εἰς η μόνον κιρνᾶται· οἷον Δημοσθενέα, Δημοσθένη· εὐγενέα, εὐγενῆ· πλήρεα, πλήρη.

Διατί ἐν τοῖς δυϊκοῖς τὰ δύο εε εἰς η κιρνᾶται, ἐπὶ δὲ τοῖς πληθυντικοῖς εἰς τὴν ει δίφθογγον; ἐπειδὴ τὰ δυϊκὰ μείζονα χρόνον θέλουσιν ἔχειν τῶν πληθυντικῶν· τὸ δὲ η μείζων ἐστὶ τῆς ει διφθόγγου, ὡς ἀφ' ἑαυτοῦ ἔχον τὴν μακρότητα· ἡ δὲ δίφθογγος ἐκ τῶν δύο φωνηέντων. καὶ γὰρ εἷς στρατιώτης δύο στρατιωτῶν δύναμιν ἔχων τιμιώτερος ἐστί.

Διατί τοῦ Δημοσθένους ἡ δοτικὴ τῶν πληθυντικῶν συναιρεῖται; διὰ τὸ εὑρίσκεσθαι ἀναμεταξὺ τῶν δύο φωνηέντων σύμφωνον τὸ σ· οὐδέποτε δὲ τὰ φωνήεντα δύνανται συναίρεσιν ἐπιδέξασθαι ἔχοντα μεταξὺ σύμφωνον, εἰ μὴ πρότερον ἀποβληθῇ· ὡς ἐπὶ τοῦ κρείττονα, κρείττοα, κρείττω. οὐ δύναται δὲ ἀποβληθῆναι τὸ σ, ἐπειδὴ πᾶσα δοτικὴ πληθυντικὴ εἰς ι ἐκφωνούμενον λήγουσα, θέλει πρὸ τοῦ ι ἔχειν τὸ σ, ἢ δυνάμει ἢ ἐνεργείᾳ· —δυνάμει, οἷον φοίνιξιν· ἐνεργείᾳ δὲ, λέβησι.

Διατί ἡ αἰτιατικὴ τῶν πληθυντικῶν συναιρουμένη εἰς ει δίφθογγον συναιρεῖται; ἐπειδὴ πᾶσα εὐθεῖα πληθυντικῶν εἰς σ λήγουσα συναιρουμένη ἐστί· καὶ τὴν αἰτιατικὴν ὁμότονον καὶ ὁμόγραφον. ὁμοίως δὲ καὶ τὴν κλητικήν· οἷον, ὁ βότρυς, τοῦ βότρυος· ὦ βότρυς· οἱ βοῦς, τοὺς βοῦς· ὦ βοῦς.

Πότε τὰ εἰς σ λήγοντα φυλάττουσιν ἐν τῇ συνθέσει τὴν τάσιν τοῦ ἁπλοῦ; ἡνίκα εὑρεθῶσιν ὑπὲρ μίαν συλλαβήν· οἷον, ἐρανιστὴς, αὐχερανιστής[r]· εὑρετὴς, ἐφευρετής· ἐραστὴς, παιδεραστής· χωρὶς τοῦ κριτὴς καὶ ἀληθής· ταῦτα γὰρ ἐν τῇ συνθέσει βαρύνονται, οἷον, δικαιοκρίτης· φιλαλήθης· καὶ χωρὶς

[q] πλέον δ. Cod. [r] An leg. ἀρχερανιστής?

τῶν μονοσυλλάβων, οἷον Κρὴς, Ἐτεόκρης· γνὴς, Ἴγνης· πᾶν γὰρ ὄνομα μονοσύλλαβον ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον· οἷον, χθὼν, αὐτόχθων· παῖς βούπαις· Θρὰξ, σακόθραξ[s]· χωρὶς τοῦ πτὼξ, πολυπτώξ.

Διατί τὸ κριτὴς ἐν τῇ συνθέσει βαρύνεται; ἐπειδὴ παράλογός ἐστιν ἐν τῇ ἁπλότητι ἡ ὀξεῖα· τὰ γὰρ εἰς ος ἀρσενικὰ φύσει δισύλλαβα βαρύνονται· οἷον, πλύτης· δίψης· χάρτης· ψάλτης· τοῦτο δὲ ἡ μὲν κοινὴ βαρύνει, ἡ δὲ Ἀτθὶς ὀξύνει. Καὶ διατί τὸ ἀληθὴς ἐν τῇ συνθέσει βαρύνεται; ἐπειδὴ τὰ διὰ τοῦ ηθης σύνθετα παρώνυμα βαρύνεσθαι θέλουσιν· ἦθος, συνήθης· εὐήθης· καλοήθης· κακοήθης· ἀήθης· οὕτως οὖν καὶ τὸ ἀληθής· φιλαλήθης.

Διατί τὸ τὶς συστέλλει τὸ ι; ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι τὰ κατὰ ἀποβολὴν τοῦ σ ποιοῦντα οὐδέτερον, συνεσταλμένον ἔχουσι τὸ δίχρονον· οἷον μέγας, μέγα· ταχὺς, ταχύ· οὕτως οὖν καὶ τὸ τίς, τί.

Πῶς κλίνεται τὸ ζεῦξις; ἡνίκα μὲν προσηγορικόν ἐστι διὰ καθαροῦ τοῦ ω[t] κλίνεται· οἷον ἡ ζεῦξις, τῆς ζεύξεως· ἡνίκα δὲ κυρίως, διὰ καθαροῦ τοῦ δος κλίνεται· οἷον ὁ Ζεῦξις, τοῦ Ζεύξιδος[u].

Πῶς κλίνεται τὸ Ξόϊς· καὶ Σάϊς[v]· καὶ Δμῶϊς· καὶ Ταμιάθις; διὰ καθαροῦ τοῦ ος· ἐπειδὴ ὀνόματα εἰσὶ πόλεων Αἰγυπτίων· τὰ δὲ ὀνόματα τῶν πόλεων τῆς Αἰγύπτου, ὡς ἐπὶ τὸ πλεῖστον διὰ καθαροῦ τοῦ ως κλίνονται· χωρὶς τοῦ Μέμφις, Μέμφιδος· Βούσιρις, Βουσίριδος· Ὄσιρις, Ὀσίριδος. Ποῖα εἰσὶν ἃ λέγει ὁ τεχνικὸς ἐν τῷ ἑβδόμῳ κανόνι, τὰ ἐν τοῖς θηλυκοῖς σεσημειωμένα, ὕστερον ἐροῦμεν.

Τὸ Χάρυβδις καὶ Σάρδις· ταῦτα γὰρ οὐκ ἐκλίθησαν διὰ τοῦ δος· διὰ τὴν ἐπαλληλίαν τοῦ δί καὶ τὸ κῆψις· ἐπίσκεψις· Λάχεσις· Νέμεσις[w]· ταῦτα γὰρ ὁμοφωνήσαντα προσηγορικοῖς θηλυκοῖς, τὴν τῶν προσηγορικῶν κλίσιν ἀναδέξαντο· καὶ τὸ Ξόϊς καὶ Δμῶϊς· καὶ Σάϊς[x]· καὶ Ταμιάθις· ταῦτα γὰρ Αἰγύπτια ὄντα καὶ κλίνονται διὰ τοῦ δ· τὰ γὰρ Αἰγύπτια ὡς ἐπιτοπλεῖστον, διὰ καθαροῦ τοῦ ως κλίνονται· οἷον, Καλλίπολις, Καλλιπόλεως.

[s] Leg. Σαμόθραξ. [t] ος (ω superscr.) Cod. [u] Cod. male ἡ ζεῦξις, τῆς ζεύξιδος.
[v] σόις Cod. [w] λάχουσιν ἀνέμεσις Cod. [x] σόϊς Cod.

Διατί μὴ κλίνωμεν πόλις, πόληος διὰ τοῦ η; ἐπειδὴ εἰ γέγονεν οὕτως, εὑρίσκεται ἡ παραλήγουσα τῆς περιττοσυλλάβου γενικῆς, μείζων τῆς ληγούσης τῆς ἰδίας εὐθείας, ὅπερ ἄτοπον. Καὶ πῶς κλίνεται παρὰ τῷ ποιητῇ

ἀπ' ἀγροῦ νόσφι πόληος (Od. A. 185.)

διὰ τοῦ η κλιθέν; ἰστέον δὲ ὅτι οὕτω τὸ πόληος, οὐκ ἔστιν Ἰωνικὸν, ἀλλ' ἀπὸ τοῦ πολίος[x]. τοῦ διὰ τὸ ι γέγονε, κατὰ τροπὴν τοῦ ι εἰς η· ὡς ἀπὸ τοῦ ἀψιμύθηον[y].

Διατί ἀπέλιπε τῆς Ἀττικῆς[z] τῶν ἑνικῶν ἡ χρῆσις τῆς α· οἷον τὸν ὄφεα; ἐπειδὴ παντὰ τὰ εἰς ις λήγοντα διὰ καθαροῦ τοῦ ος κλινόμενα, εἰς ν μόνον ἔχουσι τὴν αἰτιατικήν.

Διατί τὸ εἰς ενος περισπᾶται; ἐπειδὴ τὰ εἰς σ λήγοντα ὀνόματα κοινολεκτούμενα ἔχοντα οὐδετέρου παρασχηματισμὸν, ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν.

Διατί τὸ εἷς ἑνὸς οὐ κλίνεται διὰ τοῦ ντ· κατὰ μίμησιν τῶν οὐδετέρων ἐχόντων; ἐπειδὴ δασύνεται ἡ εὐθεῖα· εἰ δὲ ἐγένετο ἡ γενικὴ ἐν τος, ἔμελλε ψιλοῦσθαι ἡ εὐθεῖα· τὸ γὰρ ε καταλῆγον εἰς ν, ἐπιφερομένου συμφώνου τῆς τρίτης συζυγίας τῶν βαρυτόνων, καὶ ἐν ῥήματι, μήτε ἐπιῤῥήματι, ψιλοῦσθαι θέλει· οἷον, ἔνδον, ἔνθα, ἐντός· τούτου χάριν ἀπέβαλε τὸ τ, καὶ ἐγένετο ἑνός.

Ποσαχῶς κλίνεται τὰ εἰς ευς ὀνόματα; ἑξαχῶς· κλίνεται γὰρ κοινῶς διὰ τοῦ εο, οἷον Ἀχιλλέος[a]· καὶ διὰ τοῦ εω Ἀττικῶς, οἷον, Ἀχιλλέως· κλίνεται δὲ διὰ τοῦ η καὶ ο παρὰ τοῖς Ἀχαιοῖς· Ἴωσι· καὶ Αἰολεῦσιν· οἷον Ἀχιλλῆος· ἀλλὰ καὶ Αἰολεῖς προπαροξύνουσι· κλίνεται δὲ καὶ διὰ τοῦ ιο παρὰ τοῖς Βοιωτοῖς· κλίνεται δὲ καὶ διὰ τῆς ευ διφθόγγου παρὰ τοῖς Δωριεῦσι καὶ τοῖς Ἴωσι· οἷον, Ἀχιλλεῦς περισπωμένως· ἀντὶ τοῦ Ἀχιλλέως.

Κατὰ ποίαν διάλεκτον γίνεται τὸ Ζεὺς, Διός; κατὰ Βοιωτούς· κλίνεται δὲ καὶ διὰ τοῦ ιο, οὐχ ὡς νομίζουσι τινὲς ἀπὸ τῆς ἰδίας εὐθείας· κειμένης παρὰ——cætera desunt.

[x] πόλῆος Cod. [y] Leg. ψιμύθιον ψημύθιον. [z] Leg. vid. αἰτιατικῆς.
[a] Ἀχιλλέως Cod.

[c] Ζητοῦμεν καὶ τὴν τοῦ Ἄρης, Ἄρεος γενικὴν, πῶς εὕρηται διὰ διφθόγγου· λέγομεν Ἄρευος, Ἄρευι[d]·

μίξαν δὲ ἀλλήλοις Ἄρευα·

ἡ κλητική·

Ἄρευ δι' ὁ φόβος διακτήρ·

καὶ ἀπορήκασι περὶ τῆς κλίσεως, πόθεν ἄρα ἡ δίφθογγος; τὰ γὰρ εἰς ευς παρ' αὐτοῖς τοῖς Ἴωσι διὰ τοῦ η· καὶ τοιαύτην λύσιν ἐπινοοῦμεν τὸ ἀκόλουθον Ἄρηος. ἔθος Αἰολεῦσι[e] τοῦ πλεονάζειν, φωνήεντος ἐπιφερομένου, ἢ τοῦ ρ· ναὸς, ναυός· ἄος, αὐός. ἑάλωκεν, εὐάλωκεν· ἄῤῥηκτον, αὖῤῥηκτον· ἐῤῥάγη, ἐῤῥαύγη· ἔδωκαν οὖν καὶ ἐπὶ τοῦ Ἄρης τὸν πλεονασμὸν τοῦ υ· εἶτα ἔγενετο Ἄρηυος ἡ γενική· καὶ εὑρίσκετο ἡ ηυ δίφθογγος· αὐτὴ δέ ἐστι κακόφωνος· καὶ ἐν κλίσει ῥημάτων θέλει ὁρᾶσθαι· ηὗλει καὶ ηὖχει καὶ ηὗδα· καὶ περὶ τὴν ἀρχὴν θέλει ἀνατρέπεσθαι[f]· ὥσπερ γὰρ τὸ γραῦς τροπὴν παθὸν τοῦ α εἰς η γέγονε γρηῦς, ἵνα μὴ γένηται ἀκατάλληλος, τροπικῶς διηρέθη καὶ γρηῦς ἐγένετο· καὶ ἐπὶ ἐπιῤῥημάτων οὐκ ἔτι δὲ καὶ ἐφ' ἑκατέρας λέξεως καὶ ἐξ ἐκείνων καταλαμβάνωνταί ἐστιν ἠύτε· ἀλλ' ἵνα μὴ γένηται ἡ διαίρεσις ἠύτε, γίνεται ἡ τροπὴ, εὖτε· ὁμοίως οὖν καὶ ἐπὶ τοῦ Ἄρευος· ὁ πλεονασμὸς γὰρ ἐποίησε τὴν δίφθογγον· ἔνθαυτα οὖν τροπὴ, ἵνα ἀποστῇ ἡ κακοφωνία τῆς διφθόγγου.

Ἰστέον ὅτι τοῦ Ζὴν, Ζηνὸς ἐφύλαξαν οἱ παλαιοὶ Ἴωνες τὴν κλίσιν· οἷον,

ἐπεὶ δ' ἴσχε Ζηνὸς ὑψηρέφης δόμοις ζάρῆς·

μεταγενέστεροι Αἰολεῖς ἔτρεψαν Ζανὸς καὶ Ζάν· καὶ ἔτι μεταγενέστεροι οἱ Ἴωνες διὰ τοῦ Ζὰν, τῷ Λύκανι·

κλῦθι μοι Ζανός τε κουρηξαντελευθεριω.

[c] (Fragm. Grammat. ex eod. Cod. f. 302.) fors. ex Herodiano.
[d] ἄρεβ̊ι Cod. [e] ἔθος δ' Αἰολεῦσι Cod. sed in marg. corr. ἔθος Αἰολεῦσι. [f] ἀνατρέφεσθαι Cod.

Πάλιν ἄπορον πῶς παρ' Ἴωσι τὸ α εἰς η τέτραπται· τὸ γὰρ ἐναντίον τὸ α εἰς η τρέπουσι τὸ Ζανὸς Ζηνὸς εἰρήκασι· λέγω δὴ ὅτι οὐκ ἔτρεψαν ἀλλ' ἐμιμήσαντο μεταγενεστέρους Αἰολεῖς.

Πόθεν τὸ Τυδῆ καὶ βασιλῆ παρ' Ὁμήρῳ; φαμὲν ὅτι παρὰ Δωριεῦσιν ἐστὶν ἡ κλίσις καὶ γοῦν ὑπάρχει βασιλῆϊ, βασιλῆα αἰτιατική· καὶ κατὰ συναλοιφὴν βασιλῆ· ὥσπερ Κηφέα, Κηφῆ οἱ μέντοι Βοιωτοὶ[h] διὰ τοῦ ι κλίνουσι· οἷον βασίλιος καὶ διὰ τῆς ει διφθόγγου, βασιλεῖ, ὅταν γὰρ τοῦ βασίλιος ᾖ, τοῦ βασίλεος τροπῇ· τὸ γὰρ η τὸ παρὰ τοῖς Δωριεῦσιν εἰς τὴν ει δίφθογγον τρέπουσιν. Δεῖ δὲ γινώσκειν ὅτι συναλοίφουσιν οἱ Ἀττικοὶ τῶν εἰς ως γενικῶν πτώσεων τὸ εω εἰς ω· οἷον Ἐρετρίεος, Ἐρετριῶς· Πειραίεος, Πειραιῶς[i] καὶ τοῦτο ποιοῦσιν, ὁπόταν καθαριεύῃ. ὅταν δὲ μὴ καθαριεύῃ, τῷ ε παραλήγεται· οἷον ἁλιέα, ἁλιῆ· εὐκλέα, εὐκλεῆ· ὁμοίως καὶ ἁλιέως, ἁλιῶς· τὸ δὲ δυϊκὸν, εἰς τὴν ει δίφθογγον συναλοίφουσιν· οἷον ἁλιέοιν, ἁλιοῖν· πολλάκις δὲ καὶ ἐπὶ γενικῆς πληθυντικῶν· Δωριεῖς, Δωρικῶς[k], καὶ ἔστιν ἡ μὲν εἰς τὸ η συναλοιφὴ Δωριέων, ἡ δὲ εἰς τὸ α Ἀττική· Ἰστέον ὅτι ἔχομεν τινὰ εἰς ες λήγοντα ὀνόματα· λέγω δὲ τὸ παῖς καὶ τὸ δαΐς θηλυκόν· καὶ τὸ σταῖς οὐδέτερον· ὅπερ δαΐς ὄνομα ἐν συνθέσει κοινόν τι γίνεται ἀρσενικὸν καὶ θηλυκόν· οἷον ὁμόδαις· τὸ μέντοι σταῖς εὕρηται παρὰ Εὐκορίδι[l] καὶ Ἡροδότῳ· καὶ ταῦτα μὲν εἰς αις λήγουσι μόνον παρ' ἡμῖν· παρὰ δὲ Αἰολεῦσι πολλὰ, οἷον μέλαισε θόαις ὀρέσταις· τὸ μέντοι παῖς, διὰ τοῦ α λέγεται μόνον πάϊς· ὅπερ ἐν συναλοιφῇ παῖς· ἔχομεν δὲ καὶ χαρακτῆρα εἰς ις, οἷον πόσις· κάσις· ὄφις· ἔχις· τοῦτο δὲ μόνον τὸ παῖς εἰς τοῖς εἰς αις περισπώμενόν ἐστιν· ἐκ τοῦ παὶς βαρυνομένου συναλοιφέν· τὸ γὰρ δαΐς ὀξύτονόν ἐστι, κλίνεται δὲ διὰ τοῦ τ, δαΐς, δαιτός· ἐπεὶ παράκειται αὐτῷ τὸ δαίτῃ· ἐσχημάτισται δὲ παρὰ τὸ δαίω, ὃ σημαίνει τὸ μερίζω, ὅθεν καὶ δαιτρὸς ὁ διαμερίζων· καὶ δαίμων· ἔνθεν τὸ

μοίρας δαισάμενοι·

h Βοιωτεις (ει) Cod. i Πηρέεος, Πηρεῶς Cod. k Leg. οἷον Δωριέων Δωριῶν. l Leg. Εὐπόλιδι. Cf. Etym. M. p. 422, 43.

ὁ μέλλων αὐτοῦ δαίσω, καὶ δαίσομαι· ἀπὸ γοῦν τὸ δαίω τὸ ῥηματικὸν ὄνομα δαίσα καὶ αἶσα, ἡ μεμερισμένη ἑκάστῳ· καὶ γὰρ μοίρα παρὰ τὸ μεμερίσθαι· γέγονε δὲ ἀπὸ τοῦ δαίω δαὶς, καὶ συναλοιφῇ δαῖς· ὀξυτονεῖται καὶ ἐπὶ ἀπὸ ὀξυτόνου. ἴσως ὀξυτονήθη πρὸς ἕτερον σημαινόμενον· ἔστι γὰρ δαῖς περισπώμενον ἐπὶ τῆς μάχης· ἔνθεν αἰτιατική·

εἰς δαΐν ὁπλισμένων ἵππων ἀργός

ἔχει Καλλίμαχος[m], καὶ τοῦτο δὲ ἀπὸ τοῦ δαίω τοῦ σημαίνοντος τὸ μερίζω· ὅτι μεμερίσται παρὰ τοῖς πολλοῖς ἡ εὐωχία· ἔνθεν καὶ "δαιτὸς εἰσῆς." Τὸ γοῦν σταῖς σπάνιον, ἐκ τοῦ στέας στάς· καὶ μετὰ τοῦ ι σταῖς, τὸ ἤδη πῖος· καὶ στέας, στέατος.

Τὰ γὰρ τοῦ ας οὐδέτερα διὰ τοῦ τ κλίνεται· κέρας κέρατος· πέρας πέρατος· εἶτα γενομένου στὰς καὶ σταῖς[n] διὰ τοῦ τ πάλιν κλιθήσεται· τὰ γὰρ τῆς μετοχῆς τοῦ στάντος παρεσχηματισμένα οὐδέτερα, οὐδέποτε ἰδίᾳ κλίσει κέχρηται, ἀλλὰ τῇ τοῦ ἀρσενικοῦ. —ἔνθεν[o] ἄν τις σοι προτείνειν οὐδέτερον παρεσχηματισμένον τὴν κλίσιν τοῦ ἀρσενικοῦ ἐπιζήτησον· καὶ τοῦτο μάλιστα εὔχρηστον ἐπὶ τῶν ἀμφιβόλων· λέγει τὶς σοὶ κλῖνον τὸ πλεῖον· μὴ προπετῶς κλίνῃς· ἀλλ' ἐξέτασον ποῖον τὸ παρακείμενον· τὸ πλεῖος ἢ τὸ πλείων· δεῖ γὰρ πρῶτον τὸ ἀρσενικὸν κλιθῇ καὶ τὸ οὐδέτερον καὶ θηλυκόν· δῆλον ὅτι εἰ μὲν ἀπὸ τοῦ πλεῖος[p], πλείου, καὶ πλεῖον· εἰ δ' ἀπὸ τοῦ πλείων πλείονος, καὶ τὸ πλεῖον τοῦ πλείονος ἔσται· οὕτως δὴ ἐπὶ πάντων μεμνῆσθαι τῶν ἀμφοτερῶν πρὸς τὸ πλανητεύειν ἕτερον, ἢ πρὸς τὸ μὴ πλανηθῆναι· ὁμοίως καὶ ἐπὶ μετοχῶν τὰ οὐδέτερα τὴν τῶν ἀρσενικῶν κλίσιν δέχονται· τὸ μέντοι πὰν ἐπὶ μόνου τοῦ θεοῦ Πανὸς λέγεται καὶ κλίνεται, ἐπὶ δὲ τοῦ οὐδετέρου παντός· ἐπεὶ καὶ πᾶς, παντός· ἐπεὶ ἐάν σοι προτείνῃ τις τὸ πᾶς κλίναι· πύθου, εἰ μὲν τὸ κοινόν· εἰ δὲ παρ' Αἰολεῦσι;

m Cf. Callim. Frag. 470. n στοῖς Cod. o Hiatum indicavi Cod. —'νθεν. Leg. fors. ἔχοι ἔνθεν ἄν τις. p πλεῖῶς Cod.

παντός· οἱ γὰρ Αἰολεῖς λέγουσι πᾶς παῖς ὁ χῶρος· "ἵνα ἴδω-"μεν ὅτι πάντα." * * * * * * * * * * ἀλλ' ἢ διὰ τοῦ ε, ἢ διὰ τοῦ α· οἷον Ποσειδέων καὶ Ποσειδάων· οὐκ ἄρα περισπᾶται. πάλιν τῶν εἰς ω περισπωμένων, ὁμόχρονον ἢ ἡ κλητικὴ τῇ εὐθείᾳ· ὁ Ξενοφῶν, ὦ Ξενοφῶν. ὁ Κτησιφῶν, ὦ Κτησιφῶν· τοῦ Ποσειδάονος δὲ οὐχ ἡ αὐτὴ ἡ κλητικὴ, ὁ Ποσειδῶν γὰρ καὶ ὦ Πόσειδον, διὰ τοῦ ο μικροῦ· ὥς τε οὐ περισπώμενον.

Καὶ πάλιν τὰ εἰς ῶν περισπώμενα, οὐδέποτε τὸ ω εἰς α τρέπει παρὰ Αἰολεῦσι· τὸ δὲ Ποσειδῶν ἐγένετο Ποσειδὰν, οὐκ ἄρα περισπώμενον· ἰδοὺ οὖν κατὰ ἓξ τρόπους καὶ κανόνας δείκνυται τὸ Ποσειδῶν μὴ περισπώμενον· λέγω δὴ ἀπὸ ληγούσης· ἀπὸ κλίσεως· ἀπὸ παραληγούσης· ἀπὸ ἀποκοπῆς· ἀπὸ κλητικῆς· ἀπὸ διαιρέσεως, καὶ ἀπὸ διαλέκτου· εἰ μὴ περισπώμενον οὐκ ἐστὶ, δηλόνοτι ὀξύτονον· καὶ γὰρ εἰς δῶν πολλὰ ὀξύτονα· κωλυδών[q]· Μυρμιδών· τὰ δ' εἰς δων λήγοντα ὀξύτονα διὰ τοῦ ο κλίνεται· εἰ δέ τι καὶ τοῦ ω τοῦτο ὁμωνυμεῖ. πολυμειδὼν πολυμειδῶνος· ὀδὼν, ὀδῶνος· εἴπερ[r] οὖν ὀξύτονον τὸ Ποσειδὼν, ἔδει διὰ τοῦ ο κλίνεσθαι· οὐ κλίνεται δέ· οὐκ ἄρα ὀξύτονον· ἔφημεν δὲ ἐν τῷ κανόνι, ὅτι εἰ δέ τι διὰ τοῦ ω, τοῦτο ὁμωνυμεῖ, διὰ τοῦ Εἰδὼν, Εἰδῶνος, τὸ ἐπὶ τοῦ ἥρωος, καὶ Καλύδων, Ἀμύδων· τί οὖν ἔχομεν εἰπεῖν περὶ τοῦ Ποσειδῶνος; ἐπιδειχθήτω περισπώμενον, καὶ δειχθήσεται τὰ ἐναντιούμενα· δεῖ οὖν ἡμᾶς γνῶναι πρῶτον τὴν ἐτυμολογίαν. Ἐτυμολογεῖται δὲ παρὰ τὸ δέω· ἤ τοι τὸ ἐπιδημάω· ἢ ἀπὸ τοῦ ἐνδέω· Πλάτων μὲν ὁ φιλόσοφος ἡγεῖται ἀπὸ τοῦ δεσμέω τοὺς πόδας ἀπὸ τῆς θαλάσσης, ἀφικόμενοι γὰρ ἐκεῖ οὐκ ἔτι δυνάμεθα βαδίζειν. εἰσὶ δὲ οἳ παρὰ τὴν πόσιν μὴ διδούς· ἵνα ἀπὸ τοῦ μὴ ποτίμου ἡ ἐτυμολογία· εἴδωμεν οὖν λοιπὸν τὸ τῆς φωνῆς· παρὰ τὸ δέω ποσειδέης· τοῦτο δὲ ἔχει χρήσεις πολλὰς παρὰ τοῖς ποιηταῖς· ἐκ τοῦ αὐτοῦ ποσειδέης Ποσειδέων καὶ Ποσειδέωνος. οὕτω παρ' Ἴωσιν κατὰ συναλοιφὴν Ποσειδιέων· καὶ ἐκ τοῦ Ποσει-

[q] Leg. Καλυδών. [r] εἶπεν οὖν Cod.

δέων μὲν Ποσειδῶν· ἐκ τοῦ Ποσειδέωνος δὲ Ποσειδῶνος· ἐκ ταύτης τῆς συναλοιφῆς δείκνυται περισπώμενον· ἡ γὰρ ὀξεῖα καὶ βαρεῖα εἰς περισπωμένην συνέρχονται· διατί οὖν μακρᾷ παραλήγεται; αἰτία ἐστὶν ἡ συναλοιφή· αὐτὴ γὰρ ἐποίησε πλησιάσαι τῇ ληγούσῃ τὴν μακράν· ἡ μέντοι κλητική ἐστιν ὦ Πόσειδον διὰ τοῦ ο· καὶ εἰ ἄρα ἐπὶ τῶν εἰς σων βαρυτόνων ἡ παραλήγουσα τῆς γενικῆς λήγουσα γίνεται τῆς κλητικῆς· σώφρονος, σῶφρον· τλήμονος, τλῆμον· Πλάτωνος, Πλάτων· διατὶ Πόσειδον, οὐ Ποσειδὼν διὰ τοῦ ω μεγάλου; μή ποτε οὖν, ἐπειδὴ οἱ Δωριεῖς Ποσειδὰν εἶπον ὀξυτόνως, μετεδίωξαν τὸν τύπον τοῦ ὀξέους τόνου, καὶ διὰ τοῦτο διὰ τοῦ ο· οἱ γὰρ Δωριεῖς τρέπουσι τὸ ω εἰς α· πρῶτος, πρᾶτος· ἐπρίω, ἐπρία· ἄκρων, ἄκραν· καὶ φυλάσσουσι τὸν τόνον· πλὴν τῶν πληθυντικῶν. Οὐδὲν εἰς βων πλὴν τοῦ[s] Χαρναβῶν[t]. Οὐδὲν εἰς θων πλὴν τοῦ Δεξιθῶν[u] καὶ γὰρ τὸ Ποσειδῶν ἀεὶ λέγει ὁ ποιητής, Ποσειδάων· καὶ οἱ Βοιωτοὶ διὰ τοῦ ι Ποσιδαίων· Ἴωνες Ποσειδέων· Δωριεῖς Ποσειδὰν βαρυτόνως ἢ καὶ Ποτίδας· Αἰολεῖς Ποτιδὰν ὀξυτόνως· τοσαῦτα ἔχομεν λέγειν περὶ αὐτοῦ. Οὕτως ποιοῦνται τὴν Ποσειδῶνος τὴν λήγουσαν πόσαι διάλεκτοι; καὶ ὁ ποιητής· Ἴωνες· Δωριεῖς· Αἰολεῖς· Βοιωτοί. Τὰ εἰς ης σπονδιακὰ, ἐν θέσει μακρὰ μὲν ὡς κύρια μονογενῆ ἀρσενικά· ἐν θέσει δὲ μακρὰ, καὶ μὴ τῇ κοινῇ ἐπὶ γενικῆς, εἰς ου· Φαλήκης, Φαλήκου· Αὔξης, Αὔξου[v], πατὴρ Ἡροδότου· Ξέρξης· Κίζης· Κέρβης ὀνόματα ποταμῶν· Παύδης καὶ ὅσα θέσει μακρᾶ· πλὴν τοῦ ὀπλὴς, ὅπλητος· Πίγρης, Πίγρητος· νάης, νάητος· Μένδης, Μένδητος· Πάρνης, Πάρνηθος· καὶ τὸ Μόργης· καὶ μάσθλης.

Τὰ εἰς ης βαρύτονα ἀρσενικὰ ἰσοσυλλάβως κλίνεται· Χρύσης, Χρύσου· Βρίσης, Βρίσου· Νίσης, Νίσου· Ἀγχίσης, Ἀγχίσου[w] ἔχεται δὲ καὶ τὸ ἐργονίσης· καὶ εἴτι ἕτερον ἀρσενικὸν

[s] τῶν Cod. [t] Nomen proprium a Sophocle in Triptolemo usurpatum Herodian. περὶ μονήρους λέξεως p. 9, 29. hinc suspicari licet hoc fragmentum etiam Herodiano ascribendum. [u] δεξιθρῶν Cod. [v] Leg. Λύξης, Λύξου. [w] νίσου· ἀρχίσου Cod.

εἰς ου, πλὴν τοῦ τηλαυγὴς, τηλαυγοῦς· δοκεῖ γὰρ ἡμαρτῆσθαι τὸ ὄνομα.

Τὰ εἰς ης βαρύτονα ἀρσενικὰ ἰσοσυλλάβως κλίνεται. Τὰ εἰς ης σύνθετα παρὰ θηλυκῶν γιγνόμενα ὀνόματα ὑπεσταλμένων τῶν παρὰ τοῦ κη ἐπὶ γενικῆς εἰς ου· δικὴ, Ἑλλανοδίκης[y]*, Ἑλλανοδίκου· γυνὴ*[z]*, μισογύνης, μισογύνου· αἰχμὴ, πυραίχμης, πυραίχμου· καὶ πάντα πάλιν τὰ παρὰ τῶν εἰς η θηλυκῶν παρηγμένα· εἶπεν οὖν τὸ αὐγὴ, τηλαυγής· πῶς· οὐκ ἐς* * * * *εἴπομεν ὑπεσταλμένων τῶν παρὰ τὸ κη· τούτων γὰρ εἰς ους ἡ γενική· οἷον τανυήκης, τανυήκους· ἀμφήκης, ἀμφήκους*[a]*· ἐπὶ δὲ τῶν ὀξυτόνων, εἰς ους· τύχη, εὐτυχὴς, εὐτυχοῦς*[b] *πάλη, ἰσοπαλὴς*[c]*, ἰσοπαλοῦς· ἄλκη· ἑτεραλκὴς, ἑτεραλκοῦς. Ἰστέον δὲ ὅτι παρὰ τὴν ἀλκὴν ὀνόματα διαφοροῦνται· πῆ μὲν εἰς ου, πῆ δὲ εἰς ους· Μενάλκης γὰρ, Μενάλκου· Σιτάλκης μὲν Σιτάλκου*[d]*· πῆ δὲ Σιταλκέω, πῆ δὲ Σιταλκοῦς*[e]*· ὥστε ὁπόταν μὲν εἰς ας, παρὰ ῥῆμα ἐστὶ τὸ ἀλκῶ, καὶ ἐξ αὐτοῦ ἔχει τὴν σύνθεσιν· ὅθεν τὸ ἤλαλκεν· ὁπότε δὲ εἰς ου, παρὰ τὴν ἀλκήν· καὶ πρὸς διάφορον σύνθεσιν διάφορος καὶ ἡ κλίσις· περὶ δὲ τοῦ τηλαυγοῦς εἴπομεν, ὅτι ἔχει ἀφορμὴν τὴν ἀπὸ ὀξυτόνων τῶν εἰς ης συνθέτων βαρυνθέντα· τὴν αὐτὴν κλίσιν φυλάττει· Πολυνίκους*[f]*· Εὐρυσθένους· παγκράτους· παντροποῦς. ἣν οὖν τηλαυγής· καὶ τῷ λόγῳ τῶν ὀξυνομένων ἔσχε τὴν γενικήν· γενόμενον δὲ καὶ κύριον, τὴν μὲν κλίσιν ἐφύλαξε, τὸν δὲ τόνον μετέβαλεν· ἣν μὲν οὖν τηλαυγὴς, τηλαυγοῦς ὀξυτόνως· πάλιν δὲ καὶ τηλαύγης, τηλαύγου βαρυτόνως.*

Τὸ μέντοι Ἀΐδης δύο κλίσεις ἀνεδέξατο, ὅτε ἐπιθετικὸν, Ἀΐδης, Ἀΐδους. ἐπειδὴ πέπτωκεν εἰς χαρακτῆρα πατρωνυμικοῦ, ὅμοιον ἐγένετο τοῦ Ξουθίδης· Κρονίδης.

Τὰ εἰς ων ὀξύτονα διὰ τοῦ ω κλίνεται, πλὴν τοῦ κανὼν, κανόνος· δαφνὼν, δαφνῶνος· καὶ παρθενὼν[g]*, παρθενῶνος.*

y *ἑλλανοδίκη* Cod. z *Γυνή· μισο* cum lacunæ indicio Cod.
a *ἀμφίκης, ἀμφίκους* Cod. b *τύχη, εὐτυχοῦς* Cod. c *ἰσοπαλὴς* om. Cod. d *Σιταλίκης μὲν Σιταλίκου* Cod. e *σιταλίκεω* et *σιταλίκους* Cod.
f *πολινίκους* Cod. g *παρθενὼν* om. Cod.

Τὰ εἰς ην ἀπὸ ἁπλῶν γινόμενα τὴν τοῦ ἁπλοῦ κλίσιν ἔχει· ὑψαύχην, ὑψαύχενος· ἐριαύχην, ἐριαύχενος· εὐρυλίμην, εὐρυλίμενος.

Τὰ εἰς ην λήγοντα μονοσύλλαβα, μὴ ὄντα μονογενῆ θηλυκὰ, διὰ τοῦ νος κλίνεται· μὴν, μηνός· σπλὴν, σπληνός· σφὴν, σφηνός· ῥὴν, ῥηνός· πτὴν[h], πτηνός· μόνως θηλυκὰ, διὰ τὸ φρὴν, φρενός· κατά τι δὲ μόνως θηλυκά; ὅτι καὶ τὸ χήν ἐστι θηλυκόν.

Τὰ εἰς ξ μονοσύλλαβα μετὰ διφθόγγου διὰ τοῦ κ κλίνεται· προὶξ, προικός· γλαὺξ, γλαυκός· δαὺξ, δαυκός· οὐχ ὑγιῶς δὲ τὸ Γραὶξ, Γραικός· ὑγιῶς ἄρα τὸ ῥαὶξ, ῥαικός· οὐχ ὑγιῶς δὲ τὸ αἲξ, αἰγὸς, ἐπειδὴ μονὰ ἀπὸ φωνήεντος ἤρξατο· παραλλάξαν δὲ κατὰ τὴν ἄρχουσαν, ἤλλαξε καὶ κατὰ τὴν κλίσιν.

Τὰ εἰς ξ μονοσύλλαβα, μὴ μετὰ τοῦ γ ἔχοντα τὸ α συνεσταλμένον, διὰ τοῦ κ κλίνεται, δρὰξ, δρακός· σὰρξ, σαρκός· πτὰξ, πτακὸς, σημαίνει τὴν πτῆσιν· πρὰξ, πρακός· πὰξ, πακός· ἀναλόγως ἄρα τὸ πλὰξ, πλακός· παραλόγως δὲ τὸ γλὰξ, γλακός· ἐστὶ δὲ βοτάνη γάλακτος αὐξητική· ὡρισάμεθα δὲ μὴ μετὰ τοῦ γ, διὰ τὸ στρὰγξ συνεσταλμένον, καὶ διὰ τὸ ῥὰξ, τὸ ἐπὶ τῆς σταφυλῆς.

Τὰ εἰς ξ λήγοντα μονοσύλλαβα, ἔχοντα ἕν τι τῶν φύσει μακρῶν, διὰ τοῦ κ κλίνεται· πτὼξ, πτωκὸς ὁ λαγωός· ὦλξ, ὠλκός· πρὼξ, πρωκός· βὼξ, βωκός· κὴξ[i], κηκός· παρὰ τοῦτο καὶ σφὴξ, σφηκός· ἡμάρτηται ἄρα τὸ βὴξ, βηχὸς, διὰ τοῦ χ. τινὲς δὲ εἶπον καὶ βηκός· ἀλλ' οὐχ εὕρηται ἐν χρήσει· δεῖ δὲ κατὰ πάντα τὰς τῆς χρήσεως φωνὰς τηρεῖν.

Τὰ εἰς ξ λήγοντα μονοσύλλαβα, ἔχοντα ἕν τι τῶν φύσει βραχέων, διὰ τοῦ κ κλίνεται· κρὲξ, κρεκός[k]· βὸρξ, βορκός· κρὸξ, κροκός· ἔνθα ἡ αἰτιατικὴ "πολλὴν κρόκα·" πρὸξ, προκός· τί οὖν τὸ φλὸξ; οὐκ ἔστι μόνον, ἀλλὰ καὶ τὸ λὲξ, λεγός· ἐπεὶ ταῦτα ῥηματικά εἰσι· τὸ μὲν ἀπὸ τοῦ φλέγω· τὸ δὲ ἀπὸ τοῦ λέγω· ἐπεὶ οὖν τὰ ῥήματα διὰ τοῦ γ εἰσὶν, ὁμοίως καὶ τὰ

[h] πτὴς Cod. [i] κὴρ Cod. [k] κρεβὸς Cod.

ὀνόματα· ἢ καὶ ἄλλως· ἐπεὶ τὸ λ ἔχουσιν, οὐδὲν δὲ τῶν ἄλλων τὸ λ εἶχεν· ὥς τε οὖν κατὰ δύο τρόπους παραλλάσσονται· ἢ ἀπὸ γενέσεως, ἢ ἀπὸ στοιχείου διὰ τοῦ λ.

ΒΥΒΛΟΣ Ε.

Ἐνταῦθα ζητοῦμεν διατί τὰ εἰς ης, εἰς ους ἔχοντα τὴν γενικὴν ὀνόματα, ἔχουσι τὴν κλητικὴν εἰς ες· οἷον, Εὐρυσάκης, Εὐρυσάκους, ὦ Εὐρύσακες· πλὴν τοῦ τείχους· οὐδέτερόν ἐστιν εἰς ος, λέγομεν ὅτι Ἀττικῷ ἔθει· ἐκεῖνοι γὰρ διχῶς ἐπιφέρονται τὴν κλητικήν· ὦ Ἀπολλογένη, καὶ ὦ Ἀπολλόγενες· ἐπεὶ καὶ τὴν αἰτιατικὴν διχῶς· τὸν Τισαφέρνην[l], καὶ τὸν Τισαφέρνη, ἀκόλουθον ὑπάγουσι κλητικὴν, τῇ Τισαφέρνῃ, τὴν ὦ Τισαφέρνην· ἀναβιβάζεται καὶ ὁ τόνος, ἐπεὶ τὰ εἰς ης κύρια σύνθετα, ἔχοντα κλητικὰς εἰς ες, ἀναδρομὴν ποιοῦνται τόνου· ὁ Δημοσθένης, ὦ Δημόσθενες· τὸ μέντοι Εὐρύσακες κατὰ δυὸ τρόπους ἀνεβίβασε τὸν τόνον· τῷ λόγῳ τῶν οὐδετέρων, καὶ τῷ λόγῳ τῶν κυρίων.

Ζητοῦμεν δὲ πῶς δεῖ ἀναγνῶναι λειώδης ἢ λειῶδες· εἰ τὰ εἰς ης σύνθετα ἔχοντα κλητικὴν εἰς ες ἀναβιβάζει τὸν τόνον, ὀφείλει ἀναγινώσκεσθαι λειῶδες· ἀλλὰ μὴ δῶμεν αὐτὸ σύνθετον· ἀλλὰ παράγωγον· σχηματίζουσι δὲ αὐτὸ τινὲς οὕτως· λεγωάδης, λειώδης ἐν συναλοιφῇ, ὃ τοῖς λαοῖς ἀρέσκει· ἐὰν οὖν τοῦτο δῶμεν, μέλλομεν ζητεῖν καὶ πλειᾶ· παρὰ τὸ λεῖον οὖν τὸ ἁπαλόν· ὡς καὶ ὁ ποιητὴς ὧδέ πη

μετὰ χεῖρας ἀνέλκων
ἀτρέπτους ἁπαλάς[m]·

λεῖος οὖν ὁ λειώδης. Πόθεν οὖν αὐτὸ δῶμεν παράγεσθαι, ἀπὸ γενικῆς[n] ἢ ἀπὸ πληθυντικῆς; ποτερὸν οὖν ὦ ὀνώδης[o] ἢ ὄνων ὀνώδης· ἔχομεν ἀποδεῖξαι ὅτι ἀπὸ γενικῆς· ἀλλ' οὐ περὶ

[l] Τιμαφέρνην Cod. et sic in reliquis. [m] Locus ex Od. Φ. 150. desumptus, ubi autem sic legitur

πρὶν γὰρ κάμε χεῖρας ἀνέλκων,
ἀτρίπτους, ἁπαλάς.

[n] Leg. vid. ἑνικῆς. [o] Leg. ποτερὸν ὄνου ὀνώδης.

τούτου οὖν λειώδης[p]· ὕδατος, ὑδατώδης· βοὸς, βοώδης· τούτων αἱ αἰτιατικαὶ προπερισπῶνται· βοῶδες· ὀνῶδες· ὑδατῶδες· τέτραπται δὲ λειῶδες[q]· ἀφορμὴν δέδωκεν ὅτι παρώνυμος ἡ ἔννοια παρὰ τῷ ποιητῇ· τὸ δὲ τῆς γενικῆς διατί Εὐρυσάκης, Εὐρυσάκους; ὅτι τὰ εἰς ης παρὰ τὰ εἰς ος οὐδέτερα, εἰς ους ἡ γενική· ἐνθὰ δὲ οὐκ ἐστὶ τόνος, ἀλλὰ περιείληπται· καὶ ὀξύτονα, καὶ βαρύτονα καὶ περισπώμενα· καθόλου γάρ ἐστι· κακοήθης, κακοήθους· εὐτελὴς, εὐτελοῦς· Διογένης, Διογένους· κατὰ τὸ Εὐρυσάκης, Εὐρυσάκους· τὸ μέντοι Εὐφράτου[r] παραλογῆται, καὶ τὸ Κλεάνθους· τὰ γὰρ εἰς ης σύνθετα παρὰ τὰ εἰς ας οὐδέτερα γινόμενα, εἰ μὴ χαρακτὴρ κωλύῃ, διὰ τὸ ἐπὶ γενικῆς εἰς ους· εἴπομεν εἰ μὴ χαρακτὴρ κωλύῃ, διὰ τὸ ἀμέλης[s] ἀμέλητος, παρὰ Πλάτωνι· καὶ τὸ ἀμέσης, ὅ ἐστι κατὰ στέρησιν· ὑπεσταλμένου δὲ χαρακτῆρος ἐστὶ τὸ ἀλιθέρσης· σεσημειώμενον καὶ τὸ ἀγκυλοχείλης, καὶ τὸ παρ' Ἀττικοῖς δωδεκε......ὀφείλει δωδεκὲψ οὐ γὰρ περὶ τὸν νοῦν νῦν ἐστι. Εἴρηται............μεταποιοῦσι γὰρ τὰ εἰς ης καταλήγοντα εἰς ες· πολλάκις γὰρ ἡ χρῆσις ἐπὶ κυρίων· σπανίως καὶ ἐπὶ προσηγορικῶν, ὡς ἐπὶ τοῦ δωδεκαὶ καὶ δρυπέται· δίδυμος· καὶ ἐπὶ τοὺς............οὐκ ἔστι παρὰ τὸ χεῖλος. ἀλλὰ...............ὥσπερ τῷ κόμῃ ἀκηρεκόμης,........... οὕτως χείλη, ἀγκυλοχείλους. Βοιω........... τραπείσης τῆς ει διφθόγγου· εἰς τὸ......θείκα, τέθεικα. Ζητοῦμεν δὲ......... ἡ κτεώτεσσι[t] δοτικὴ πληθυντική· λέγομεν ὅτι ἐστὶν εὐθεῖά τε κτεάτον, κτεάτο[u]· ὡς πρόβατον προ...

p ἠλειώδης Cod. q ἠλειῶδες Cod. r εὐρυφράτου Cod. s μελης Cod. t Leg. πόθεν ἡ κτεάτεσσι. u Leg. κτεάτου.

ΗΡΩΔΙΑΝΟΥ

ΠΕΡΙ

ΤΩΝ ΖΗΤΟΥΜΕΝΩΝ ΚΑΤΑ ΠΑΣΗΣ ΚΛΙΣΕΩΣ ΟΝΟΜΑΤΟΣ[a].

ΠΟΛΛΩΝ σφαλλομένων κατὰ κλίσιν δοτικῆς πτώσεως καὶ τοῦ ὀνόματος· καὶ τῶν μὲν λεγόντων τοῖς συγγενεῦσι, τῶν δὲ τοῖς συγγενεῖσιν, ἀναγκαῖον εἰπεῖν ὅσα κλιτέον. Οὔτε οὖν συγγενεῦσιν, ἐπεὶ μή ἐστιν ὀνομαστικὴ ὁ συγγενής· μόνα γὰρ τὰ διὰ τῆς ευ διφθόγγου ἐκφερόμενα[b] ἐπὶ[c] τῆς ὀνομαστικῆς, ταῦτα τηρεῖται τὴν ευ δίφθογγον καὶ ἐπὶ τῆς δοτικῆς· οἷον, ὁ ἱππεὺς, τοῖς ἱππεῦσι· καὶ ὁ ἀριστεὺς, τοῖς ἀριστεῦσιν· ἐνταῦθα δὲ οὐκ ἔστι συγγενεύς· διὰ τοῦτο οὔτε συγγενεῦσιν, ἢ συγγενεῖσι· μόναι γὰρ αἱ ἀπὸ τῶν εἰς μι ληγόντων ῥημάτων μετοχαὶ διὰ τῆς ει[d] κλίνονται· οἷον τίθημι, τοῖς τιθεῖσιν· σύνειμι, τοῖς συνεῖσιν. οὔτε οὖν τοῖς συγγενεῖσιν, οὐ γάρ ἐστιν ἀπὸ ῥήματος[e], ὥσπερ τίθημι, τοῖς τιθεῖσι· μόνως ἄρα κλιτέον[f] τοῖς συγγενέσι, λόγῳ τοιούτῳ[g]· ὅσα τῶν ὀνομάτων ἔστι σύνθετα, παρ' οὐδέτερον ὄνομα[h] συγκείμενα, τὴν αὐτὴν ἕξει[i] κλίσιν, ὥσπερ καὶ αὐτὰ τὰ οὐδέτερα· τοιοῦτόν ἐστι καὶ τὸ συγγενὴς παρὰ τὸ γένος συγκείμενον. ὥσπερ[k] ἀπὸ τοῦ γένους ἡ πληθυντικὴ δοτικὴ τοῖς γένεσι γίνεται[l], οὕτω καὶ ἀπὸ ὁ[m] συγγενὴς, τοῖς συγγένεσι.

Ἔτι ἁμαρτάνουσιν οἱ λέγοντες τὸ θηλυκὸν τὴν εὐγενίδα, καὶ

[a] E Cod. Barocc. 76. f. 355. Cod. Bibl. Laurent. Medic. Plut. VI. XXII. Band. Catal. t. I. p. 144. Ἡρωδιανοῦ τῶν ζητουμένων κατὰ κλίσιν παντὸς τοῦ λόγου μερῶν. Hermann. de Emend. Rat. Gr. Gramm. p. 301. Αἰλίου Ἡρωδιανοῦ περὶ ἡμαρτημένων λέξεων. [Invenitur quoque in Cod. Gr. N°. 66. de la premiere Chambre des Titres, multo correctius, ita ut ex illo Codice emendari possit hæc editio. Cf. quoque Cod. Par. Reg. N°. 3027. f. 88—96. Bast.]

[b] γραφόμενα Reg. [c] ἐπὶ abest a Cod. supplevi e Band. [d] τῆς ι Barocc. [e] ὁ γὰρ ἀπὸ ῥημ. Barocc. [f] κλιτέον οὖν Reg. [g] τοιῷδε Reg. [h] οὐδετέρου ὀνόματος Reg. [i] ἔχει Herm. [k] ὥσπερ οὖν Herm. [l] ἐστὶ Herm. [m] τοῦ Herm.

συγγενίδα· δέον, ὥσπερ ὁ εὐγενὴς, καὶ ἡ εὐγενὴς, καὶ ὁ συγγενὴς, καὶ ἡ συγγενής· κοινοῦτε ὄντος τοῦ ὀνόματος, ὥσπερ ὁ εὐτυχὴς, καὶ ἡ εὐτυχὴς, τὸν εὐτυχῆ, καὶ τὴν εὐτυχῆ, οὐ τὴν εὐτυχίδα· οὐδ' ἄρα[n] *οὐδὲ τὴν εὐγενίδα, οὐδὲ τὴν συγγενίδα· ἀλλὰ μόνως τὴν εὐγενῆ καὶ συγγενῆ· καθάπερ καὶ τὸ ἀρσενικὸν, ὥς που καὶ* Μένανδρος,

Κρωβύλῃ[o]
τῇ μητρὶ πείθου, καὶ γάμει τὴν συγγενῆ.

Ὁμοίως ἁμαρτάνουσιν[p] *οἱ τὰ ἡμίση λέγοντες, δέον τὰ ἡμίσεα, λόγῳ τοιούτῳ· τὰ τριγενῆ τῶν ὀνομάτων, ἐπὶ τῶν οὐδετέρων διαιρεῖται· οἷον, οἱ γλυκεῖς· αἱ γλυκεῖαι, τὰ γλυκέα· καὶ οἱ ὀξεῖς, αἱ ὀξεῖαι, τὰ ὀξέα· οὕτως ἄρα*[q] *καὶ οἱ ἡμίσεις, αἱ ἡμίσειαι, τὰ ἡμίσεα· καὶ τὸ ἑνικὸν, τοῦ ἡμίσεος, ὡς τοῦ ὀξέος, καὶ τοῦ γλυκέος· ἁμαρτάνουσιν οὖν οἱ λέγοντες τοῦ ἡμίσους καὶ τὰ ἡμίση, δέον λέγειν τὰ ἡμίσεα καὶ τοῦ ἡμίσεος.*

Εἰσὶν οἱ σφάλλονται περὶ τὴν γενικὴν, λέγοντες τῆς ξύστρης, καὶ τῆς γεφύρης, δέον διὰ τοῦ α, τῆς ξύστρας, καὶ τῆς γεφύρας, λόγῳ τοιούτῳ· πάντα ὅσα τῷ ρ παραλήγεται ὀνόματα, φυλάττει τὸ α ἐπὶ πασῶν τῶν πτώσεων· οἷον, σφαῖρα, σφαίρας· ἑταίρα, ἑταίρας[r]*· οὕτω ἄρα*[s] *ξύστρα, ξύστρας· καὶ γεφύρα, γεφύρας· συμβέβηκε καὶ ἐπὶ τῆς διὰ καθαροῦ τοῦ α ἐκφερομένου· καὶ γὰρ ταῦτα φυλάττει τὸ α ἐπὶ πασῶν τῶν πτώσεων· οἷον,* Μήδεια, Μηδείας· Σθενέβοια, Σθενεβοίας. Τὰ *δὲ μήτε διὰ τοῦ α ἐκφερομένα καθαροῦ, μήτε τῷ ρ παραληγόμενα, ἀλλὰ ἄλλῳ τινὶ συμφώνῳ, πάντως τρέπεται εἰς τὸ η· οἷον μέλισσα, μελίσσης· θάλασσα*[t]*, θαλάσσης· τούτων δὲ οὕτως ἐχόντων, ζητεῖται πῶς ἡ Λήδα διὰ τοῦ α κλίνεται· καίτοι οὔτε διὰ καθαροῦ τοῦ α ἐκφέρεται, οὔτε τῷ ρ παραλήγεται· ἀλλὰ τῷ δ· πῶς οὖν ἐφύλαξε τὸ*[u] *α τῆς Λήδας; λέγομεν οὖν, ὅτι ἐκτείνεται ἡ τελευταία συλλαβὴ τῆς Λήδας· πάντα δὲ τὰ ἐπὶ*

[n] *οὐκ ἄρα* Herm. [o] Bene habet forma Κρωβύλῃ Lettre Crit. p. 204. Valcken. ad Ammon. p. 125. et 206. Bast. [p] *ἁμαρτάνοντες* Band. [q] *οὕτως ἔδει* Herm. [r] *ἑτέρα, ἑτέρας* Band. [s] *ἐστὶ* Herm. *ἄρα* Barocc. et Cod. 66. Bast. [t] *θάλασσα* om. Cod. Barocc. et Band. [u] *ἐφύλαξε τὸ* Band. et Herm. *ἐφυλάξετο* Barocc.

τῆς τελευταίας συλλαβῆς ἐκτεινόμενα, πάντα φυλάττει τὸ α, ὁποίῳ συμφώνῳ ἂν παραλήγηται[v]*, οἷον φιλομήλα, φιλομήλας.*

Ἔτι ἁμαρτάνουσιν οἱ λέγοντες τοῦ ταμία, δέον τοῦ ταμίου[w]*. μόνως γὰρ τὰ ὑπὲρ δύο συλλαβὰς εἰς ας λήγοντα ἢ εἰς ρας πάντως τὴν γενικὴν εἰς ου τρέπει*[x]*, οἷον* Μειδίας, Μειδίου· Διαγόρας, Διαγόρου· *οὕτως ἄρα καὶ ταμίας, ταμίου.*

Εἰσὶν *οἱ σφάλλοντες τὴν γενικὴν, λέγοντες τοῦ νοὸς, καὶ τοῦ ῥοὸς, δέον τοῦ νοῦ, καὶ τοῦ ῥοῦ. οὐ γάρ ἐστιν ὅμοια τῷ βοῦς, τοῦ βοὸς, καὶ τῷ*[y] *ποῦς, τοῦ ποδός· ὅθεν οὖν σφάλλονται, ἔστιν ὁ λόγος τοιοῦτος*[z]*. ὅσα τῶν ὀνομάτων διαίρεσιν ἐπιδέχεται ἐν τῇ ὀνομαστικῇ, ταῦτα ἐν ταῖς ἄλλαις πτώσεσιν οὐκέτι διαιρεῖται· οἷον ὁ*[a] *νοῦς διαιρεῖται, νόος γάρ ἐστι, καὶ ὁ ῥοῦς, ῥόος γάρ· οὐκοῦν ταῦτα πάντα, ἐπὶ τῶν ἄλλων πτώσεων οὐκέτι διαιρεθήσεται, ἀλλὰ συσταλήσεται, οἷον ὁ νοῦς, τοῦ νοῦ· ὁ ῥοῦς, τοῦ ῥοῦ. ὁ δὲ βοῦς, ἐπεὶ μὴ δύναται ἐπὶ τῆς ὀνομαστικῆς διαιρεῖσθαι, ὁ βόος γὰρ οὐ λέγεται, διὰ τοῦτο ἐπὶ τῶν ἄλλων πτώσεων διαιρεῖται· τοῦ βοὸς, τῷ βοΐ· ὁμοίως καὶ ὁ ποὺς ἐπεὶ μὴ διαιρεῖται· ὁ πόος γὰρ μηδέν ἐστι*[b] *διὰ τοῦτο ἐπὶ τῶν ἄλλων διαιρεῖται πτώσεων, τοῦ ποδὸς καὶ τῷ ποδί.*

Ἔτι ἁμαρτάνουσιν οἱ λέγοντες, νήστης[c] *εἰμί· λέγειν οὖν δέον νῆστις*[d]*· συμβαίνει γὰρ ὅμοιοι*[e] *τῷ νήστης ὁ κλώστης, καὶ ἀπὸ τοῦ νήθω τὸ κλώθω, μόνως οὖν ὁ νῆστις· κοῖνον γὰρ τοὔνομα, λόγῳ δὲ τούτῳ· πρῶτον*[f] *μὲν οὐκ ἔστιν ὅμοιος ἐκείνοις, ὡς ἀπὸ τοῦ νήθω, νήστης· νήστω γὰρ οὐκ ἔστιν· ἐπεὶ ἂν ἦν καὶ ὁ νήστης εἰ τοιαύτη χρῆσις ἦν, μόνως γὰρ ὁ νῆστις οἱ* Ἀττικοὶ λέγουσι, *καὶ* Ὅμηρος *δὲ εἰπὼν*

νήστιας ἀκμηνοὺς (Il. T. 207.)

ἔδειξεν ὅτι νῆστις ἐστίν· εἰ γὰρ ἦν νήστης, εἶπεν ἂν νήστας, τοῦ μέτρου ἐγχωροῦντος.

[v] *παραλήγωνται* Herm. qui mox om. *φιλομήλας.* [w] Cf. Philemon Lex. MS. v. *Ταμίας*, et Thom. Mag. v. *Ταμίαν* Bast. [x] *τρέπουσιν* Herm. [y] *τὸ* Barocc. [z] *ὅθεν σφάλλονται. ἔστιν οὖν ὁλ. τ.* Herm. [a] *ὁ* om. Band. *διαιρεῖται* om. Herm. [b] *ὁ πόος γ. οὐ λέγεται* Herm. [c] *νῆστις* Barocc. et Band. [d] *νήστης* Band. [e] Herm. corr. *ὅμοιον ὄν.* [f] *πρῶτος* Band.

Ζητεῖται πότερόν ποτε ἡ[g] αὔξη καλεῖται περισπωμένως ἢ βαρυτόνως· οἱ μὲν ἀξιοῦσι καλεῖν καὶ[h] περισπᾶν αὐξῆ, ὡς αὐλῆ καὶ αὐδῆ· λέγομεν δὲ ὅτι οὐ δύναται· οὐδὲ γὰρ τὸ ῥῆμα ἔστιν αὐξῶ· λέγομεν οὖν[i], ὅτι τρία ταῦτα ὁμοίως λέγεται· αὔξη, καὶ βλάστη, καὶ ἄνθη· ἐπεὶ παρεσχημάτισται αὐτοῖς αὔξησις, βλάστησις, ἄνθησις· τὸν αὐτὸν οὖν ἕξει καὶ ταῦτα τόνον· οὐ περισπώμενα ἀλλ' ἀναβιβαζόμενα· αὔξη· βλάστη· ἄνθη.

Ὁμοίως πλημμελοῦσιν οἱ λέγοντες ἀπὸ τοῦ ἄνθη[k] τὴν γενικὴν τῶν πληθυντικῶν[l] τῶν ἀνθῶν· ὡς βέλη, τῶν βελῶν· καὶ τὰ γένη, τῶν γενῶν· ἀλλὰ τὰ μὲν ἄλλα περισπᾶται ὁμολογουμένως, τὰ δὲ ἄνθη οὐκέτι τῶν ἀνθῶν, ἐπειδὴ ἄλλό τι ἐμφαίνεται[m] οἷον "ἀνθ' ὧν ἔδωκας, ἀνθ' ὧν ἔγραψας·" ὅθεν τοῦτο μόνον διαιρεῖται τῶν ἀνθέων, ὡς καὶ οἱ παλαιοὶ κέχρηνται.

Ὁμοίως σφάλλονται περὶ τὴν γενικὴν πτῶσιν τοῦ Ὀλυμπιονίκου καὶ τοῦ Πολυνείκους, ὅτι μὴ ὁμοίως κλίνεται· ἀλλ' ὁ μὲν Πολυνείκης μετὰ τοῦ σ· ὁ δὲ Ὀλυμπιονίκης ἄνευ τοῦ σ, Ὀλυμπιονίκου. λέγομεν οὖν, ὅμοια εἶναι[n] τῷ σύνθετα καὶ ἀμφότερα· οὐ μὴν ὁμοίως σύγκειται, ὡς τὸ νεῖκος, τοῦ νείκους[o], οὕτω Πολυνείκης, Πολυνείκους· ὁ δὲ Ὀλυμπιονίκης οὐκέτι παρ' οὐδέτερον ὄνομα σύγκειται, ἀλλ' ἀεὶ θηλυκὸν[p], τὴν νίκην· ὅθεν οὐκέτι προσλαμβάνει ἐπὶ τῆς γενικῆς τὸ σ· πῶς οὖν οὐχ Ὑπερείδους λέγομεν τὴν γενικὴν, ἀλλ' ἄνευ τοῦ σ. Ὑπερείδου, καίτοι τὸ εἶδος, τοῦ εἴδους λέγομεν; φαμὲν οὖν ὅτι εἰ καὶ παρ' οὐδέτερον μάλιστα σύγκειται τὸ εἶδος, ὅμως οὐ προσλήψεται τὸ σ, ἐπειδὴ τύπον ἔχει πατρωνυμικοῦ Ὑπερείδης, ὡς Ἀτρείδης καὶ Πηλείδης· ὥσπερ οὖν τὰ πατρωνυμικὰ πάντα ἐπὶ τῆς γενικῆς[q] ἄνευ τοῦ σ κλίνεται· οὕτω καὶ τοῦτο τύπον ἔχον πατρωνυμικοῦ, ὡς Ἀτρείδης, Ἀτρείδου, καὶ Πηλείδης, Πηλείδου.

Ἔτι[r] ἁμαρτάνουσιν οἱ γράφοντες νῆσσος διὰ δύο σσ, ὡς

[g] εἰ Barocc. et Band. [h] καλεῖν καὶ om. Herm. [i] ἰστέον οὖν Reg. [k] τὰ ἄνθη Herm. [l] τῶν πληθ. om. Herm. [m] ἐμφαίνει Herm. [n] ὅτι δοκεῖ μὲν ὅμοια αὐτῷ σ. εἶναι ἀμφ. Herm. [o] νίκους Barocc. [p] ἐστὶ θηλ. Herm. [q] γενικῆς deest in Cod. Barocc. [r] ἔτι om. Band. et Herm.

θάλασσα καὶ μέλισσα· μόνα γὰρ ταῦτα διότι μεταβάλλονται[s], οἷον, μέλιττα· ἃ δὲ μὴ δύνανται μεταβάλλεσθαι εἰς δύο ττ, δηλονότι[t] οὐδὲ διὰ τῶν δύο σσ γραπτέον, ὥσπερ καὶ Ὀδυσσεὺς, δῆλον μὲν, ὅτι ἔχει ἐκφώνησιν διὰ[u] τῶν δύο σσ, γράφεται καὶ διὰ τοῦ ἑτέρου.

Ζητεῖται, πῶς γραπτέον τὸ Σμύρνα· ἐπειδὴ πολλοὶ ἁμαρτάνουσι, γράφοντες διὰ τοῦ ζ. οὐδέποτε γὰρ πρὸ τοῦ μ τὸ ζ γραπτέον, δι' αἰτίαν τοιαύτην· διπλοῦν γὰρ ὂν τὸ ζ καὶ συνεστὸς ἐκ β συμφώνων, τοῦ τε σ καὶ τοῦ δ, οὐ δύναται μετὰ τοῦ μ πίπτειν· τρία γὰρ σύμφωνα ὁμοῦ τάττεσθαι οὐ δυνατὸν[v], εἰ μὴ ἄρα μετὰ τοῦ ρ, ὃ ἔχει τινὰ πλείονα οἰκειότητα πρὸς τὰ φωνήεντα· οἷον, βάκτρον· τὸ δὲ στλεγγὶς οὐ γ[w] σύμφωνον ἔχει ἄνευ τοῦ ρ[x].

Ζητεῖται, πῶς σχῆμα μὲν λέγομεν χωρὶς τοῦ ι· σχῦς δὲ οὐ λέγεται, καὶ σχᾶς ἄνευ τοῦ ι[y]· λέγομεν οὖν ὅτι οὐδὲ μονοσύλλαβον ὄνομα εἶναι δύναται ἀπὸ δύο συμφώνων στεῤῥῶν ἀρχόμενον· ὅθεν σχῦς, οὐδὲ σχᾶς μονοσυλλάβως, ἀλλὰ μετὰ τοῦ ι, ἰσχὺς καὶ ἰσχάς. Πῶς οὖν γρὺψ λέγομεν, καὶ κλεὶς, καὶ κλὼψ[z] μονοσυλλάβως; καίτοι ταῦτα ἀπὸ δύο συμφώνων ἄρχεται· λέγομεν οὖν, οὐκ ἀπὸ στεῤῥῶν συμφώνων ἄρχεται ταῦτα, ὡς ἔφαμεν, συνέζευκται δὲ αὐτοῖς πάντως τὶ τῶν ὑγρῶν[a] καὶ ἀμεταβόλων· οἷον τῷ μὲν γρὺψ τὸ ρ· τῷ δὲ κλὼψ τὸ λ. δοκεῖ δὲ ἀντιπίπτειν τῷ κανόνι τὸ πτὼξ, τοῦτο γὰρ φασὶ, καὶ μονοσύλλαβόν ἐστι, καὶ ἀπὸ στεῤῥῶν ἄρχεται συμφώνων, τοῦ τε π', καὶ τοῦ τ'. λέγομεν οὖν πρὸς τοῦτο, ὅτι οὐκ ἔστιν οὐδ' αὐτὸ μονοσύλλαβον, ἀλλὰ συνῄρηται ἀπὸ τοῦ δισυλλάβου τοῦ πτόωξ[b] εἴρηται δὲ[c] παρὰ τὸ πτοεῖσθαι. Ἔτι δὲ ἀντιπίπτει πολλὰ, οἷον σφὴξ, φθεὶρ, φθοῖς· διὰ τοῦτο ἄμεινον λέγειν τὰ ἀπὸ σ' καὶ τοῦ χ ἀρχόμενα μονοσύλλαβα μὴ δύνασθαι εἶναι, ἀλλὰ προσλαμβάνει τὸ ι, οἷον ἰσχάς.

[s] ἅ τινα μεταβάλλεται, οἷον θάλαττα Herm. [t] δῆλον ὅτι Bast. [u] καὶ Barocc. [v] ἀδύνατον Herm. [w] λ. Band. [x] Ultim. om. Herm. [y] ἰσχὺς δὲ λέγ. καὶ ἰσχὰς μετὰ τοῦ ι Herm. [z] κὼψ Barocc. [a] ἀγρῶν Barocc. [b] πτοὼξ Barocc. [c] πτόωξ γὰρ εἴρηται Reg.

Ἔτι ἁμαρτάνουσιν οἱ λέγοντες τὴν δοτικὴν ταῖς χειρσὶ[e], δέον ἄνευ τοῦ ι ταῖς χερσὶ λέγειν· καί τοι τῆς ἄλλης ἁπάσης κλίσεως τοῦ ὀνόματος τὴν δίφθογγον ἐχούσης, οἷον ἡ χεὶρ, τῆς χειρὸς, τῇ χειρὶ, τὴν χεῖρα· καὶ τῶν δυϊκῶν ὁμοίως, καὶ τῶν πληθυντικῶν ἐχόντων τὴν δίφθογγον, διὰ τοῦ ε μόνου κλίνεται, ταῖς χερσὶν, ἡ δοτικὴ πληθυντικὴ, μόνη γὰρ οὐκέτι ἔχει τὴν δίφθογγον· λέγομεν οὖν[f] ὅτι αἱ μὲν ἄλλαι πτώσεις, ἐφύλαξαν τὴν δίφθογγον διὰ τὸ φωνῆεν ἐπιφέρεσθαι μετὰ τοῦ ρ[g], χειρὶ, χεῖρα, καὶ χειρῶν· ἐνταῦθα δὲ συμφώνου ἐπιφερομένου τοῦ σ, οὐκέτι ἡ δίφθογγος ἔμεινε χειρσὶν, ἀλλ' ἀφαιρεθέντος τοῦ ι, ἐῤῥήθη χερσί· ἀντίκειται τῷ κανόνι τὸ φθειρσὶν, ὅτι καὶ τοῦ σ ἐπιφερομένου ἡ δίφθογγος ἔμεινε· μόνως οὖν ῥητέον ταῖς χερσί[h].

Ἔτι πλημμελοῦσιν οἱ λέγοντες ὑγεία τρισυλλάβως, δέον ὑγίεια τετρασυλλάβως· μόνως γὰρ οὕτως οἱ ἀρχαιοὶ εἰρήκασιν· ὡς ἐν τῇ κωμῳδίᾳ

αὗται γὰρ ἐπιθυμοῦσιν ὑγιείας τυχεῖν[i].

Ἔτι πλημμελοῦσιν οἱ διαιροῦντες τὸ μυΐα, υἱὸς, τρισύλλαβον· δεῖ γὰρ ἀμφότερα συναιρεῖν λόγῳ τοιούτῳ· ὅτι τὸ ι μετὰ τοῦ υ ταττόμενον οὐδέποτε διαιρεῖται, οὐδὲ χωρίζεται κατ' αὐτό· ἀλλὰ τὸ υ συνεκφωνεῖται, καὶ γίνεται μία δίφθογγος ἡ υι· οὐκοῦν αἴθυια μὲν τρισύλλαβον καὶ ἅρπυια[k], μυία δὲ καὶ υἱὸς δισύλλαβα[l].

Ἁμαρτάνουσιν οἱ λέγοντες Ἀπελλοῦς καὶ Ἑρμοῦς· καὶ Ἀπελλῆ, καὶ Ἑρμῆ τὴν αἰτιατικὴν, δεὸν μετὰ τοῦ ν[m], τὸν Ἀπελλῆν, τὸν Ἑρμῆν· τὴν δὲ γενικὴν χωρὶς τοῦ σ, τοῦ Ἀπελλοῦ, καὶ τοῦ Ἑρμοῦ λόγῳ τοιούτῳ· ὅτι πάντα τὰ εἰς ης λήγοντα ἀρσενικὰ δισύλλαβά τε καὶ τρισύλλαβα μόνον κύρια καὶ ἁπλᾶ, ἐπὶ μὲν τῆς γενικῆς ἀποβάλλει τὸ σ· οἷον, Ἑρμῆς Ἑρμοῦ· Ἀπελλῆς, Ἀπελλοῦ· ἐπὶ δὲ τῆς αἰτιατικῆς προσλήψεται τὸ ν· οἷον τὸν Ἑρμῆν, τὸν Ἀπελλῆν· τὸν εὐτυχῆ

[e] Cod. Barocc. χερσι, ι recentiori manu et miniato post ε inserto.
[f] δὲ Band. [g] ἐπιφ. τὸ ρ. Barocc. [h] Ab ἀντίκειται usque ad χερσὶ om. Barocc. [i] Omnia post εἰρήκασιν omm. Barocc. et Band.
[k] ἕρπυια Barocc. et Band. [l] Sic Barocc. δισυλλάβως Band. δισύλλαβον Herm. [m] μετὰ τοῦ ν. om. Herm.

μέντοι καὶ τὸν εὐγενῆ χωρὶς τοῦ ν. σύνθετα γάρ ἐστι, καὶ πάντα κύρια[n]. μόνως ἄρα[o] ἐροῦμεν τὸν Ἀπελλῆν καὶ τὸν Ἑρμῆν· τοῦ Ἀπελλοῦ καὶ τοῦ Ἑρμοῦ[p].

[q]Ἔτι ἁμαρτάνουσιν οἱ λέγοντες Σεραπεῖον, Ἀσκληπεῖον· οὐ γάρ ἐστιν ὅμοια· ὅθεν Ἀσκληπεῖον μὲν ἐροῦμεν, Σεραπεῖον δὲ οὐ, ἀλλὰ Σεραπίδιον λόγῳ τοιούτῳ· ὅσα ἐπὶ τῆς γενικῆς διὰ τοῦ δος κλίνονται, ταῦτα καὶ ἐπὶ τοῦ κατηχητικοῦ[r] σχήματος τὸ δ φυλάξει. ἔστιν οὖν Σέραπις, Σεράπιδος· διὰ τοῦτο καὶ Σεραπίδιον ἐροῦμεν· καὶ Ἶσις Ἴσιδος· Ἰσίδιον οὖν ἐροῦμεν, ὡς καὶ Εὐριπίδης ἀπὸ τῆς Θέτιδος Θετίδιον εἶπε[s]

Θετίδιον αὔδα.

Ὁμοίως ἁμαρτάνουσιν οἱ λέγοντες Διονυσεῖον, ὡς Ἀσκληπεῖον· λόγῳ τοιούτῳ[t] ὅσα ἐπὶ γενικῆς ὀνόματα περισπᾶται, ταῦτα καὶ τοπικῶς σχηματιζόμενα περισπᾶται· ἐπεὶ οὖν Ἀσκληπιὸς Ἀσκληπιοῦ, Διόνυσος δὲ Διονύσου, καὶ Θησεὺς Θησέως, ἐπεὶ οὐ περισπᾶται, διὰ τοῦτο οὐκ ἐροῦμεν Θησεῖον, οὐδὲ Διονυσεῖον, ἀλλὰ Διονύσιον καὶ Θήσειον· τὰ μέντοι διὰ τῆς αι διφθόγγου ἐκφερόμενα οὐκέτι περισπᾶται, ἀλλ' ἀναβιβάζεται μόνον, Ἕρμαιον, Νύμφαιον.

Ἔτι ἁμαρτάνουσιν οἱ λέγοντες τοῖς πρόβασιν, ὡς ἅρμασι, τὴν δοτικὴν πτῶσιν, σφαλλόμενοι τῇ ὁμοιότητι· ὡς γὰρ ἀπὸ τοῦ ἅρματα, τῶν ἁρμάτων, τοῖς ἅρμασιν, οὕτως φασὶ καὶ ἀπὸ τοῦ πρόβατα, τῶν προβάτων, τοῖς πρόβασιν· οὐκ ἐννοήσαντες ὅτι ἀνόμοια εἰσὶν αὐτῶν τὰ ἑνικά· τὸ μὲν γάρ ἐστι τὸ ἅρμα, ὅθεν γίνεται τοῖς ἅρμασιν, ὡς τὰ πράγματα, τοῖς πράγμασιν· ἀπὸ δὲ τοῦ πρόβατον τοῖς προβάτοις γίνεται, ὡς ἀπὸ τοῦ κάρυον τοῖς καρύοις.

Ὁμοίως ζητεῖται καὶ ἡ δοτικὴ πῶς ῥηθήσεται τοῖς ὤτοις, ἢ τοῖς ὠσί. πάλιν γὰρ σφάλλονταί τινες τῇ ὁμοιότητι. ὥσπερ ἀπὸ τοῦ τὰ πλῆκτρα τῶν πλήκτρων, τοῖς πλήκτροις, οὕτω φασὶ καὶ ἀπὸ τοῦ τὰ ὦτα, τῶν ὤτων, τοῖς ὤτοις· ἁμαρτάνουσι δὲ,

[n] καὶ οὐ πάντως κυρ. Herm. [o] οὖν Reg. [p] Ult. om. Herm.
[q] Herm. p. 307. Art. XIX. His et quæ seq. usque ad p. 253, 10 carent Codd. Barocc. et Band. [r] Sic Reg. κατηχητικὰ Herm.
[s] Androm. v. 19. [t] Sic Reg. Herm. om. λόγῳ τοιούτῳ.

δέον ἀπιδεῖν εἰς τὴν ὀρθὴν τοῦ ὀνόματος, ὅτι οὐκ ἔστιν ἀλλήλοις ὅμοια· ὅθεν οὐδὲ ὁμοίαν ἔχειν ὀφείλει τὴν κλίσιν, ἀλλ' ἀπὸ μὲν τῆς τὸ πλῆκτρον εὐθείας, τοῖς πλήκτροις ἡ δοτικὴ γίνεται, ἀπὸ δὲ τῆς οὖς, τοῖς ὠσίν.

Ἁμαρτάνουσιν οἱ λέγοντες ἐπὶ τῶν τάφων ἡρῷον, δέον λέγειν ἠρίον, ὡς ὁ Καλλίμαχος·

παρὰ τίνος ἠρίον[u].

ἡρῷον δὲ λέγεται ἡ τοῦ ἥρωος εἰκὼν, ἢ τὸ τέμενος, ὡς Εὔπολις

ἡρῷον εἴπως μοι κομίσαιο τοῦ Λύκου.

Λύκος γὰρ ἥρως Ἀθηναῖος.

Ἔτι ἁμαρτάνουσιν οἱ λέγοντες φακῆν πρίασθαι, ἢ φακῆν σπείρειν· δέον λέγειν φάκους· οὕτω γὰρ καλεῖται ὠμὸν τὸ ὄσπριον, ὡς Εὔπολις·

τῇ νῦν καταδέχεσθαι[v] τοὺς φάκους.

τὸ δὲ ἑφθὸν μόνως[w] ῥητέον·

φακὴν ῥοφήσομαι.

Παραπλησίως ἁμαρτάνουσιν οἱ λέγοντες τὰς ὄρτυγας[x], δέον συστέλλειν[y] λόγῳ τοιούτῳ· ὧν γὰρ αἱ ὀνομαστικαὶ συνεσταλμένως ἔχουσι τὸ δίχρονον, τούτων καὶ αἱ αἰτιατικαὶ συσταλήσονται, οἷον, ὄνυξ, ὄνυξιν[z], ὄνυχας· οὕτως ἄρα καὶ τὸ ὄρτυξ, ὄρτυγας· καὶ πέρδιξ, πέρδικας, καὶ Ἄραψ, Ἄραβας, συνεσταλμένως ῥητέον.

Ὁμοίως σφάλλονται λέγοντες πινακὶς, καὶ κεραμὶς[a] ἐκτεταμένως, δέον συνεσταλμένως λόγῳ τοιούτῳ· πάντα, ὅσα παρ' ὄνομα γέγονε θηλυκὰ εἰς ις λήγοντα, συστέλλονται· οἷον θύρα, θυρίς· πίναξ, πινακίς· κέραμος, κεραμίς· πύξος, πυξίς[b]· μόνως οὖν ἐροῦμεν συνεσταλμένως πινακίδα· κεραμίδα· ὡς πυξίδα[c] καὶ θυρίδα·

Ἔτι ἁμαρτάνουσιν οἱ λέγοντες κορυφαιότατος, δέον μόνως

[u] Verba τὰ γὰρ τούτων, quæ post ἠρίον in suo codice exstare notat Herm. in Reg. Cod. desunt teste Bast. [v] κατάδεσθαι Herm. [w] μόνον Herm. [x] ἐκτεταμένως τὰς ὄρτυγ. Herm. [y] συνεσταλμένως Herm. [z] ὄνυξιν om. Herm. [a] f. leg. πίνακις—κέραμις. Cf. Anonym. de Barbarismo p. 196. ed. Valck. Bast. [b] πιξὶς Barocc. [c] πιξίδα Barocc.

λέγειν κορυφαῖος, λόγῳ τοιούτῳ· πρῶτον μὲν τῶν ἀρχαίων οὐδεὶς εἶπε κορυφαιότατος ἀλλὰ κορυφαῖος· ἄλλως καὶ ὁ κορυφαῖος ἐστὶν ὄνομα ὑπερθετικόν· οὐκ ἄρα ἐροῦμεν οὔτε κορυφαιότατος, οὔτε κορυφαιότερος, ἄλλα μόνως κορυφαῖος.

Ἔτι ἁμαρτάνουσιν οἱ λέγοντες φιλοπότης, δέον φιλοπώτης· διαφέρει δὲ ταύτῃ· φιλοπότης μὲν ὁ φιλῶν πότους καὶ συμπόσια, φιλοπώτης δὲ ὁ φιλῶν πολλὰ πίνειν.

Ζητεῖται πῶς[d] χρὴ λέγειν ἱέρεια προπαροξυτόνως, ἢ ἱερεία παροξυτόνως· ἔνιοι μὲν γὰρ ἀξιοῦσιν ὡς Ὀδυσσεὺς, Ὀδύσσεια, καὶ Ἀχιλλεὺς, Ἀχίλλεια, καὶ ἱερεὺς ἱέρεια, οὐκ ὀρθῶς· τοῦτο γὰρ ἕτερον ὀφείλει τόνον ἔχειν· ῥηματικὸν γάρ ἐστι, καὶ ὥσπερ ἀπὸ τοῦ ἀριστεύω ἀριστεία, καὶ ἰατρεύω, ἰατρεία, οὕτω καὶ ἀπὸ τοῦ ἱερεύω, ἱερεία· πρὸς τοῦτο φασὶν, ὅτι ἀριστεία καὶ ἰατρεία[e]· [πρὸς τοῦτο φασὶν[f]] τὸ ἔργον ἐμφαίνομεν, ὡς ἀπὸ ἀριστείας καὶ ἰατρείας· ἐὰν[g] φησὶν εἴπωμεν ἱερεία, τὸ ἔργον ἐμφαίνομεν, οὐ τὴν γυναῖκα· πρὸς τοῦτο λέγομεν, ὅτι ἑτέρως λέγεται τὸ ἔργον, ἱερωσύνη· οὐκοῦν τὴν γυναῖκα ἱερειάν ἐροῦμεν παροξυτόνως[h].

Ζητεῖται πῶς, τῶν διὰ τῆς ευ διφθόγγου προφερομένων ὀνομάτων φυλαττόντων τὴν ευ δίφθογγον ἐπὶ τῆς δοτικῆς, οἷον ὁ ἀριστεὺς, τοῖς ἀριστεῦσι, ὁ ἱππεὺς, τοῖς ἱππεῦσιν, ὁ Σιμωνίδης[i] ἐπέγραψεν

ἐπικίκοι δρομέσι

δέον τοῖς δρομεῦσιν, ὡς ἀριστεῦσι καὶ ἱππεῦσιν, οὕτω καὶ δρομεῦσιν· λέγομεν οὖν ὅτι οὐ πρὸς τὴν ὀρθὴν ἀπεῖδεν ὁ δρομεὺς, ἐπεὶ πάντως ἂν εἶπε τοῖς δρομεῦσιν, ἀλλὰ μόνως εἰς τὴν πληθυντικὴν ἀπεῖδεν· οἷον ὀξεῖς, τοῖς ὀξέσι, καὶ οἱ ταχεῖς, τοῖς ταχέσιν, οὕτω καὶ ἀπὸ τῆς οἱ δρομεῖς ἐπέγραψε τοῖς δρομέσι, δέον τοῖς δρομεῦσιν, ὡς ἱππεῦσιν.

Ἔτι πλημμελοῦσιν οἱ λέγοντες, τρίγλα, καὶ κίχλα, καὶ

[d] Quæ seq. non habet Herm. usque ad Ζητεῖται τὸ πῶν. [e] ἀριστεία καὶ ἰατρεία om. Band. [f] πρὸς τ. φασὶν male rep. Barocc. [g] ἐὰν οὖν Band. [h] προπαροξυτόνως Barocc. [i] σιμηνίδης Band. nescio an typothetæ errore.

ὀμίχλα, δέον λέγειν διὰ τοῦ η· τρίγλη καὶ κίχλη καὶ ὀμίχλη· οὐδὲν γὰρ ὄνομα θηλυκὸν τῷ λ παραληγόμενον εἰς α, ἀλλ' εἰς η· ὥσπερ πύλη, πύλης· κρωβύλη, κρωβύλης· ἀρβύλη, ἀρβύλης· οὕτως ἐροῦμεν καὶ ταῦτα.

Τὰ εἰς αι λήγοντα ἐπὶ τῆς ὀνομαστικῆς[k] πληθυντικῆς, ταῦτα ἐπὶ τῆς γενικῆς περισπᾶται· οἷον Πέρσαι, Περσῶν· καὶ τὰ παραπλήσια· πλὴν τριγενῶν, ξέναι, ξένων· φίλαι, φίλων· ἔστι γὰρ τριγενῆ, ὁ ξένος, ἡ ξένη, καὶ τὸ ξένον· ὁ φίλος, ἡ φίλη, καὶ τὸ φίλον· πῶς οὖν πόρναι, πορνῶν περισπῶμεν; καίτοι[l] καὶ αὐτὸ τριγενές ἐστιν· ὁ πόρνος, ἡ πόρνη, καὶ τὸ πόρνον, μειράκιον· λέγομεν οὖν, τοῦτο περισπῶμεν πρὸς ἀντιδιαστολὴν τοῦ ἄῤῥενος, καὶ πρὸς τὸ νοεῖσθαι, ὅτι περὶ θηλυκῶν ὁ λόγος, οὐκ ἀῤῥένων τῶν πόρνων.

Ζητεῖται τὸ πῶϋ, πῶς κλίνεται; φαμὲν οὖν, ὅτι ἀκολούθως τῷ μέθυ, μέθυος, μέθυϊ, καὶ[m] πῶυ, πώϋος, πώϋϊ· τούτου δὲ οὕτως ἔχοντος, ζητεῖται πῶς ὁ ποιητὴς τὴν ὀνομαστικὴν εἶπε,

πῶϋ μετ' οἰῶν[n]·

ὡς καὶ τὸ μέθυ· οὐκέτι μέντοι ἐπὶ τῆς πληθυντικῆς ὀνομαστικῆς[o] αἰτιατικῆς ἐφύλαξε τὸ υ μόνον, οὐδὲ εἶπε καὶ πώϋα, καὶ ταῦτα τοῦ[p] μέτρου χωροῦντος, ἀλλ' εἶπε,

καὶ πώεα καλά. (Il. Σ. 528.)

φαμὲν οὖν ὅτι ἀφ' ἑτέρας εὐθείας πεποίηκε τὴν αἰτιατικὴν, ἀπὸ τῆς πώας[q], ὡς τὸ κώας

παρ' δ' ἐτίθει δεῖπνόν[r] τε μέγα[s], καὶ κώας ἐπ' αὐτόν.

ὥσπερ οὖν ἀπὸ τῆς κώας ὀνομαστικῆς ἡ πληθυντικὴ αἰτιατικὴ γίνεται τὰ κῶα[t] εἶτα κατὰ διαίρεσιν κώεα, καὶ πὰρ αὐτῷ

κώεα καλὰ

οὕτω καὶ ἀπὸ τῆς πώας[u] γίνεται πῶα· εἶτα κατὰ συνήθη διαίρεσιν αὐτῷ[v] ὥς που ἔφη

καὶ πώεα μήλων.

[k] ὀνομαστικοῖς Barocc. [l] καίτοι om. Barocc. [m] οὕτως καὶ Herm. [n] πῶϋ μετιὼν Herm. [o] ὀνομαστικῆς om. Herm. [p] καί τοι τοῦ Herm. [q] πόας Barocc. [r] Herm. recte δίφρον Od. Φ. 177. [s] μέγα Cod. [t] τὰ κῶα om. Barocc. [u] πόας Barocc. [v] αὐτῶν Barocc. et Band.

Περὶ κλίσεως ῥημάτων τοῦ αὐτοῦ[w].

Εἰσὶν οἵ σφάλλονται λέγοντες δέδωκειν, ὡς ἐπεποιήκειν· παντὸς γὰρ παρακειμένου ῥήματος ἀπὸ συμφώνου ἀρχομένου ὁ ὑπερσυντελικὸς προσλαμβάνει τὸ ε· οἷον νένυχα ἐνενύχειν, καὶ βέβληκα, ἐβεβλήκειν· οὕτως καὶ ἀπὸ τοῦ δέδωκα ἐδεδώκειν.

Ἔτι ἁμαρτάνουσιν οἱ λέγοντες ζέζηκα καὶ πέψυχα, δέον διὰ καθαροῦ τοῦ ε λόγῳ τοιούτῳ· τρίων ὄντων διπλῶν ζ, ξ, ψ. πάντα τὰ ἀπό τινος τούτων ἀρχόμενα· οἷον ζῶ, ξηραίνω, ψύχω, ταῦτα ἐπὶ τοῦ παρακειμένου ἀποβάλλοντα τὸ διπλοῦν στοιχεῖον, ἀπὸ τοῦ ε ἄρχεται· οἷον ἀπὸ τοῦ ε[x] ἔζηκα· τοῦ ζ ἀποβληθέντος· καὶ ἀπὸ τοῦ ξηραίνω, ἐξήρακα, καὶ ἀπὸ τοῦ ψύχω, ἔψυχα διὰ καθαροῦ τοῦ ε. Ὥσπερ δὴ ταῦτα ἀπὸ διπλῶν ἀρχόμενα ἀποβάλλει τὸ διπλοῦν ἐπὶ τοῦ παρακειμένου, καὶ διὰ καθαροῦ τοῦ ε ἐκφέρεται, οὕτω καὶ τὰ ἀπὸ στεῤῥῶν[y] συμφώνων ἀρχόμενα, ὥσπερ τὸ πτύσσω ἀπὸ τοῦ π καὶ τοῦ τ ἀρξάμενον[z] ἐπὶ τοῦ παρακειμένου, διὰ τοῦ ε καθαροῦ· οἷον ἔπτυχα[a] καὶ φθονῶ ἐφθόνηκα, καὶ οὐ πεφθόνηκα[b]· καὶ γὰρ αὐτὸ[c] ἀπὸ δύο συμφώνων ἄρχεται, τοῦ φ καὶ τοῦ θ. Τούτων δὲ[d] οὕτως ἐχόντων ζητεῖται πῶς τοῦ πλήσσω καὶ κρίνω ἀπὸ δύο συμφώνων ἀρχομένων, καὶ αὐτῶν[e] οὐκέτι ὁ παρακείμενος ἀπὸ καθαροῦ τοῦ ε ἄρχεται ἀλλὰ μετὰ συμφώνου τοῦ κ, οἷον κέκρικα, καὶ τοῦ π, οἷον πέπληχα[f]· λέγεται οὖν ὁ λόγος, ὅτι τὰ ἀπὸ δύο συμφώνων στεῤῥῶν ἀρχόμενα, ταῦτα ἀποβάλλει τὸ σύμφωνον ἐπὶ τοῦ παρακειμένου, καὶ ἀπὸ τοῦ ε ἄρχεται· τὸ δὲ πλήσσω καὶ κρίνω, εἰ καὶ δοκεῖ ἀπὸ δύο συμφώνων ἄρχεσθαι, ἀλλ' οὐ στεῤῥῶν ἀμφοτέρων· τὸ γὰρ λ ὑγρόν ἐστι καὶ ἀμετάβολον· ὁμοίως καὶ τὸ ρ· διὰ τούτου ὁ παρακείμενος οὐκέτι διὰ καθαροῦ τοῦ ε κλίνεται, ἀλλὰ μετὰ τοῦ συμφώνου[g], οἷον κέκρικα, πέπληχα.

[w] Sic Barocc. et Cod. 66. Bast. Herm. omni tit. caret et iis quæ seq. usque ad ἐδεδώκειν. τοῦ αὐτοῦ περὶ ῥήματος Band. [x] ἀπὸ τοῦ ζῶ Herm. [y] στερεῶν Herm. [z] Hic desinit Band. [a] ἔπτηκα Barocc. [b] ἐφθόνηκα ἐπεφθόνηκα Barocc. [c] αὐτὰ Barocc. [d] δὲ om. Herm. [e] καὶ αὐτ. ἀρχ. Herm. [f] καὶ πέπληκα. Barocc. [g] μετ. συμφώνων Herm.

* πλημμελοῦσιν οἱ λέγοντες ἠνέστην, δέον ἀνέστην μόνως· ὁ δὲ λόγος οὗτος, ὅσα τῶν ῥημάτων ἀπὸ προθέσεως ἄρχεται, φυλάττει τὴν πρόθεσιν ἐν πᾶσι τοῖς χρόνοις· οἷον καθίζω, ἀπὸ τῆς κατὰ προθέσεως ἀρξαμένου τοῦ ῥήματος, μένει ἡ πρόθεσις καὶ ἐν τοῖς ἄλλοις χρόνοις, οἷον καθεζόμην, οὐκ ἐκαθεζόμην, καὶ καθέζοντο, οὐκ ἐκαθέζοντο· οὕτως καὶ τὸ ἀνίσταμαι, ἀπὸ τῆς ἀνὰ προθέσεως ἀρχόμενον, φυλάττειν ὀφείλει, ἀνέστην, οὐκ ἠνέστην.

Ὁμοίως ἁμαρτάνουσιν οἱ λέγοντες, ῥέρανται καὶ ῥέρευκε, δέον ἔῤῥανται καὶ ἔῤῥευκε· τὸ γὰρ ρ οὐδέποτε ἀναδιπλασιάζεται[h].

Ὁμοίως ζητεῖται καὶ[i] ἀπὸ τοῦ περιπατῶ καὶ περισσεύω τίς ὁ παρατατικός· λέγομεν οὖν[k] ὅτι ἀπὸ τοῦ περιπατῶ περιεπατοῦν γίνεται[l], φυλαττομένης τῆς περὶ προθέσεως· τὸ δὲ περισσεύω οὐκέτι ἐστὶ σύνθετον· οὐδὲ ἐκ προθέσεως ἤρξατο· ἐὰν μὲν[n] γὰρ αὐτὸ διαλῦσαι πειραθῶμεν χωρὶς τὸ περὶ[o], οὐδέν ἐστιν, οὔτε αὐτὸ, οὔτε τὸ σ σεύω· ὅθεν ἐπεὶ μὴ ἔστι πρόθεσις, οὐκ ἔμεινεν ἐν τῇ κλίσει τοῦ ῥήματος, οὐδὲ ῥηθήσεται περιέσσευον, ἀλλ' ἐπερίσσευον[p] ἀπὸ τοῦ ε· περιεπάτουν δὲ ἀπὸ τῆς περὶ προθέσεως, οὐχ ὡς οἱ ἁμαρτάνοντες[q], ἐπεριεπάτουν, ἢ περιέσσευον[r].

Ζητεῖται τὸ ἕψω ῥῆμα πότερον περισπώμενόν ἐστιν, ἢ βαρύτονον· λέγομεν[s] οὖν, ὅτι ἁμαρτάνουσιν οἱ περισπῶντες τὸ ῥῆμα, ἑψῶ· εἰ γὰρ ἦν περισπώμενον τὸ ῥῆμα, ἦν ἂν ὁ παρατατικὸς ἥψουν· ὡς ἀπὸ τοῦ νοῶ, ἐνόουν, καὶ κρατῶ, ἐκράτουν, οὐδεὶς δὲ τῶν ἀρχαίων εἶπεν ἥψουν, ἀλλ' ἧψον, ὡς ἀπὸ τοῦ ἔχω εἶχον[t]· καὶ ἄγω, ἦγον[u]· οὐκοῦν βαρύτονον γίνεται τὸ ἕψω, ὥσπερ τὸ ἔχω καὶ τὸ ἄγω. δοκεῖ δὲ ἀντιπίπτειν τῷ κανόνι τῷ τὸν μέλλοντα περιττοσυλλαβεῖν[v] μιᾷ συλλαβῇ· ἑψήσω γάρ ἐστιν·

[h] His caret Herm. [i] καὶ om. Herm. [k] οὖν om. Herm. [l] ὡς ἔφαμεν add. Herm. [n] μὲν om. Herm. [o] χωρ. τὸ περὶ om. Herm. [p] ἐπερίσσευεν Barocc. [q] διαμαρτάνοντες Herm. [r] ἐπεριέσσευον Reg. [s] λέγουσιν Herm. [t] εἴχουν Barocc. [u] ἄγον, ἦγουν Barocc. [v] Herm. Cod. leg. περιττοσυλλάβως unde aliquid excidisse suspicabatur.

οὐκοῦν φασὶν ἀπὸ τοῦ ἕψω εἶναι ἑψήσω, ὡς ἀπὸ τοῦ κρατῶ, κρατήσω, πρὸς τοῦτο φαμὲν ὅτι βαρύτονον μέν ἐστι τὸ ῥῆμα, ὡς[f] δῆλον ἐκ τοῦ παρατατικοῦ, τοῦ ἧψον, ὡς εἶχον καὶ ἦγον· ὁ δὲ μέλλων διελύθη εἰς περιττοτέραν[g] συλλαβὴν, οὐχ ὡς ἀπὸ περισπωμένου τοῦ ῥήματος, ἀλλὰ διὰ τὴν αἰτίαν τοιαύτην. οἱ μέλλοντες κατὰ τὸ πλεῖστον διὰ τοῦ ξ ἢ ψ προφέρονται· οἷον ἀπὸ τοῦ λέγω, λέξω, καὶ ἀπὸ τοῦ γράφω, γράψω· ἐνταῦθα δὲ τὸ[h] ἕψω προειλημμένου τοῦ ψ, ἐξ ἀνάγκης ὁ μέλλων διελύθη εἰς πλείονας συλλαβάς· μόνως δὴ λέγεται ἕψω, καὶ οὐχ ἑψῶ.

Ἔτι πλημμελοῦσιν[i] οἱ λέγοντες ηὐξάμην καὶ ηὐχόμην, λόγῳ τοιούτῳ. Ὅσα ἀπὸ τῆς ευ διφθόγγου ἄρχεται ῥήματα, ταῦτα τηρεῖ τὴν ευ δίφθογγον καὶ ἐπὶ πάντων τῶν χρόνων· οὕτως ἄρα καὶ τὸ εὔχομαι φυλάξει[k] τὴν ευ δίφθογγον· τὰ δὲ ἀπὸ τῆς αυ ἀρχόμενα τρέπεται εἰς τὸ ηυ[l], οἷον αὐλῶ, ηὔλουν· αὐχῶ ηὔχουν· εὔχομαι δὲ εὐχόμην.

Ἔτι πλημμελοῦσιν[m] οἱ λέγοντες ἀφειλάμην, καὶ ἀφείλατο, δέον λέγειν διὰ τοῦ ο ἀφειλόμην, καὶ διὰ τοῦ ε ἀφείλετο· τοῦ γὰρ ἁπλοῦ ῥήματος ὄντος εἱλόμην, εἷλου[n], ἐξ ἀνάγκης τὸ σύνθετον ἐφύλαξε τὰ βραχέα, τό τε ε καὶ τὸ ο· μόνως οὖν ῥητέον, ἀφειλόμην, ἀφείλετο.

Ὁμοίως πλημμελοῦσιν οἱ λέγοντες ἀπήλαυσα[o], δέον μόνως διὰ τοῦ ε, ἀπέλαυσα[p]· ἐπὶ γὰρ τῶν ἀπὸ προθέσεως[q] ἀρχομένων[r], ἢ ὅταν μετὰ τὴν πρόθεσιν ᾖ[s] προαρχόμενον[t] τῶν ῥημάτων, τότε μετατραπήσεται εἰς η· οἷον ἀπὸ τοῦ ἀπάγω, ἀπῆγον· ὅταν δέ τι σύμφωνον ᾖ μετὰ τὴν πρόθεσιν, τότε πάντως εἰς τὸ ε τρέπεται· ἀποβάλλω, ἀπέβαλλον· καὶ ἀποπέμπω, ἀπέπεμπον· καὶ ἀπολαμβάνω, ἀπελάμβανον, οὕτως ἄρα καὶ ἀπολαύω, ἀπέλαυον· καὶ ἀπέλαυσα διὰ τοῦ ε μόνως ῥητέον.

Ζητεῖται πῶς ἀπὸ τοῦ ἀκούω ῥήματος ὁ παρακείμενος ἀκή-

[f] ὡς om. Herm. [g] περιασσότεραν Herm. [h] ἐν τῷ Herm. [i] ἁμαρτάνουσιν Herm. [k] οὕτως ἐστι καὶ τὸ εὐχόμην φυλάξειν Herm. Cod. qui φυλάξαν dedit. [l] η Barocc. [m] ἁμαρτάνουσιν Herm. [n] καὶ εἷλου Herm. [o] ἀπήλαυσα καὶ ἀπήλαυσε Herm. [p] ἀπέλαυσα καὶ ἀπέλαυσεν Herm. [q] προθέσεως Herm. [r] ῥημάτων add. Herm. [s] ᾖ om. Barocc. [t] προαρχομένων quod dab. Codd. corr. Herm.

κοα λέγεται· φαμὲν οὖν, ὅτι ἡ[u] ἀναλογία ἀπὸ τοῦ ἀκούω, τὸν παρακείμενον ἤκουκα ποιεῖ· ὡς ἀπὸ τοῦ ἀλείφω, ἤλειφα[v]· καὶ ἀπὸ τοῦ ἀλέθω[w], ἤλεκα· οἱ δὲ Ἀττικοὶ εἰώθασιν ἐν τοῖς τοιούτοις πολλάκις ἀναδιπλασιάζειν τὸ ῥῆμα ἐπὶ παρακειμένου[x]· οἷον ἤλειφα[y], ἀλήλιφα· καὶ ἤλεκα, ἀλήλεκα· οὕτω καὶ ἤκουκα καὶ[z] αὐτοὶ κατὰ ἀναλογίαν ἀναδιπλασιάζοντες ἀκήκοα λέγουσι· τὸν μέντοι ὑπερσυντελικὸν, ἐπὶ[a] μὲν τῶν ἄλλων διὰ τοῦ α, ἀληλέκειν, καὶ ἀληλίφειν[b]· ἐπὶ δὲ τούτου διὰ τοῦ η ἠκηκόειν. μόνως οὖν ῥητέον ἀκήκοα, ἠκηκόειν[c].

Ἁμαρτάνουσιν οἱ λέγοντες ἔζων ἐγὼ, δέον λέγειν ἔζην· μόνως γὰρ οὕτως ἡ χρῆσις εὑρίσκεται· ἐπεὶ καὶ τὸ δεύτερον καὶ τὸ τρίτον πρόσωπον ἐφύλαξε τὸ η· οἷον ἔζην, ἔζης[d], εὑρίσκεται παρὰ Ἀριστοφάνη διὰ τοῦ ω[e]·

καίτοι τότε[f] ἦν ἐγὼ ζῶν

καὶ δῶμεν αὐτῷ λόγον ἔχειν· εἰ γὰρ διαιρούμενόν ἐστιν ἔζωον, καὶ συναιρούμενον ἕξει τὸ ω, οἷον, ἔζωον, ἔζων, ὡς ἐπὶ τοῦ ἔπλωον, ἔπλων, καὶ τὸ σύνθετον

ἐπέπλων εὐρέα πόντον. (Hesiod. Opp. I. 648.)

Ὁμοίως πλημμελοῦσιν οἱ λέγοντες τὸ προστακτικὸν, πλεῖθι· καὶ ζῆθι[g], δέον λέγειν, σὺ ζῆ, καὶ σὺ πλεῖ, εἰ καὶ δοκεῖ συνεμπίπτειν τῷ τρίτῳ προσώπῳ τοῦ ὁριστικοῦ, ἐκεῖνος ζῆ, καὶ ἐκεῖνος πλεῖ[h]. Ὁμοίως[i] καὶ τὸ προστακτικὸν οὕτως[k] ῥητέον· λόγῳ τοιούτῳ· πάντα τὰ προστακτικὰ ῥήματα ἀπὸ τοῦ τρίτου προσώπου γίνεται, ἀφαιρουμένης μόνης μιᾶς συλλαβῆς· εἰ οὖν ἔστι πεμπέτω, τὸ δεύτερον πρόσωπον ἐγένετο πέμπε· ὁμοίως καὶ, κρατείτω ἐκεῖνος, κράτει σὺ, ἀφαιρεθείσης μόνης τῆς τω συλλαβῆς· οὕτως ἄρα[l] εἰ πλείτω λέγομεν τὸ τρίτον πρόσωπον, καὶ ζήτω, καὶ δράτω, ἀφέλοντες τὴν τελευταίαν συλλα-

[u] ἡ μὲν Herm. [v] εἴληφα Barocc. [w] ἀλήθω Barocc. [x] ἐπὶ τοῦ π. Herm. [y] εἴληφα Barocc. [z] καὶ om. Herm. [a] ὑπὲρ Barocc. [b] ἀληλείφειν. Barocc. [c] Ult. hæc add. Herm. [d] ἔζην ἐγὼ Barocc. [e] παρὰ Ἀρ. τὸ ω Herm. [f] τὸ Barocc. [g] ζῆθι καὶ πλεῖθι Herm. [h] ἐκ. πλ. καὶ ἐκ. ζῆ Herm. [i] ὁμ. γὰρ Herm. [k] οὕτως om. Herm. [l] οὕτ. ἐστὶν Herm. Cod.

βῆν, καὶ[m] *ἐροῦμεν τὸ δεύτερον πρόσωπον, σὺ πλεῖ, καὶ σὺ ζῇ, καὶ σὺ δρᾶ.*

Ἁμαρτάνουσιν οἱ λέγοντες ἐκτεταμένως βαδίζειν, δέον λέγειν συνεσταλμένως βαδίζειν, καὶ ἐβάδιζον, λόγῳ τοιούτῳ· τριῶν ὄντων διπλῶν ζ, ξ, ψ, καὶ τριῶν διχρόνων, α, ι, υ, πᾶν δίχρονον, διπλοῦ ἐπιφερομένου, συστέλλεται, μάλιστα δὲ τοῦ ζ ἐπιφερομένου, οἷον φροντίζω, αὐγάζω, κουφίζω, ἀκοντίζω· οὕτως ἄρα[n] *καὶ βαδίζω, ἐβάδιζον, συνεσταλμένως, ὡς καὶ φροντίζω, ἐφρόντιζον*[o].

Ζητεῖται τοῦ οἰκῶ ῥήματος ὁ παρατατικὸς καὶ ἀόριστος[p], *πότερον φυλάξει τὴν οι δίφθογγον, ἢ τραπήσεται εἰς τὸ ω· οἷον, ᾤκουν*[q] *καὶ ᾤκησα, καὶ τὸ σύνθετον κατῴκουν*[r], *κατῴκησα· οὐχὶ κατοίκησα, ὡς ὁ Μένανδρος*[s] *ἀπὸ τοῦ οἰδῶ τὸν παρατατικὸν μεταβάλλει*[t] *εἰς τὸ ω, λέγων,*

ᾤδουντ᾽ ἐν ἐμαυτῷ.

ἐροῦμεν οὖν ὡς διὰ τοῦ ω[u]. *κατῴκουν, κατῴκησα· Ὅμηρος μόνος ἐφυλάξετο*[v] *δίφθογγον εἰπὼν*[w],

Οἴκεον[x] ἐν Πλευρῶνι καὶ αἰπεινῇ[y] Καλυδῶνι. (Il. Ξ. 116.)

εἶπε δὲ Ἰακῶς, οὐκ Ἀττικῶς.

Εἰσὶν οἱ σφάλλοντες λέγοντες γεγράφηκα καὶ γεγραφήκειν· ὡς δεδράμηκα, δεδραμήκειν· οὐ γάρ ἐστιν ὅμοια· τὸ μὲν γὰρ ἀπὸ περισπωμένου ῥήματος ὄν, δραμῶ[z], *ὡς κρατῶ, ἐῤῥέθη δεδράμηκα, ὡς κεκράτηκα· τὸ δὲ γράφω βαρύτονον ὂν οὐκέτι δύναται ἐπὶ τοῦ παρακειμένου δύο συλλαβαῖς πλεονεκτεῖν, ἀλλὰ μιᾷ· ὅθεν οὐκ ἐροῦμεν, γεγράφηκα*[a], *ἀλλὰ γέγραφα, καὶ γεγράφειν*[b]. *πάντα γὰρ τὰ βαρύτονα ῥήματα ἀπὸ συμφώνου ἀρχόμενα ἐπὶ τοῦ παρακειμένου μιᾷ συλλαβῇ πλεονεκτεῖ· ὥσ-*

[m] *καὶ* om. Herm. [n] *ἄρα* om. Herm. [o] *ὡς φροντίζω* Herm. [p] *ὁ ἀόριστος* Herm. [q] *ὄκνουν* Barocc. [r] *κατώκουν* om. Barocc. [s] *ὡς καὶ ὁ Μ.* Herm. [t] *μετέβαλε* Herm. [u] *ἐροῦμεν οὖν ἐπὶ τοῦ παρεληλυθότος χρόνου* Herm. [v] *μόνον ἐφύλαξεν* Herm. [w] *διφθ. εἰπὼν* om. Herm. [x] *οἴκεων* Barocc. [y] *αἰπῖνῆς* Barocc. [z] *τοῦ δρ.* Herm. [a] *γεγράφηκα καὶ ἐγεγραφήκειν* Herm. [b] *ἀλλὰ γεγρ. καὶ γεγραφ.* om. Herm.

περ οὖν ἀπὸ τοῦ δέρω, δέδαρκα, καὶ τρέχω, τέτροχα, οὕτω καὶ ἀπὸ τοῦ γράφω, γέγραφα μόνως ῥητέον.

Ἁμαρτάνουσιν οἱ λέγοντες πεῖν βούλομαι μονοσυλλάβως, δέον λέγειν πιεῖν δισυλλάβως· μόνως γὰρ οὕτως καὶ παρὰ τοῖς ἀρχαίοις πᾶσιν εἴρηται, καὶ παρὰ τῷ ποιητῇ·

πιεῖν ὅτε θυμὸς ἀνώγοι. (Il. Θ. 189.)

Σφάλλονται οἱ λέγοντες ἐπὶ τῶν μάντεων ἔθυσε, τὸ ἐπεσκέψατο, ἐθύσατο προσῆκον· θῦσαι μὲν γὰρ τὸ ἄνευ μαντείας ἁπλῶς σφάξαι· τὸ δὲ καὶ τὰ ἱερεῖα ἐπισκοπῆσαι καὶ σκέψασθαι, θύσασθαι λέγεται· κἀγὼ ἐθυσάμην, κἀκεῖνος ἐθύσατο ἐπὶ τῆς μαντείας· μόνως οὕτως ῥητέον, καὶ τὸ τῶν ἱερείων μὴ καλῶς φανθέντων δεύτερον ἱερεῖον ἀνατεμεῖν * *[c]

Ζητεῖται τὸ θέλω ῥῆμα πότερον βαρύτονόν ἐστιν, ἢ περισπώμενον, ἐπειδὴ ὁ μέλλων περιττοσυλλάβως κλίνεται, ἔστι γὰρ θελήσω· σφάλλονται δὲ οἱ τοῦτο λέγοντες· εἰ γὰρ περισπώμενον τὸ θέλω ἦν, ἦν ἄρα ὁ παθητικὸς ἠθέλουν, ὡς νοῶ, ἐνόουν· νῦν δὲ ἔστιν ἔθελον, ὡς ἀπὸ τοῦ λέγω, ἔλεγον· εἰ δὲ ὁ μέλλων συλλαβῇ πλεονεκτεῖ, ἐπὶ τοῦ νέμω, νεμήσω, οὕτως ἄρα καὶ θέλω, θελήσω· ὥστε εἶναι δευτέρου μέλλοντος.

Ἵνα οὐ μόνον τὰ ὑποτακτικὰ ῥήματα ἐπιφέρεται, οἷον, ἵνα παύσωνται, ἵνα παύσωσιν, ἀλλὰ καὶ τὰ εὐκτικά, οἷον, ἵνα παύσω καὶ ἵνα παύσαιμι, ὡς καὶ παρὰ τῷ ποιητῇ·

ἵνα μιν παύσειε πόνοιο. (Il. Φ. 249.)

Ἐχρῆν καὶ χρὴ διαφέρει τῷ χρόνῳ, τὸ μὲν ἐχρῆν ἐστὶν ἐπὶ τοῦ παρεληλυθότος[d], καὶ ἴσον δύναται τῷ ἔδει, ἐχρῆν γενέσθαι· τὸ δὲ χρὴ τοῦ μέλλοντος, ἴσον τῷ δεῖ· καὶ ὁ Δημοσθένης· "χρὴ τοίνυν ὦ ἄνδρες Ἀθηναῖοι τὴν ἀκαιρίαν τὴν "ἐκείνου."

Κίλιξ, ὁ ἀνήρ· Κίλισσα δὲ ἡ γυνή· ὁμοίως Λίβυς, Λίβυσσα· Θρᾷξ, Θρᾷσσα· Μάγνης, Μάγνησσα

Πελίουτε Μάγνησσαν κόραν·

μαγνῆτις δὲ λίθος·

[c] Hic desinit Herm. Cod. [d] παρελυληθότος Barocc.

Τὸ κληρονομεῖν μόνῃ γενικῇ συντάσσεται· "ἐκληρονόμησε "τοῦδε" οὐχὶ "τόνδε."

Ἀπέδραν ἐγὼ τὸ πρῶτον πρόσωπον, οὐχὶ ἀπέδρων· καὶ ἀπέδραμεν ἡμεῖς τὸ πληθυντικόν· ὡς καὶ Σοφοκλῆς[e]·

Ἀλλ' ὅτε γὰρ δὴ τὸ σὸν ὄμμ' ἀπέδραν[f]—

[e] Aj. v. 167. [f] ὄμ' ἀπέδραν Barocc.

ΕΚ ΤΩΝ ΤΟΥ ΗΡΩΔΙΑΝΟΥ[a].

Ἡ αι καὶ ἡ οι δίφθογγος ἐν τοῖς ὀνόμασι καὶ ἐν τοῖς ῥήμασιν ἀντὶ βραχέων λογίζονται. διατί; διότι αἱ δίφθογγοι τριχῶς λέγονται ἢ γίνονται, ἢ κατὰ κρᾶσιν, ἢ κατ' ἐπικράτειαν, ἢ κατὰ διέξοδον· κατὰ κρᾶσιν, ὡς ἡ ου· τὸ γὰρ ε καὶ ο εἰς τὴν ου δίφθογγον κιρνᾶται· κατ' ἐπικράτειαν, ὡς ἡ ῃ ἐν τῷ Χρύσῃ, καὶ ἡ α ἐν τῷ κοχλίᾳ· κατὰ δὲ διέξοδον ὡς τὸ ὠυτὸς, ἤγουν ὁ αὐτός. Αὗται οὖν αἱ δύο ἡ αι καὶ ἡ οι, μὴ γεγοννῖαι κατά τινα τρόπον τῶν τοιούτων, εἰκότως ἔπεσον, καὶ ἐκ τοῦ τῶν διφθόγγων ἀξιώματος καὶ διαφοροῦνται. Ἐπὶ δὲ τοῖς εὐκτικοῖς μακραί εἰσιν. διότι τὰ τρίτα πρόσωπα τῶν ῥημάτων ὁμοχρονοῦσι τοῖς δευτέροις.

Λέγει ὁ Ἡρωδιανὸς ἐν τῷ περὶ μονήρους λέξεως, ὅτι οὐδὲν εἰς ρα λῆγον θηλυκὸν δισύλλαβον τῇ οι διφθόγγῳ παραλήγεται· ἀλλὰ μόνον τὸ μοῖρα ἀπηνέγκατο τήνδε τὴν παραλήγουσαν· τὸ γὰρ χοῖρα ἐκτείνεται κατὰ τὸ ἐπώνυμον· ὥσπερ καὶ παρὰ Δεινίᾳ "λέγεται γὰρ τοὺς Λακεδαιμονίους καθ' ὃν ἐν- "τελέα χρόνον ἦσαν αἰχμάλωτοι, δεδεμένους ἐργάζεσθαι διὰ "τοῦ πεδίου τὸν Λαχᾶν ποταμόν. Περιμήδεας ἐν Τεγαιᾷ "δυναστευούσης· ἣν οἱ πλεῖστοι καλοῦσι χοῖραν."

Σημείωσαι, ὅτι τὸ παρ' Ὁμήρῳ ἐθέλω, δισύλλαβον οὐκ εὑρίσκεται, καὶ διὰ τοῦτο εἰς τὸ "Πηλείδ' ἔθελε" οἱ τεχνικοὶ τιθέασι κορωνίδα, ἵνα ᾖ τρισύλλαβον.

Τὸ ἔμμορε Ζηνόβιος μὲν καὶ Ἡρωδιανὸς, οὕτω κανονίζουσι· μείρω, μερῶ· ὁ μὲν παρακειμένος μέμορα, καὶ ἐν ὑπερθέσει τοῦ μ, ἔμμορα· ἀλλ' ἐλέγχει αὐτὸ τὸ β' πρόσωπον, οὐ διὰ τοῦ α γὰρ, ἀλλὰ διὰ τοῦ ε ἐκφέρεται· ὅθεν καὶ κανονίζεται οὕτως· μορῶ, μορήσω, ὁ πρῶτος ἀόριστος, ἐμόρησα, ὁ δεύτερος ἔμορον,

[a] Excerpta Grammaticalia Cod. Barocc. 72. f. 57. r.

ἔμορες, καὶ Αἰολικῶς, ἔμμορον, ἔμμορες, ἔμμορε. Σημείωσαι ὅτι οὐδεπότε ἐν ταὐτῷ τρία σύμφωνα κεῖται, πάρεξ ὅτε ἐστὶ τὸ ρ· τὸ γὰρ ρ τινὲς ἀντὶ φωνήεντος δέχονται· ὅθεν καὶ τὸ πνεῦμα τίθεται εἰς τὸ ρ· ὅθεν ὤφειλε σκηπτροῦχος· ἀλλ' ἐπὶ τὸ ρ, ὅτε κεῖται μετὰ δασέως, δασύ ἐστίν· ὅτε δὲ μετὰ ψιλῶν, ψιλὸν, ἵνα μὴ γένηται κακόφωνον, τριῶν ψιλῶν ὄντων, καὶ τοῦ τόνου ἐνδυναμοῦντος τὸν λόγον ἐξεβλήθη τὸ ρ· τὸ δὲ ἐχθρὸς, τόνον ἔχει ἕνα· τὸ δὲ σκηπτροῦχος δύο καταχρηστικῶς, εἴς τε τὸ πτροῦ περισπωμένην, καὶ εἰς τὸ χος συλλαβικῶς βαρεῖαν. Σημείωσαι· ἐξ οὔσων τῶν διφθόγγων· αἱ μὲν τρεῖς εὑρίσκονται μεταβεβλήμεναι ἐν τοῖς παρῳχημένοις· αἱ δὲ τρεῖς ἀμετάβλητοι· διατί; ἐξ οὔσων τῶν διφθόγγων· αι· αυ· ει· ευ· οι· ου· αἱ μὲν τρεῖς μεταβάλλονται ἐν τοῖς παρῳχημένοις· ἤγουν ἡ αυ· ἡ οι· ἡ αι· αἱ δὲ τρεῖς μένουσιν ἀμετάβλητοι· ἤγουν ἡ ου· ἡ ευ· ἡ ει· οἷον, οὐρῶ, οὔρουν· εὔχομαι, εὐχόμην· εἰκάζω, εἴκαζον· καὶ λέγομεν ὅτι αἱ μὲν μένουσιν ἀμετάβλητοι ἐν ταῖς κλίσεσι τῶν ὀνομάτων, μεταβάλλονται ἐν τοῖς παρῳχημένοις· αἱ δὲ μεταβαλλόμεναι ἐν ταῖς κλίσεσι τῶν ὀνομάτων, μένουσιν ἀμετάβλητοι ἐν τοῖς παρῳχημένοις. σημείωσαι τοίνυν ἐπὶ τῶν τριῶν τούτων διφθόγγων· ου· ευ· ει· ὅτι μεταβαλλόμεναι ἐν ταῖς κλίσεσι τῶν ὀνομάτων, ὡς τὸ βοῦς, βοός· Πηλεὺς, Πηλέως· χαρίεις, χαρίεντος, μένουσιν ἀμετάβλητοι ἐν τοῖς παρῳχημένοις· οἷον οὐρῶ, οὔρουν· εὔχομαι, εὐχόμην· εἰκάζω, εἴκαζον. Σκόπει τοίνυν καὶ ἐπὶ τῶν ἑτέρων διφθόγγων· αυ· οι· αι· ὅτι οὐ μεταβαλλόμεναι ἐν ταῖς κλίσεσι τῶν ὀνομάτων, μεταβάλλονται ἐν τοῖς παρῳχημένοις· οἷον γλαὺξ, γλαυκός· οἶς, οἰός· παῖς, παιδός· μεταβάλλονται δὲ οὕτως ἐν τοῖς ῥήμασιν· οἷον, αὐχῶ, ηὔχουν· οἰκτείρω, ᾤκτειρα· αἰσχύνομαι, ᾐσχυνόμην· εἰ δέ ποτε ἐξ αὐτῶν ἡ αυ ἐν ταῖς κλίσεσι τῶν ὀνομάτων μεταβάλλεται, ὡς ἐπὶ τοῦ γραῦς, γραός· καὶ ναῦς, νηὸς, οὐδὲν θαυμαστόν· τέως εὑρισκομένου καὶ οὕτως διφορουμένου κατὰ κλίσιν, ἐνίκησαν τὰ πλείονως εὑρισκόμενα, καὶ τίθεται ἐν τοῖς ἀμεταβλήτοις· τὰ δὲ παρὰ ταῦτα μεταβάλλονται ἐν τοῖς παρῳχημένοις, ὡς τὸ ηὐχόμην καὶ ηὐλόγησεν, Ἀττικῶς μεταβάλ-

λονται ἢ βαρβαρικῶς, καθὼς Ἡρωδιανὸς ἐν τῷ περὶ βαρβαρισμοῦ διαλαμβάνει.

Τρέπω· ὁ μέλλων τρέψω· ὁ ἀόριστος α΄ ἔτρεψα· ὁ β΄ ἔτραπον καὶ ὤφειλεν εἶναι ἔτρεπον· ἀλλὰ κἂν που τύχοι τὸ ε σὺν ἀμεταβόλῳ, τότε αὐτὸ τρέπει εἰς α ὁ β΄ ἀόριστος.

Τμῶ, τμήσω· καὶ παράγωγον, τμήγω τὸ χωρίζω, τμήξω, ὁ ἀόριστος ἔτμηξα· ὁ β ἔτμαγον· τὸ γ΄ τῶν πληθυντικῶν ἔτμαγον· βούλεται γὰρ ἔχειν ὁ β΄ ἀόριστος τὸ σύμφωνον τοῦ ἐνέστωτος, πλὴν ἐν τῇ δ΄ συζυγίᾳ τῶν βαρυτόνων· ἐν ἐκείνῃ γὰρ, ἢ εἰς δύο σσ λήγει, ἢ εἰς ζ· διὰ τοῦτο ὀφείλεις ἐν τούτοις βλέπειν τὸν μέλλοντα· καὶ εἰ ὁ μέλλων διὰ τοῦ ξ, ὁ β΄ ἀόριστος διὰ τοῦ γ· οἷον ὀρύσσω, ὀρύξω, ὤρυγον, καὶ ὀρώρυγον Ἀττικῶς· εἰ δὲ εἰς σ ὁ μέλλων, ὁ β΄ ἀόριστος εἰς δύο ζ· οἷον συρίζω, συρίσω, ἐσύριδζον· διατί δὲ οὕτω ταῦτα ἐλέγομεν; ὅτι τῶν βαρυτόνων συζυγίων, ἡ μὲν ε΄ ἐστὶν ἀμετάβλητος κατὰ τοὺς μέλλοντας, ἡ δὲ ϛ΄ προσλαμβάνει κλιτικὸν τὸ σ πανταχοῦ ἐν τοῖς μελλουσι· καὶ περὶ τούτων οὐδεμία ζήτησις· ἡ μέντοι α΄ ἐκφερομένη διὰ ψιλοῦ τοῦ π, καὶ τοῦ ἀντιστοιχοῦντος αὐτοῦ δασέος φ, καὶ τοῦ μέσου αὐτῶν β, ἐν τῷ μέλλοντι πανταχοῦ ἔχει τὸ ψ.

Ἡ β΄ ὁμοίως ἐκφερομένη διὰ ψιλοῦ τοῦ κ, καὶ τοῦ ἀντιστοιχοῦντος αὐτοῦ χ, καὶ τοῦ μέσου αὐτῶν γ, ἐν τῷ μέλλοντι πανταχοῦ ἔχει τὸ ξ.

Ἡ δὲ γ΄ ἐκφερομένη διὰ ψιλοῦ τοῦ τ, καὶ τοῦ ἀντιστοιχοῦντος αὐτοῦ θ, καὶ τοῦ μέσου αὐτῶν δ, ἐν τῷ μέλλοντι πανταχοῦ τὸ γ ἔχει.

Ἡ τοίνυν δ΄ ἐκφερομένη διὰ δύο σσ καὶ τοῦ ζ, οὐκ ἔχει πανταχοῦ τὸν αὐτὸν κατὰ τὸ σύμφωνον μέλλοντα· ἀλλὰ πῇ μὲν διὰ τοῦ ξ ἐκφερομένη, ὡς τὸ ὀρύσσω, ὀρύξω· πῇ δὲ διὰ τοῦ σ, ὡς φράζω, φράσω· ἐπεὶ τοίνυν οὐκ ὤφειλεν ὁ β΄ ἀόριστος τῆς δευτέρας συζυγίας ἔχειν τὸ σύμφωνον τοῦ ἐνεστῶτος, ἣν γὰρ ἡ παραλήγουσα μηκυνομένη τῇ ἐκτάσει τοῦ ζ, ἢ τῶν δύο σσ, ἐσκόπησε τὸν μέλλοντα· καὶ ἐπεὶ ποτὲ μὲν εὕρισκε τὸν μέλλοντα διὰ τοῦ ξ· ἣν δὲ τὸ ξ σύμφωνον τοῦ μέλλοντος τῆς

β συζυγίας τῶν βαρυτόνων· σύμφωνον δέ ἐστιν ἐν τῷ ἐνεστῶτι τὸ γ τῆς αὐτῆς β συζυγίας· ὡς τὸ νύσω, νύξω· ὡσεὶ ἔχων τὸ σ σύμφωνον τοῦ ἐνεστῶτος, ἐπειδὴ διὰ τοῦ σ ὁ μέλλων ἐξεδόθη διὰ τοῦ * * ὁ ἀόριστος· * ἀπορίαν δὲ ἔχει· διατί; ἐπεὶ πάντες οἱ μέλλοντες τῆς β′ συζυγίας τῶν βαρυτόνων διὰ τοῦ ξ· ὡς πάντες οἱ μέλλοντες τῆς γ′ διὰ τοῦ γ· εὑρίσκεται δὲ ἐκφερομένη ἡ β′ συζυγία, μὴ μόνον διὰ τοῦ γ, ἀλλὰ διὰ τοῦ ψιλοῦ κ, καὶ τοῦ δασέος χ· καὶ ἡ τρίτη, μὴ μόνον διὰ τοῦ δ, ἀλλὰ καὶ διὰ τοῦ ψιλοῦ τ, καὶ τοῦ δασέος θ, ὁ β′ ἀόριστος τῆς β′ συζυγίας οὐκ ἔσχεν ἢ ἀπὸ τῶν ψιλῶν, ἢ ἀπὸ τῶν δασέων συμφώνων, ἀλλὰ μέσα, εἴπερ διὰ τοὺς μέλλοντας συνέβησαν τῶν β′ ἀορίστων· καὶ λύεται οὕτω κατ᾽ ἐμέ.

Ἡ δ′ συζυγία τῶν βαρυτόνων, εἰ μὲν διὰ δύο σσ ἐκφέρεται, ὡς ἐπιτοπολὺ διὰ τοῦ ξ ἔχει τὸν μέλλοντα, καὶ διὰ τοῦ ζ, διὰ τοῦ σ τὸν μέλλοντα ἔχει· τὸ τοίνυν δ τὸ σύμφωνον τοῦ β′ ἀορίστου, συγγένειαν μὲν ἔχει πρὸς τὸ σύμφωνον τοῦ ἐνεστῶτος τὸ ζ.

Ἐκ τοῦ σ γὰρ καὶ δ τὸ ζ· οὐ πρὸς τὸ θ καὶ τὸ τ· καὶ πάλιν τὸ γ σύμφωνον τοῦ β′ ἀορίστου, οἱονεὶ τινὰ συγγένειαν ἔχει πρὸς τὰ δύο σσ τὸ σύμφωνον τοῦ ἐνεστῶτος, παρὸ πρὸς τὸ κ χ· ὅτι δὲ τοῦτο συγγένειαν ἔχει τὸ γ πρὸς τὰ δύο σσ, εὑρίσκεται καὶ ἐκ τοῦ νύγω, νύσσω μὲν τὸ αὐτὸ σημαινόντων, ἐν ἄλλῃ καὶ ἐν ἄλλῃ συζυγίᾳ ἐκφερομένων· ποτὲ διὰ τοῦ γ, ποτὲ διὰ δύο σσ, καὶ ἑτέρα εἰ σκοπήσεις εὑρήσεις. Ἕω, τὸ πληρῶ· καὶ ἐξ αὐτοῦ παράγωγον ἕημι· ὁ β′ ἀόριστος ἦν, ὁ μέσος ἥμην, ἧσο, ἧτο· τῶν πληθυντικῶν τὸ γ′ ἧντο, καὶ Ἰωνικῶς ἕντο.

Ἔστω· εἰμὶ τὸ ὑπάρχω· ὁ β′ ἀόριστος ἦν· τὸ πληθυντικὸν ἐμέν, καὶ εἰμὲν, καὶ εἰσμὲν κατὰ ποιητάς· ἡ μετοχὴ εἷς, ἔντος· καὶ τὸ προστακτικὸν, ἐπεὶ τὴν παραλήγουσαν θέλει ἔχειν τὸ προστακτικὸν τοῦ ἰδίου ὁριστικοῦ τοῦ α τῶν πληθυντικῶν, εὑρίσκεται ἡ παραλήγουσα αὕτη εἰς ι προσεχῶς· εἰς .ε δὲ, πόῤῥω· εἰ μὲν γάρ ἐστι, προσλαμβάνεται δὲ καὶ τὸ σ· εἰς μὲν γὰρ λέγεται κατὰ τοὺς ποιητὰς, εἰκὸς τὸ προστακτικὸν προσλαμβανομένης τῆς προσεχοῦς παραληγούσης τοῦ ι καὶ

τοῦ σ, ἴστι· ἀλλ' οὐκ ἀδικεῖται τὸ ε παντελῶς· εἰς τρίτον γὰρ, εὕρηκε καὶ αὐτὸ τὴν οἰκείαν τάξιν· τὸ γὰρ τρίτον ἔστω γράφεται· τὰ δυϊκὰ, ἐστὴν, ἐστών· τὰ πληθυντικὰ, ἐστὲ, ἔστωσαν.

Σημείωσαι, ὅτι ὁ Φιλόπονος λέγει, διὰ τοῦτο οὐκ ἀποβάλλει τὸ εἴπω τὸ κλιτικὸν ἐν τῇ μετοχῇ, διότι θέλει συνάρχεσθαι τῷ ἰδίῳ πρώτῳ ἀορίστῳ, ἐν πάσαις ταῖς κλίσεσιν· ἐπεὶ οὖν οὐκ ἀποβάλλει ὁ ἀόριστος ἀπὸ τοῦ εἶπα τὸ ι, διότι ἐκ τοῦ μέλλοντος ἔψω προσελάβετο τὸ ι, καὶ ἔτρεψε τὸ διπλοῦν εἰς ἁπλοῦν· καὶ ἐγένετο τὸ μακρὸν φύσει, * * ἐπὶ ἀορίστου τοῦ εἶπα, καὶ ἔσχε τοῦτον τὸν χρόνον ἀμετάβλητον, ἐγένετο καὶ τὸ εἶπον β' ἀορίστου, καὶ ἡ εἰπὼν μετοχὴ, καὶ τὸ ἐὰν εἴπω ὑποτακτικὸν, ἀμετάβλητα κατὰ τὴν ἄρχουσαν.

Σημείωσαι, ὅτι λέγουσι τινὲς, ὅτι τὸ φεύγωμεν, α' πρόσωπον ἐστὶ τῶν προστακτικῶν· διὰ τὸ ὑποτιθέναι τὸν κελεύοντα τὸ ἴδιον πρόσωπον τοῖς κελευομένοις· ἢ ὅτι πολλάκις πρὸς κρείττονας αἱ προτάσεις γίνονται· ἢ πολλάκις διὰ τὸ ἀνεπαχθές· τίθενται τοίνυν αὐτὴν τὴν ὑποθετικὴν οἱ Στωϊκοὶ ἄλλην ἔγκλισιν, ἀπὸ τὰς ε' ἐγκλίσεις, ὁμοίως καὶ τὴν ἀνακριτικὴν, ἤγουν ἐρωτηματικὴν, οἷον

πῆ ἔβη Ἀνδρομάχη;

ὡς παρ' ἐκείνοις ἑπτά εἰσιν αἱ ἐγκλίσεις.

Λέγει ὁ Ἡρωδιανὸς ἐν τῷ περὶ διχρόνων, ὅτι τὰ διὰ τοῦ αια γεγονότα ἐκ θηλυκῶν πρωτοτύπων ληγούσων εἰς α ἢ εἰς ε, μακρὸν ἔχουσι τὸ α· οἷον, ἅμαξα, ἁμαξαία· σελήνη, σεληναία· ἄρουρα ἀρουραία· πλὴν τοῦ γαῖα· μήποτε οὖν διὰ τὴν βραχυσυλλαβίαν ἐνηλλάγη· τοιαῦτα γὰρ καὶ τὰ δισύλλαβα τὰ μὴ ὄντα παρώνυμα, οἷον· αἶρα· μαῖα· ὁμοίως σημειοῦνται καὶ τὸ διὰ καὶ ἴα, ὅτι βραχυκατάληκτα ὄντα, παρὰ τὸν κανόνα εἰσὶ παρεσχηματισμένα τοῖς ἀρσενικοῖς· καὶ ὀφείλουσιν ὁμοχρονεῖν τῇ γενικῇ τῶν ἑνικῶν τοῦ ἀρσενικοῦ.

Ἰστέον, ὅτι τὸ ποτὶ, προσὶ ἦν· καὶ λέγει ὁ τεχνικὸς Ἡρωδιανὸς, πρῶτον ἐπλεόνασε τὸ ι, καὶ ἐγένετο προσὶ, καὶ ἔκτοτε

ἐτράπη Δωρικῶς τὸ σ εἰς τ· οἱ γὰρ Δωριεῖς τὰ τελικὰ σ οὐ τρέπουσιν εἰς τ. ἀλλ' ἢ τὰ ἐξ ἀρχῆς, ἢ τὰ μέσα· οἷον τημεῖον, ἀντὶ τοῦ σημεῖον· καὶ ἀποίτωμεν, ἀντὶ τοῦ ἀποίσωμεν· οὕτω τοίνυν γενόμενον ἐγένετο προτὶ, καὶ συγκοπῇ τοῦ ρ, ποτί· λέγουσι δὲ τινὲς, ὅτι καὶ δὸς ἡμῖν ἐν χρήσει τὸ προσὶ, εἰ ἐγένετο μετὰ τὸν πλεονασμὸν τοῦ ι ἡ τροπὴ τοῦ σ εἰς τ· καὶ λέγει ὁ γραμματικὸς Ἰωάννης, ὅτι ἅμα πλεονασμὸς ἐγένετο τοῦ ι, καὶ ἅμα τροπὴ τοῦ σ εἰς τ.

Σημείωσαι, ὅτι ἐστὶ βραχεῖα ἡ παραλήγουσα τοῦ β' ἀορίστου, ἵνα μὴ συνεμπέσῃ τῷ παρατατικῷ· οἷον, λείβω, ὁ παρατατικὸς ἔλειβον· ὁ β' ἀόριστος ἔλιβον· λείπω, ὁ παρατατικὸς, ἔλειπον· ὁ β' ἀόριστος ἔλιπον. ὅσοι δὲ οὐκ ἔχουσι διαστολὴν, ἀπὸ τῆς μετοχῆς χαρακτηρίζονται· τὸ δὲ ἔγραφον καὶ ἔνυγον, παρατατικὸς μᾶλλον, ἢ β' ἀόριστος· ὁ γράφων γὰρ καὶ ὁ νύγων· διότι ὁ δεύτερος ἀόριστος ἐπὶ μετοχῆς ὀξύνεσθαι θέλει· οἷον τυπὼν, πλακών· ὁ δὲ παρατατικὸς ἐπὶ μετοχῆς βαρύνεται· οἷον, τύπτων· ὅθεν καὶ τὸ ἔτεκον δευτέρου ἀορίστου λέγουσιν εἶναι· καὶ γὰρ ἐπὶ μετοχῆς, ὁ τεκὼν γράφεται ὀξυτόνως.

Συνίημι· ὁ μέλλων ξυνήσω· ὁ ἀόριστος ξυνῆκα· καὶ προσθέσει τοῦ ε, ξυνέηκα· πῶς ἀπὸ τῶν ε, ἤγουν πέντε σεσημειωμένων, τοῦ εἶπα, καὶ τὸ ἤνεγκα, κινοῦνται καὶ κατὰ τὰς ἄλλας ἐγκλίσεις, τὰ δὲ τρία οὐ κινοῦνται; καὶ λέγει ὁ Ἀπολλώνιος, ὅτι τὸ εἶπα καὶ τὸ ἤνεγκα ἐπειδὴ οὐκ ἔχουσι μέλλοντας ἐν χρήσει ὀφείλοντας ἐλέγξαι τὴν παραλογίαν αὐτῶν, ἐν τῷ λήγειν, τὸν μὲν εἰς π, τὸν δὲ, εἰς κ, ἀορίστους ὄντας, εἰκότως οὐκ ἐκωλύθησαν καὶ περαιτέρω προβῆναι· τὸ δὲ ἔδωκα· ἔθηκα· ἧκα, ἔχοντα μέλλοντας τοὺς ἐλέγχοντας τὴν παραλογίαν αὐτῶν, εἰκότως ἐκωλύθησαν περαιτέρω προβῆναι· ὅτι δέ ἐστι τοῦτο, δείκνυσι καὶ ἐκ τούτου· ἐμαυτὸν ἔτυψα· σαυτὸν ἔτυψας· ἑαυτὸν ἔτυψε· συνάπτεται τοίνυν τὸ ἑαυτὸν τῷ τρίτῳ προσώπῳ· καὶ ἐὰν τολμήσῃ εἰσελθεῖν εἰς τὸ δεύτερον καὶ τρίτον πρόσωπον, ἐλέγχεται ὡς παράλογον, ἀπὸ τοῦ ἐμαυτὸν πρώτου, καὶ σαυτὸν δευτέρου· ὅταν δὲ ἔλθῃ εἰς πληθυντικὰ, ἐπειδὴ ἀντωνυμία

σύνθετος ἐν τοῖς πληθυντικοῖς οὐκ ἔστι, διὰ τοῦτο οὐκ ἔχει τὸν κωλύσοντα αὐτὸν, τότε τὸ τρίτον ἀκωλύτως λέγεται· οἷον ἑαυτοὺς ὠφελήσαμεν[c]· καὶ ταῦτα μὲν Ἀπολλώνιος. Ὁ δὲ Ἡρωδιανὸς λέγει, ὅτι τὸ εἶπα, διὰ τοῦ ψ ὤφειλεν ἐκφέρεσθαι, ἐπειδὴ καὶ ὁ μέλλων διὰ τοῦ ψ· καὶ πάλιν τὸ ἤνεγκα, διὰ τοῦ ξ ὤφειλεν ἐκφέρεσθαι, ἐπειδὴ καὶ ὁ μέλλων διὰ τοῦ ξ· ἐπεὶ τοίνυν ἐγένετο εἶπα καὶ ἤνεγκα· ἔχει δὲ συγγένειαν τὸ ψ πρὸς τὸ π, καὶ τὸ ξ πρὸς τὸ κ, διὰ τοῦτο ὡς φυλάξαντα μέρος τί τῆς ἀναλογίας, ἐκλίθησαν περαιτέρω· ὁ δὲ ἔδωκα· ἔθηκα· ἧκα· εἰς σ ὤφειλον· ἐπεὶ καὶ ὁ μέλλων διὰ τοῦ σ· ἐπεὶ τοίνυν οὐκ ἔχουσι συγγένειαν ταῦτα, ἤγουν τὸ κ τῶν τριῶν τούτων πρὸς τὸ σ οἱανοῦν, εἰκότως ἔμειναν ἄκλιτα.

Δίδωμι· ὁ μέλλων δώσω· ὁ β ἀόριστος ἔδων· τὸ πληθυντικὸν, ἔδομεν, ἔδοτε, ἔδοσαν· ὁ κανών· τὰ εἰς μεν πληθυντικὰ, ἀπὸ τῶν εἰς ν φύσει μακροκαταλήκτων κεκλιμένων, εἰς αν ποιεῖ τὸ τρίτον.

Σημείωσαι δὲ ἐπὶ τῶν εἰς μι, ἐπὶ δευτέρου ἀορίστου φυλάττεται ἡ λήγουσα αὐτοῦ, ἤγουν τοῦ δευτέρου ἀορίστου, ἐν τοῖς πληθυντικοῖς παραλήγουσα ἡ αὐτή· οἷον, ἵστημι· ὁ β' ἀόριστος, ἔστην, ἔστημεν, ἔστητε· γνῶμι· ὁ β' ἀόριστος, ἔγνων, ἔγνωμεν, ἔγνωτε· πλὴν τοῦ ἔθην, ἔθεμεν, ἔθετε· καὶ τοῦ ἔδων, ἔδομεν, ἔδοτε· καὶ διατί πλὴν τούτων; διότι, φησὶν ὁ τεχνικὸς, τὰ ἑνικὰ αὐτῶν, οἷον, ἔθην, ἔδων, ἧν, οὐχ εὑρίσκονται ἐν χρήσει· τούτου χάριν τὰ πληθυντικὰ αὐτῶν εὑρισκόμενα ἐν χρήσει, ἐναλλάσσονται κείμενα ὡς ἔτυχε.

Σημείωσαι· ὅτι τὸ ἐσσὶ σχηματίζεται ὁ Τρύφων, καὶ ὁ τούτου μαθητὴς Ἀπολλώνιος, καὶ ὁ τοῦ Ἀπολλωνίου υἱὸς ὁ Ἡρωδιανὸς, ἀπὸ τοῦ εἰμί· ὁ δὲ Φιλόπονος οὐ καλῶς λέγουσι λέγειν ἐκείνους, κατὰ δ' τρόπους ἁμαρτάνοντας· πρῶτον ἀπὸ τῆς παραληγούσης, ὅτι ἔχει τὸ σ καὶ μ· δεύτερον, ὅτι θέσει μακρά· τρίτον ἀπὸ τοῦ χαρακτῆρος ἀνελληνίστου τυγχάνοντος τοῦ εἰμί· τέταρτον ἀπὸ τοῦ τόνου· τὰ γὰρ εἰς μι πλὴν τῶν

[c] In marg. ἑαυτοὺς ὠφελήσατε· ἑαυτοὺς ὠφέλησαν.

ἐγκλινομένων, ἢ προπερισπῶνται, ἢ προπαροξύνονται· οὐδέποτε δὲ ὀξύνονται· λοιπὸν θαυμασίως σχηματίζουσιν οὗτοι τὸ ἐσσὶ, ἀπὸ τοῦ εἰμί· τὸ τρίτον εἶς· ὡς τὸ

τίς ποθεν εἶς ἀνδρῶν;

καὶ καθ' ὑπέρθεσιν ἐσί· καὶ ἐπεὶ τὰ εἰς ι λήγοντα, φύσει μακρᾶ παραλήγεται, ἐσσί· διατί δὲ οὐκ ἔστι τὸ ν ἐφελκυστικόν; διότι κατὰ μὲν Τρύφωνα, ὅτι πλεονασμὸν ἔχει τοῦ ι, κατὰ δὲ Φιλόπονον ὅτι καθ' ὑπέρθεσιν ἐγένετο.

Σημείωσαι· εἰ πᾶν παθητικὸν τοῦ ἰδίου ἐνεργητικοῦ περιττοσυλλαβεῖ χωρὶς τῶν εἰς μι· οἷον τύπτω, τύπτομαι· ἔτυπτον, ἐτυπτόμην· διατί ὁ παρακείμενος καὶ ὁ ὑπερσυντελικὸς παθητικοὶ, οὐ περιττοσυλλαβοῦσι τοῖς ἐνεργητικοῖς, ἀλλ' ἰσοσυλλαβοῦσιν· οἷον, ὦρκα, ὦρμαι; καὶ λέγει ὁ Ῥωμανὸς, ὅτι πᾶν παθητικὸν ἢ μέσον ἔχον τὸ μ κλιτικὸν μιᾶ συλλαβῇ περισσεῦον τοῦ ἰδίου ἐνεργητικοῦ, θέλει ἔχειν τὴν παραλήγουσαν τοῦ πρώτου προσώπου τῶν πληθυντικῶν τοῦ ἰδίου ἐνεργητικοῦ· ἅμα δὲ καὶ τὴν παραλήγουσαν τῆς γενικῆς τῆς μετοχῆς τοῦ ἐνεργητικοῦ· οἷον, τύπτω, τύπτομεν· ὁ οὖν παρακείμενος καὶ ὑπερσυντελικὸς, τῷ μὲν λόγῳ τῆς παραληγούσης τοῦ πρώτω τῶν πληθυντικῶν, ὤφειλον γράφεσθαι ὤρκαμαι, καὶ ὠρκείμην, ὦρκα μὲν γὰρ καὶ ὤρμην, τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν τοῦ ἐνεργητικοῦ· τῷ δὲ λόγῳ τῆς παραληγούσης τῆς γενικῆς τῆς μετοχῆς τοῦ ἐνεργητικοῦ, ὤφειλον γράφεσθαι, ὤρκομαι, καὶ ὠρκόμην· ὠρκὼς γὰρ, ὠρκότος, ἡ γενικὴ τῆς μετοχῆς τοῦ ἐνεργητικοῦ, διὰ τοῦ ο τὴν παραλήγουσαν ἔχει· τούτων οὖν μαχομένων, ἀπεκόπη ἡ ἀμφιβαλλομένη συλλαβὴ, καὶ ἐξ ἀνάγκης ἰσοσυλλαβεῖ.

Σημείωσαι· ὅτι αἱ μὲν εἰς αι λήγουσαι εὐθεῖαι τῶν πληθυντικῶν, περισπῶσιν ἐπὶ ἀρσενικοῦ τὴν γενικὴν, ἐπὶ δὲ θηλυκοῦ, εἰ μέν ἐστι μονογενὲς, περισπῶσιν· εἰ δὲ παρεσχηματισμένον ἀρσενικοῖς, ἀκολουθοῦσι τῷ τόνῳ τοῦ ἀρσενικοῦ τῶν πληθυντικῶν· οἷον καλοὶ, καλῶν· καλαὶ, καλῶν· ἅγιοι, ἁγίων· ἅγιαι, ἁγίων· ὅτε δὲ παραλλάσσει κατὰ τὴν γραφὴν, παραλλάσσει καὶ κατὰ τὸν τόνον· οἷον, ἡδὺς, ἡδέος, ἡδέας·

ἡδέων· ἡδεῖα, ἡδείας· ἡδεῖαι, ἡδειῶν· οὕτω καὶ τὸ γλυκὺς, γλυκέος· γλυκέες, γλυκέων· γλυκεῖα· γλυκεῖαι, γλυκειῶν. σεσημείωσαι τὸ κοῦροι, κούρων· καὶ κοῦραι, κουρῶν· ὄχθοι, ὄχθων, καὶ ὄχθαι, ὀχθῶν. παιδίσκοι, παιδίσκων· καὶ παιδίσκαι, παιδισκῶν· χῆροι, χήρων· καὶ χῆραι, χηρῶν· διατί σεσημείωται; καὶ λέγει ὅτι οὐκ εἴσι παρεσχηματισμένου ἀρσενικοῖς τὰ τοιαῦτα, ἄλλα μᾶλλον πρωτοτύπως θηλυκά εἰσι· διότι καὶ θηλυκοῖς ἁρμόζουσι τὰ τοιαῦτα.

Τὰ ῥήματα τὰ μὴ γραφόμενα ἐνεργητικοῖς, ἐν τοῖς μέσοις χρόνοις πλεῖον ῥέπουσιν εἰς τὸ παθητικὸν, ἢ εἰς τὸ ἐνεργητικὸν, ὡς τὸ τέτηκα· ἅτινα δὲ γράφεται ἐνεργητικῶς, ἐν τοῖς μέσοις αὐτῶν χρόνοις, πλεῖον εἰς τὸ ἐνεργητικὸν, ὡς τὸ ἐθαυμασάμην, ἀντὶ τοῦ ἐθαύμασα.

Τὸ οὗτος καὶ τὸ αὕτη, καὶ τὸ τοῦτο, δεικτικαὶ ἀντωνυμίαι εἰσί· καὶ διὰ τοῦτο δέχονται τὸν προσχηματισμὸν τοῦ ι, διὰ πλείονα δεῖξιν, οἷον, οὑτοσί· αὑτηί· καὶ τουτί· ὁμοίως καὶ ἐν τῇ κλίσει αὐτῶν πάσῃ· τὸ δὲ αὐτὸς ἀναφορικόν ἐστι, καὶ οὐ δέχεται τὸ ι· οὐ δύνασαι γὰρ εἰπεῖν αὐτοσί.

Ἡ ἐμαυτοῦ καὶ ἡ σαυτοῦ καὶ ἡ ἑαυτοῦ εὐθείας οὐκ ἔχουσι, διότι ταυτοπάθειαν δηλοῦσιν· ἤγουν, ὅτ' ἂν τὸ αὐτὸ πρόσωπον καὶ ποιεῖ καὶ πάσχει· πρὸς ὃ δὲ φέρεται ἡ ἐνέργεια, ἐκεῖνο πλαγίως λέγεται ἀεί· τὸ δὲ ἐνεργοῦν ἔχει τὴν εὐθεῖαν· οἷον, τύπτω ἐγώ σε· οὐχί συ· οἷον, καὶ τύπτω ἐμαυτόν· καὶ κατηγορῶ ἐμαυτοῦ· οὐχὶ κατηγορῶ ἐμαυτός· καὶ οὐ λέγομεν ὅτι τύπτω ἐγὼ σαυτόν· οὔτε σὺ τύπτει ἐμαυτὸν, ἢ ἑαυτὸν, ἀλλ' ἐγὼ ἐμαυτόν· καὶ σὺ σαυτόν· καὶ ἐκεῖνος ἑαυτόν· καὶ ὥσπερ τὸ ἐμαυτοῦ οὐ λαμβάνεται εἰς δεύτερον πρόσωπον, ἢ εἰς τὸ τρίτον, οὕτως οὐ δὲ τὸ σαυτοῦ λαμβάνεται εἰς πρῶτον ἢ εἰς τρίτον· οὐδὲ τὸ ἑαυτοῦ λαμβάνεται εἰς δεύτερον ἢ εἰς πρῶτον· οἷον τύπτεις σὺ ἑαυτὸν, ἢ ἐγὼ ἑαυτόν· ἄτοπον γάρ· ἐν δὲ τοῖς πληθυντικοῖς, ἐπεὶ ἐλλείπουσιν ἡ τοῦ πρώτου προσώπου καὶ ἡ τοῦ δευτέρου, ἔχει χώρας ἡ τοῦ τρίτου προσώπου λέγεσθαι ἐν τοῖς τρισὶ προσώποις.

Τὸ ὡς συντάσσεται μετὰ ἀπαρεμφάτου· ὅτε δὲ ἔχει τὸν τὲ

σύνδεσμον καὶ τὸν καὶ μετὰ ὁριστικοῦ· ὡς ἐν τῷ, "ἦλθεν ὁ "Φιλόπονος, ὥστε καὶ ἐπῄνεσε τὴν γραφήν."

Ῥίπτω, ἁπλῶς· ῥιπτῶ δὲ μετὰ σφοδρότητος ῥίπτω.

Μετοχὴ, διὰ τοῦτο λέγεται μετοχὴ, διότι μετέχει ὀνόματος καὶ ῥήματος, εἰ δὲ οὐ μετέχει τούτων, οὐκ ἔστι μετοχή· τὸ γοῦν ἐρωμένη, καὶ τὸ εἱμαρμένη, καὶ τὰ τοιαῦτα, οὐκ εἰσὶ μετοχαὶ, ἐπειδὴ οὐκ ἔχουσι τὸ ἰδίωμα τοῦ ῥήματος· τὰ γὰρ παθητικὰ τῶν ῥημάτων δοτικῇ συντάσσεται, οἷον τύπτομαι σοι· τὸ δὲ ἐρωμένη, οὐ λέγεται τινὶ, ἀλλὰ τινός· ἤγουν ἐρωμένη τοῦ δεῖνος.

Τὸ ἴθι, εἰ μὲν ἐστὶ ῥῆμα, συντάσσεται μετὰ μετοχῆς μέλλοντος· οἷον, ἴθι ποιήσων τόδε· εἰ δὲ ἐπίῤῥημα ἐστὶ παρακελευσματικὸν, ὥσπερ τὸ ἄγε, συντάσσεται μετὰ προστατικοῦ· οἷον, ἴθι φράσον· ἴθι ποίησον τόδε.

Πάντα τὰ ῥήματα τὰ ἐνεργητικὰ, ἃ καὶ δραστήρια λέγεται καὶ μεταβατικὰ, μετὰ αἰτιατικῆς συντάσσεται· οἷον, τύπτω σε, καὶ τὰ ὅμοια, τάδε παθητικὰ μετὰ δοτικῆς, ἢ μετὰ τῆς ὑπὸ προθέσεως μετὰ γενικῆς· οἷον τύπτομαι σοι, ἢ τύπτομαι ὑπὸ σοῦ· τὸ δὲ φεύγω σε, καὶ φοβοῦμαι σε, καὶ μὴ ὄντα δραστήρια, ὁμοίως μετὰ αἰτιατικῆς συντάσσεται· νοεῖται δὲ ἐν τούτοις ἡ διὰ πρόθεσις· οἷον φεύγω διά σε, καὶ φοβοῦμαι διά σε· ὡς αἰτίου ὄντος ἐκείνου ὃν φεύγεις· τὰ δὲ ἔχοντα ἐνέργειαν, οὐ μᾶλλον εἰς τὸ ἓν πρόσωπον, ἢ εἰς τὸ ἕτερον· οἷον πολεμῶ σοι· παλαίω σοι, μετὰ δοτικῆς συντάσσεται.

Τῶν ὀνομάτων, τὰ μὲν δηλοῦσι πάθος, τὰ δὲ ἐνέργειαν· οἷον ποιητὴς, ποιητός· κριτὴς, κριτός· τῶν δὲ δηλούντων πάθος, τὰ μὲν ἔχουσι τὸ πάθος ἐνεργείᾳ, τὰ δὲ δυνάμει· ἐνεργείᾳ μὲν, οἷον, γνωστὸς, ἤγουν ἐγνωσμένος, δυνάμει δὲ, οἷον θνητός· τρωτός· ἤγουν ὁ δυνάμενος τρωθῆναι.

Πάντα τὰ εἰς θεν ἐπιῤῥήματα κίνησιν ἔχει ἀπὸ τόπου· οἷον οὐρανόθεν· γῆθεν· Ἀθήνηθεν· τουτέστι ἀπὸ οὐρανοῦ· ἀπὸ γῆς· ἀπὸ Ἀθηνῶν· καὶ ἔχουσι τὴν ἀπὸ πρόθεσιν ἐν ἑαυτοῖς· καὶ διὰ τοῦτο οὐ δύναται αὖθις ληφθῆναι· οἷον ἀπ' οὐρανόθεν· ἢ ἀπὸ Ἀθήνηθεν· ὅμως δὲ ποιεῖται ἀδείᾳ ποιητικῇ.

Τὸ ἥκω τὸ ἔρχομαι, συντάσσεται μετὰ μετοχῆς ἀορίστου· ὡς τὸ

ἥκω λιπὼν νεκρῶν κευθμῶνα καὶ σκότου πύλας·

καὶ μετὰ μετοχῆς μέλλοντος, ὡς παρὰ Λουκιανῷ· "οἶμαι δὲ "καὶ σφᾶς ἔτι καὶ Σάμιππον τουτονὶ μὴ κατ' ἄλλό τι, ἐξ "ἄστεος ἥκειν, ἢ ὀψομένους τὸ πλοῖον·" καὶ δῆλον εὐθὺς ἀκούοντι τῷ σύνεσιν ἔχοντι πότε συντακτέον ταύτῃ, ἢ ἐκείνῃ τῇ μετοχῇ· τῇ τοῦ μέλλοντος φημὶ, καὶ τῇ τοῦ ἀορίστου· ὅταν γὰρ ὥσπέρ τις διενεργῇ λέξιν λάβῃ, τότε χώραν δοτέον τῇ μετοχῇ τοῦ ἀορίστου· ὡς ἐπὶ παραδείγματος φαίημεν ἂν, καὶ τὰ κατ' ἐμὲ, εὖ διαθεὶς, ἥκω· ὅταν δ' ἔρχηται ἐπὶ τοῦτο, ὅπως ἅψηται τοῦ πράγματος, τότε τῇ τοῦ μέλλοντος μετοχῇ· ὡς ἐπὶ παραδείγματος· ἥκω ποιήσων· Ἀριστοφάνης ἐν Νεφέλαις[d]·

ἥκομεν τὸν πολὺν ὀψόμεναι λεών.

Οἱ Ἀττικοὶ, ῥημάτων τῶν ἐνεργητικῶς γραφομένων τῶν ἐνεστώτων, οἷον, ἀκούω· ἐπαινῶ· γελῶ· θαυμάζω· γινώσκω· καὶ ἕτερα, τοὺς μέλλοντας οὐκ ἐνεργητικοὺς προφέρουσιν, ἀλλὰ μέσους· οὐ γὰρ ἀκούσω λέγουσιν, ἀλλὰ ἀκούσομαι· καὶ ἐπαινέσομαι· καὶ γελάσομαι· καὶ γνώσομαι.

Ἄγαλμα τὸ τοῦ θεοῦ ὁμοίωμα ἐν χαλκῷ, ἢ ξύλῳ, ἢ λίθῳ· ἀνδριὰς δὲ ὁμοίως τὸ τοῦ ἀνθρώπου· στήλη δὲ κυβοειδὴς λίθος ἐπιγράμματα τινῶν φέρων· εἴδωλα δὲ τὰ ἐν ταῖς ἐρημίαις νυκτός· παρὰ δὲ τῇ θείᾳ γραφῇ, εἴδωλα τὰ ἀγάλματα τῶν θεῶν.

Ἰστέον ὅπερ ἐστὶν τῆς θαλάσσης ἀκτὴ κρημνώδης καὶ δηλαδὴ τόπος, τοῦτο ἐπὶ ποταμοῦ λέγεται ὄχθη· ὅπερ δὲ ἐπὶ θαλάσσης αἰγιαλὸς, ὁ ἐπίπεδος δηλονότι καὶ ὁμαλὸς, τοῦτο ἐπὶ ποταμοῦ πλαταμών.

Ἰστέον ὅτι λειμὼν καλεῖται ὁ τῶν ἀνθέων· κῆπος, ὁ τῶν λαχάνων· παράδεισος, ὁ τῶν δένδρων.

Ἰστέον ὅτι Ἀθηναῖος λέγομεν· Ἀθηναία δὲ οὐχ εὕρηται, αἰδοῖ τῆς πολιούχου θεᾶς· ἥτις Ἀθηνᾶ καὶ Ἀθηναία ποιητικῶς

[d] νεφέλες Cod.

ἐλέγετο· ἀλλὰ Ἀττικὴ γυνή· καὶ Ἀτθὶς ἡ ἀπὸ τῶν Ἀθηνῶν ὠνομάζετο.

Ἰστέον ὅτι τοῦ ἥκω τοῦ δηλοῦντος τὸ ἔρχομαι, οἱ παλαιοὶ πάντες, καὶ ὅσοι μὴ διόλου τῶν ποιητῶν ἀττικίζουσι, τά τε ἐνεργητικὰ καὶ παθητικὰ διὰ τοῦ ι ἔγραφον· οἱ δὲ Ἀττικοὶ, μόνα τὰ ἐνεργητικὰ διὰ τοῦ η προφέροντες, τοῖς παθητικοῖς ὡς οἱ παλαιοὶ διὰ τοῦ ι ἐχρήσαντο· ἀλλ' οἱ μὲν ποιηταὶ τὰ παθητικὰ ταῦτα, καὶ χωρὶς προθέσεως ἔστιν ὅτε προφέρουσιν· οἱ δὲ Ἀττικοὶ ἀεὶ, σὺν τῇ ἀπὸ προθέσει· ἀφίξομαι· ἀφικόμην.

Ἁλωτὸν λέγεται τὸ δυνάμενον κρατηθῆναι· ἀφ' οὗ γίνεται καὶ αἰχμάλωτος· ἤγουν ὁ διὰ τῆς αἰχμῆς κρατηθείς· καὶ ἀνάλωτος, οὗ οὐ δύναταί τις ἐπιλάβεσθαι· τὸ δὲ ὀρειάλωτον, παρὰ τὴν συνήθειαν εἴρηται, δηλοῦν τὸ ἐν τῷ ὄρει πεπλανημένον· οὐδέποτε γὰρ ἀπὸ τοῦ ἀλῶ τὸ πλανῶ γίνεται τοιαύτη σύνθεσις.

Ἀπὸ τοῦ εἴδω ἀχρήστου ὁ παρακείμενος οἶδα· καὶ ἔστιν ἀντιχρονισμός· διότι λαμβάνεται ἀντὶ ἐνεστῶτος· ὅτι ὁ ἐνεστὼς αὐτοῦ ἄχρηστος ἐστίν. Ἰστέον δὲ ὅπου λαμβάνεται ὁ παρακείμενος ἀντὶ ἐνεστῶτος, ἐκεῖ καὶ ὁ ὑπερσυντελικὸς λαμβάνεται ἀντὶ παρατατικοῦ· οἷον, οἶδα, ἀντὶ τοῦ γινώσκω· ὁ ὑπερσυντελικὸς τούτου ᾔδειν, ἀντὶ τοῦ ἠπιστάμην· πέποιθα, ἀντὶ τοῦ θαῤῥῶ, ἐπεποίθειν ἀντὶ τοῦ ἐθάῤῥουν· οὕτω καὶ τὸ πέφυκα, ἐπεφύκειν· καὶ δέδοικα, ἐδεδοίκειν.

Ὡς ἔπος εἰπεῖν, ἤγουν συντόμως· τοῦτο γὰρ, ὡς ἂν εἴπῃ τις, εἰς παροιμίαν ἔπεσεν.

Συνῆκεν· ἀντὶ τοῦ ἐνόησε· καὶ προσθέσει τοῦ ε ποιητικῶς συνέηκε· κανονίζεται δὲ οὕτω· ξυνίημι, ὁ μέλλων ξυνήσω· ἀπόριαν δὲ ἔχει, πῶς τῶν σεσημειωμένων, τοῦ εἶπα, καὶ τοῦ ἤνεγκα, καὶ τοῦ ἔδωκα, καὶ τοῦ ἔθηκα, καὶ τοῦ ἧκα· καὶ ἐγράφη ὄπισθεν.

Μήνιξ, ὁ κρόταφος, ἀπὸ τῶν κερατοφύων ζώων· ἀπὸ τοῦ μανὸν εἶναι καὶ ἀραιόν.

Κύκλος, ἀρσενικῶς εἰς τὰ ἑνικά· πληθυντικῶς δὲ, οὐδετέρως, ἤγουν κύκλα· ὁμοίως καὶ ὁ νῶτος, πληθυντικῶς τὰ νῶτα.

Ἀνεψιὸς λέγεται ὁ ἐξάδελφος· οἱ δὲ ἀδελφῶν παῖδες, ἀδελ-

φιδοῖ· ὥσπερ ἀνεψιὸς πρὸς ἀνεψιὸν λέγεται, ὁ δὲ ἀδελφιδοῦς θεῖον· υἱωνὸς δὲ ὁ τοῦ υἱοῦ υἱός· ἤγουν ὁ ἔγγονος· ἔκγονος δὲ ὁ υἱός.

Ἐξῃρημένος, ὁ ἐξαίρετος· ἐξυρημένος δὲ ὁ τὰς τρίχας κεκομμένος, ψιλόν.

Ἕστηκα ἐγώ· ἕστακα ἕτερον, ἀντὶ τοῦ ἔστησα· καὶ ἀνέστακα ἕτερον, ἀντὶ τοῦ ἀνέστησα.

Κάθισον καὶ κάθησο διαφορὰν οὐ μικρὰν ἔχει· κάθισον ἐπὶ τῶν ἱσταμένων λέγεται, οἷον, πρός τινα ἱστάμενον φαμὲν, κάθισον· νοουμένου ἔξωθεν τοῦ σεαυτόν· τὸ δὲ κάθησο διὰ τοῦ η, ἐπὶ τῶν καθημένων, πειρωμένων ἀνίστασθαι· ὡς φαμὲν πρός τινα ἡμῖν τῆς ἑδρᾶς παραχωροῦντα· καὶ λέγομεν κάθησο· ἤγουν μένε καθήμενος.

Χρὴ, βαρύνεται· χρῆ δὲ περισπώμενον, ἀντὶ τοῦ χρησμὸν δίδωσι· καὶ χρῆν[e] ἀπαρέμφατον· χρᾶ γάρ ἐστι· καὶ τροπῇ τοῦ α εἰς η, χρῇ· καὶ ὁ μὲν θεὸς, χρῇ, ὁ δὲ ἄνθρωπος μαντεύεται· χρῶμαι δὲ τῷ πράγματι, ἀντὶ τοῦ ἀπολάβω τοῦ πράγματος· καὶ τὸ τρίτον, οὐ λέγομεν χρᾶται, ἀλλὰ χρῆται· καὶ τὸ ἀπαρέμφατον, οὐ χρᾶσθαι, ἀλλὰ χρῆσθαι.

Ἀπολάβειν γυναικὸς ἀγαθῆς· οὐ χεῖρον δὲ καὶ καλῆς· ἐνταῦθα ἀγαθῆς ἐπὶ γνώμης· καλῆς δὲ ἐπὶ εἴδους· παρὰ Συνεσίῳ τῷ φιλοσόφῳ δὲ τοὐναντίον· "αἱ πλείους δὲ νέαι καὶ ἀγαθαὶ "τὰς ὄψεις·" τουτέστιν ὡραῖαι· λαμβάνεται δὲ καὶ πολλάκις τὸ ἁπλοῦν, ἤγουν τὸ θετικὸν, ἀντὶ τοῦ συγκριτικοῦ· ὡς τὸ, "ἀγαθὸν πεποιθέναι ἐπὶ Κυρίου, ἢ πεποιθέναι ἐπ' ἄνθρωπον."

Ἀνδρεία γυνὴ, καὶ ἀνδρεία ἡ μία τῶν τεσσάρων γενικῶν ἀρετῶν. Ἀνδρία δὲ ἡ ἀπὸ τοῦ Ἄνδρου ι· ἐξ οὗ καὶ Ἀνδρίιος ἀνήρ.

Τὰ ἀπὸ τῶν εἰς ης ληγόντων ἀρσενικῶν ὀνομάτων καὶ εἰς ου κλινομένων, τὰ γινόμενα θηλυκὰ λήγοντα εἰς ις, καὶ εἰς δος κλινόμενα, ὀφείλουσι φυλάττειν τὸν τόνον ἐπὶ τῆς συλλαβῆς ἐφ' ἧς εἶχε καὶ τὸ ἀρσενικὸν, οἷον στρατιώτης, στρατιώτου· ἡ

[e] χρῆν ἀπαρέ Cod.

στρατιῶτις, τῆς στρατιώτιδος· νησιώτης, νησιώτου, ἡ νησιῶτις, τῆς νησιώτιδος.

Τὰ δὲ ἀπὸ τῶν εἰς ος ληγόντων ὀνομάτων, καὶ εἰς ου κλινομένων, τὰ γινόμενα εἰς ις θηλυκὰ, καὶ εἰς δος κλινόμενα, οὐ φυλάττουσι τὸν τόνον ἐπὶ τῆς συλλαβῆς ἐφ' ἧς καὶ τὸ ἀρσενικὸν, ἀλλ' ἐν τῇ ληγούσῃ· οἷον δμῶος, ὁ δοῦλος· καὶ κλίνεται δμώου· δμωὶς ἡ δούλη, καὶ κλίνεται δμωίδος· λάλος, λάλου· λαλὶς, λαλίδος· αἰχμάλωτος, αἰχμαλώτου· αἰχμαλωτὶς, αἰχμαλωτίδος· καὶ τὰ ὅμοια.

Εὕρατο· εὑρέω, εὑρῶ· ὁ μέλλων εὑρήσω· ὁ ἀόριστος εὑρήσα· ὁ μέσος εὑρησάμην· εὑρήσω· εὑρήσατο, καὶ κατὰ συγκοπὴν, εὕρατο· εὕρετο δὲ κανονίζεται. οὕτως· εὑρέω, εὑρῶ· ὁ μέλλων εὑρήσω· ὁ ἀόριστος εὑρήσα· ὁ β' εὗρον· ὁ μέσος εὑρόμην· εὕρου· εὕρετο.

Ἀφήρημαι· συντάσσεται γενικῇ καὶ αἰτιατικῇ· καὶ γενικῇ μὲν, ὅτε τίς μὴ ἔχων πρᾶγμά τι, δύναται δὲ τοῦτο κτήσασθαι, καὶ ἀμελήσας οὐ λάβῃ· οἷον ἀφήρημαι λόγων. ἀφήρημαι παιδείας· ταῦτα γὰρ οὐκ εἶχον, τὸν λόγον φημὶ, καὶ τὴν παιδείαν, δύνατον δέ μοι ἦν τοῦ κτήσασθαι· καὶ διότι ἠμέλησα, οὐκ ἔλαβον· ὅτε δὲ ἔχει τίς τι, καὶ στερηθεί[f] τούτου, αἰτιατικῇ· οἷον ἀφήρημαι τὸ ἱμάτιον.

Ἐπιτρέπω σοι ἐμαυτὸν, ἀντὶ τοῦ θαῤῥῶ σοι· ἤγουν ἐμπιστεύω· ἐπιτρέπομαι δὲ παρὰ σοῦ, ἀντὶ τοῦ ἄδειαν λαμβάνω.

Παραιτοῦμαι, τὸ συγγνώμην αἰτῶ, καὶ τὸ ἀποβάλλω.

Ἑκάτερος· καὶ ἀρσενικῶς καὶ οὐδετέρως· εὕρηται δὲ τούτου τὰ ἑνικὰ, καὶ τὰ δυϊκὰ, καὶ τὰ οὐδέτερα πληθυντικῶς ἐκφερόμενα· σημασίαν δὲ ἔχουσι δυϊκήν· οἷον ἑκάτερα μέρη· πληθυντικὰ δὲ οὐκ ἔχει· ἐπεὶ δύο μόνον σημαίνει καθ' ἕν, πῶς ἔνι[g] δηλῶσαι πληθυντικά· οὕτω καὶ ἐπὶ ἀμφοτέρα νοήσεις· ἐπεὶ γὰρ ἡ σημασία ὑπὸ πλήθους εἰς δύο λαμβάνεται καὶ εἰς πολλὰ, οὐκ εἰκὸς ἔχει ἑνικά· ὅθεν οὔτε ἑνικὰ οὔτε δυϊκὰ ἔχει· οὔτε μὴν εὐθεῖαι τῶν πληθυντικῶν εὕρηνται· ἤγουν ἀμφότεροι, ἀλλ' ἀμφοτέρων· ἀμφοτέροις, ἀμφοτέρους· ἕκαστοι δὲ καὶ ἑνικὰ καὶ

[f] Sic Cod. [g] Sic.

πληθυντικά· καὶ χωρὶς δὲ ἄρθρων γραπτέον, καὶ ἑκάτερα καὶ ἀμφότερα, καὶ ὅσα ἐπὶ ἀριθμοῦ. εἰ δὲ καὶ τεθῇ ἄρθρον, εἰς τὸ προσηγορικὸν μετάγεται· οἷον, οἱ δύο ἄνθρωποι· τὸ γὰρ οἱ ἄρθρον εἰς τὸ ἄνθρωποι συντάσσεται· ὡσαύτως καὶ εἰς τὰ ἕτερα νοήσεις οὕτως. εἷς, ἑνός· ἑνὶ, ἕνα· καὶ πλέον οὐδὲν, μηδεὶς καὶ οὐδεὶς, ἔχουσι καὶ πληθυντικὰ, καὶ εἰκότως· ὅτι τὸ μὲν εἷς, ἐπεὶ σημασίαν ἔχει ἑνικὴν, ἀδυνάτως ἔχει προχωρῆσαι εἴς τε δυϊκὰ καὶ πληθυντικά· τὸ δὲ μηδεὶς, καὶ οὐδεὶς, καὶ τὰ τοιαῦτα, ἐπεὶ ἡ σημασία αὐτοῦ παραλαμβάνει οὐδὲν, κλίνεται εἰς ἑνικὰ ἀναλόγως, καὶ κλίνεται καὶ εἰς πληθυντικά.

Ἀλόη καὶ ξυλαλόη, μικρά· ἀλωὴ δὲ ἡ ἀμπελόφυτος γῆ μέγα· καὶ ὁ Ἡρακλείτος "τὴν ἀλόην σμίκρυνε καὶ ξυλαλόην· "οὐ μὴν ἀλωὴν, ἀμπέλου τὸ χωρίον."

Ἀγχίαλος τόπος ὁ πλησίον[h] θαλάσσης. Ἀγχιβαθὺς λιμὴν, ὁ βαθύς.

Ἀγχιβατῶ, ἀντὶ τοῦ πλησίον βαίνω. Ἀγχίθυρος, ὁ γειτνιάζων, καὶ οἱονεὶ πλησίον τῆς θύρας ὑπάρχων. Ἀγχίμολος, ὁ ἐκ τοῦ σύνεγγυς παραγενόμενος. Ἄγχιστος ὁ πλησιάζων. Ἀγχιστεία, ἔστι δὲ ἡ ἀγχιστεία οἰκειότης προσώπων ἐκ γάμων ἡμῖν συνημμένη, συγγενείας ἐκτός· ἀπὸ δὲ τῆς ἀγχιστείας, λέγεται καὶ ἀγχιστεὺς, ὁ πλησιάσας γένει τινί.

Ἀγχίστροφος, ὁ ἐγγύθεν στρεφόμενος· καὶ ἀπερίστροφος καὶ εὐμετάβολος. Ἀγχιτέρμων, ὁ ἐγγὺς τοῦ τέλους· καὶ ὁ γείτων, καὶ τὰ ὅμοια, διὰ τοῦ ι· πλὴν τοῦ ἀγχηστῖνος ὁ ἐπάλληλος διὰ τοῦ η.

Τὰ διὰ τοῦ ια ὀνόματα ἐπὶ ἑορτῶν λεγόμενα, διὰ τοῦ ι γράφεται· οἷον Ἀπατούρια· Ἀρτοφόρια· Βουφόνια· Διάσια· Ἐλευσίνια· Θαλύσια· Θεσμοφόρια· Ἴσια· Κρόνια· Ποσειδώνια· Τιτάνια· Ὑακίνθια· Ὀσχοφόρια, καὶ τὰ ὅμοια. πλὴν τοῦ Αἰάκεια· Κιδωνίδεια· Ἀντιγόνεια· Δημήτρεια· Διόμεια· Διπόλεια· Ἡράκλεια· Ἡφαίστεια· Θήσεια· Πανάκεια· Φιλεταίρεια, καὶ εἴτι ὅμοιον. Γίνωσκε ὅτι Ἀσκληπιαία ἡ ἑορτὴ τοῦ Ἀσκληπίου δίφθογγον γράφεται.

[h] Sic Cod.

Τὰ διὰ τοῦ ια οὐδέτερα ἐπὶ ἀγώνων λεγόμενα, διὰ τοῦ ι γράφεται· οἷον, Δήλια, ἀγὼν τελούμενος ἐν τῇ Δήλῳ τῇ νήσῳ· Ἴσθμια, ἀγὼν τελούμενος ἐν τῷ Ἰσθμῷ τοῦ Κορίνθου· Πύθια ἀγὼν τελούμενος ἐν τῇ Πυθῷ τῆς Φωκίδος· πλὴν τοῦ Νέμεια· Νέμεα γάρ ἐστι, καὶ πλεονασμῷ τοῦ ι, Νέμεια· καὶ τὰ Νέμεια δὲ ἀγὼν τελούμενος ἐν τῇ Νεμέᾳ.

Ἀχυρμιὰ, τὸ ἐν τῷ ἅλωνι κείμενον ἄχυρον.

Ἁρμαλιὰ, ἡ τροφὴ, ἡ συναρμόζουσα καὶ συνδεσμοῦσα τὰ μέλη.

Τὰ ἀπὸ τῶν εἰς ευς ἀρσενικῶν, διὰ τοῦ εια γινόμενα θηλυκὰ, προπαροξύνονται, καὶ διὰ τῆς ει διφθόγγου γράφεται· οἷον Ἀμασσεὺς, Ἀμάσσεια· Ἀλεξανδρεὺς, Ἀλεξάνδρεια· Ἀντιοχεὺς, Ἀντιόχεια· Ὀδυσσεὺς, Ὀδύσσεια· Χαιρωνεὺς, Χαιρώνεια· ἱερεὺς, ἱέρεια, καὶ τὰ ὅμοια.

Ἁλιαίετος, ὁ ἐν τῇ θαλάσσῃ αἰετός.

Ἁλιδόνητος, ὁ ὑπὸ θαλάσσης ταρασσόμενος.

Ἄδεια, ἡ ἀνάπαυσις.

Ἀδράστεια, ἡ μέμψις, καὶ κύριον ὄνομα.

Ἀμαλθεία, ἥτις ἐμυθεύετο παρ' Ἕλλησιν αἰγίδιον ἔχων πολλὴν τοῦ γάλακτος βλύσιν.

ΤΟΥ

ΗΡΩΔΙΑΝΟΥ

ΠΕΡΙ ΤΟΝΩΝ ΤΩΝ ΕΠΙΡΡΗΜΑΤΩΝ[a].

ΤΑ εἰς ως ἐπιῤῥήματα, ἐπὶ τέλους ἔχοντα τὸν τόνον, περισπῶνται, ἀληθῶς, ἀψευδῶς· τὸ καθὼς καὶ ὣς, ἀντὶ οὕτως, ὀξύνεται. Τὰ εἰς ω ὀξύνεται· ἰὼ, ὤ· τὸ δὲ τῆς κλητικῆς περισπᾶται, ὦ. Τὰ εἰς ων πάντα ὀξύνονται· ἐμποδὼν· ἐκποδὼν· ἐκδεξιὼν· χρεών. Τὰ εἰς ης διὰ τοῦ η περισπῶνται· ἑξῆς· ἐφεξῆς· καθεξῆς. Τὰ δὲ διὰ τοῦ ι ὀξύνεται· δίς· τρίς· χωρίς. Τῶν εἰς" η ληγόντων περισπῶνται ταῦτα· διπλῆ· τριπλῆ· ἡσυχῆ· πεζῆ· πανταχῆ· ὡς ἀπὸ περισπωμένων γινόμενα. Τὸ διπλῶς· πεζῶς· περισπᾶται· καὶ τὸ ὁμαρτῆ· ἁμαρτῆ· κομιδῆ· πῆ· ᾗ, ἀντὶ ὅπου. καὶ ἀντὶ τοῦ καθά· ὀξύνεται δὲ ταῦτα· ὠή· ἰωή· δηλαδή· ἀκμήν. Τὰ εἰς ι λήγοντα ὀξύνεται· ἀμισθί· δευρί· προπερισπῶνται δὲ ταῦτα· αὖθι· ἦχι· ἶφι. Τὸ ναὶ, χὶ ὀξύνεται. Καὶ τὰ εἰς ει δίφθογγον ὀξύνεται· ἀεί· αἰεί· πανδημεί. Καὶ τὰ εἰς αι ὀξύνονται· χαμαί· βαβαί. Τὸ ἴθι, εὔθε, καὶ αἴθε, παροξύνονται. Τὸ χαμᾶζε δὲ προπερισπώμενον εὗρον, ἀλλ' ἡ συνήθεια παροξύνει. Τὰ εἰς οι περισπῶνται· ἐνταυθοῖ· ποῖ· οἴκοι δὲ παροξύνεται. Τὰ εἰς οι καὶ αι σχετλιαστικὰ, παραλόγως περισπῶνται· ὀττοττοῖ· εὐοῖ· παπαῖ· ἀταταῖ· πλὴν τοῦ αἴ· οὐαί· βαβαί· παροξύνεται δὲ τὸ οἴμοι· ὤμοι· ἡ δὲ συνήθεια τὸ παπαὶ καὶ ἀταταὶ ὀξύνει.

Τὰ εἰς ευ περισπῶνται· φεῦ· εὖ. Καὶ τὰ εἰς ου περισπῶνται· πανταχοῦ· ἀγχοῦ· ὁμοῦ· αὐτοῦ· πλὴν τοῦ ἰδού· ἰού· καὶ οὔ τὸ ἀρνητικόν· τοῦτο καὶ ἐν τῇ συνηθείᾳ ὀξύνεται. Τὰ εἰς υ ὀξύνεται, ἰθύ· εὐθύ· μεσηγύ· καὶ τὸ εὐθύς. Τὰ εἰς ξ ὀξύνεται· ὀδάξ· ἀπρίξ. Τὰ εἰς α ὀξύνεται· τριχθά· τετραχθά· καὶ τὰ ἄλλως ἔχοντα τὸ α· ἄψ· μάψ· λάξ. Τὰ δὲ διὰ τοῦ α,

[a] Herodiani Fragmentum e Cod. Barocc. 125. f. 149 vers.

πρὸ μιᾶς συλλαβῆς ἔχοντα τὸν τόνον, καὶ μακρᾶ παραληγόμενα, προπερισπῶνται· ὦκα· ἦκα· αἶψα· οἷα· αὐτίκα· τὸ δὲ ἅμα παροξύνει τὴν παραλήγουσαν, καὶ τὸ κάρτα διὰ τὸ θέσει μακρόν.

Τὰ εἰς αρ προπερισπῶνται· αὐτῆμαρ· ἐννῆμαρ. Τὰ ἐρωτηματικὰ περισπῶνται· πῶς· ποῦ· πῆ· ποῖ. Τὸ πώποτε προπαροξύνεται.

Τὸ ἱνατί καὶ διατί, καὶ ἐν τῇ συνεπείᾳ ὀξύνεται.

---

[b]Πᾶς σύνδεσμος μονοσύλλαβος βραχυκατάληκτος, ὀξύνεται· οἷον, γάρ· ἄρ· ῥά· δέ· τέ· μέν· κέν· ἄν· πέρ.

Οἱ εἰς α λήγοντες σύνδεσμοι, ὑπὲρ μίαν συλλαβὴν ὄντες, βαρύνεσθαι θέλουσι· ἄρα· κάτα· ὄφρα· ἵνα· ἕνεκα· οὕνεκα· δῆτα· πλὴν τοῦ ἀλλά.

Οἱ συμπλεκτικοὶ σύνδεσμοι, ὀξύνονται· μέν· δέ· τέ· καί· ἀλλά· ἠμέν· ἠδέ· ἀτάρ· αὐτάρ· πλὴν τοῦ ἤτοι· οὗτος γὰρ οὐ μόνον συμπλεκτικός ἐστιν, ἀλλὰ καὶ διαβλητικός· οἷον, ἤτοι ἄξιον, ἢ οὐκ ἄξιον.

Οἱ εἰς σ λήγοντες σύνδεσμοι, ὑπὲρ μίαν συλλαβὴν ὄντες, βαρύνονται, οἷον, ὅπως· ἔμπης· ὅμως. Ἔτι καὶ πᾶς σύνδεσμος παραπληρωματικὸς ὀξύνεται πλὴν τοῦ αὖ.

Οἱ αἰτιολογικοὶ σύνδεσμοι, ὄντες ὑπὲρ μίαν συλλαβὴν, βαρύνονται· οἷον, ἕνεκα· οὕνεκα· ἕνεκεν· ὄφρα· ἵνα· χάριν· ὃ μετῆλθεν ἀπὸ αἰτιατικῆς ἑνικῆς πτώσεως εἰς σύνδεσμον· ὁ μέντοι ἐπεὶ ὀξύνεται, σύνθετος ὢν, ἐκ τῆς ἐπὶ προθέσεως καὶ τοῦ εἰ συναπτικοῦ συνδέσμου· καὶ ἔστι σύνδεσμος παρασυναπτικός· τούτῳ ἠκολούθησε καὶ ὁ ἐάν· ὅτι καὶ αὐτὸς σύνδεσμος ἐστὶν ἀπὸ τοῦ εἰ συναπτικοῦ συνδέσμου, καὶ τοῦ αν παραπληρωματικοῦ· ὁμοίως καὶ ὁ ἠέ· καὶ ὅδε μῶν, καὶ οὖν περισπῶνται.

Ὁ ἢ σύνδεσμος καὶ ὀξύνεται καὶ περισπᾶται· καὶ ἡνίκα

[b] Aliud Fragmentum de Conjunctionibus ex eodem Herodiano ut videtur desumptum in Cod. Barocc. 72. f. 67. r. sed Auctore non nominato.

μὲν εὑρέθη[c] διαπόρησις μετὰ διαζεύξεως, τότε ὁ ἢ ὢν ἐν τῇ ἀρχούσῃ, ὀξύνεται· ἐν δὲ τῷ μέσῳ, περισπᾶται.

ἢ δολιχὴ νοῦσος, ἢ Ἄρτεμις ἰοχέαιρα[d] (Od. Λ. 171.)

ἡνίκα δὲ εὑρέθη διαπόρησις ἄνευ διαζεύξεως[e], τότε ὁ ἢ καὶ ἐν τῇ ἀρχούσῃ καὶ ἐν τῷ μέσῳ περισπᾶται· οἷον, ἢ τῷ Ἀχιλλεῖ, ἢ τοῖς Τρωσὶν, ἤγουν, καὶ τούτῳ, καὶ ἐκείνοις.

c εὐρεθει Cod. d δολίχη ἢ νῆσος ἐστὶν ἢ Ἄρτεμις ἰοχαίερα Cod.
e ἀναδιαζεύξεως Cod.

ΤΟΥ

ΗΡΩΔΙΑΝΟΥ ΠΕΡΙ ΔΙΧΡΟΝΩΝ[a].

[b]Καθολου τὰ τρία δίχρονα τὰ ἐκ συναλοιφῆς ἐκτείνεσθαι θέλει[c]· ἀέκων[d], ἄκων· κρέαα, κρέα· κέραα, κέρα· εἰ μέν τοι[e] ἀποκοπήν τινα δέξεται τῆς τα συλλαβῆς, τοῦ[f] κέρατα[g], κέρα, καὶ[h] κρέατα, κρέα, συνεσταλμένον ἐστὶ[i] τὸ δίχρονον[k]· Θέτιι, Θέτι·

πάντα Θέτι καλλιπλοκάμῳ[l]· (Il. Σ. 407.)

μήτιι, μήτι·

μήτι δ' ἡνιόχοιο περιγίγνεται[m]· (Il. Ψ. 318.)

ἱερεὺς, ἱρεύς· βότρυες, βότρυς· νέκυες, νέκυς.

Πᾶν ὄνομα μονοσύλλαβον ἀπαθὲς εἰς ν λῆγον, ἢ εἰς ρ, ἢ εἰς σ, εἴτε θηλυκὸν, εἴτε ἀρσενικὸν, εἴτε οὐδέτερον, ἀπαρασχημάτιστον ἀρσενικῷ, εἰ ἔχοι δίχρονον, ἐκτείνειν αὐτὸ θέλει[n]· ὡς ἔχει τὸ πᾶν[o]· πᾶς· γρᾶς[p]· πρᾶς· κρᾶς· λίς· κίς· μῦς· σῦς·

[a] Sic Cod. Barocc. 72 (B.) Cod. Barocc. 119 (A.) περὶ ποσότητος τῶν διχρόνων Ἡρωδιανοῦ. Titulus rubr. lit. scriptus; Herodiani autem nomen atramento et recentiori manu adscriptum. [b] Δίχρονα εἰσὶ τρία· α· ι· υ· καὶ Cod. B. Sed cum A. consentit Cod. Par. 2810 (b). et Cod. Par. 2008 a Bastio usurpati, et Gramm. Hermanni in Reg. de Prosod. p. 432. Idem Bastius notat eosdem Canones legi in Cod. MS. Græco No. 66. de la premiere chambre des titres, idque multo emendatius quam in Herm. editione. Magna pars horum canonum e Dracontis Stratonicei περὶ μέτρων ποιητικῶν (No. 2673) tractatu inedito (cum Bastius scribebat) sed nuper ab Herm. vulgato, desumta videtur. [c] ὀφείλει ἐκτείνεσθαι A. [d] οἷον ἀέκων B. et ubique in exemplis citandis. [e] καὶ εἰ μὲν B. [f] τὰ B. [g] τὰ B. [h] τὰ B. [i] Sic A. et Par. b. ἔχει B. et Gram. Herm. [k] τὰ δ' ἄλλα τὰ συναλοιφὴν ὑπομένοντα ἐκτείνονται add. B. [l] om. B. [m] om. B. [n] θέλει αὐτὸ B. [o] οἷον πᾶν, [οὐ τὸ παρεσχηματισμένον τῷ ἀρσενικῷ, ἀλλ' ὄνομα καθ' ἑτερόκλισιν, ὁ Πὰν, τοῦ Πανὸς] B. quæ uncinis inclusi recentiori manu et liter. rubr. scripta sunt. [p] γραῦς B.

δρῦς· πῦρ· ψάρ· κάρ· διὸ τὸ[q] τὶς σημειούμεθα συστελλόμενον τὸ ι. τὸ δὲ

σταδᾶ[r] λίμνην,

ἢ

κλᾶδα χρυσεόκαρπον[s]·

οὐχ ἕξει τινὰ ὀξεῖαν, στᾶς ἢ κλᾶς, μεταπλασμοὶ γάρ εἰσι· τὸ

ἐξ ὀρέων ἐπὶ κὰρ

κατὰ πάθος· ἀπὸ γὰρ τοῦ κάρη, κατὰ ἀποκοπὴν τοῦ η γέγονεν.

Πᾶν[t] εἰς αν λῆγον ἀρσενικὸν ἐπ' εὐθείας, ἐκτείνεσθαι θέλει· Παιάν· Τιτάν· Ἀλκμὰν, καὶ ὅσα τοιαῦτα.

Πᾶν[u] εἰς ας ἀρσενικὸν βαρύτονον ἐπ' εὐθείας, ἐκτείνεσθαι θέλει· εἴτε ὄνομα εἴη, εἴτε μετοχή· Αἴας· Δρύας· Θόας· λέξας· γράψας· ποιήσας. διὸ σημειούμεθα ποιητικῶς τὸ "λάας ἀναιδής[v]· καὶ[w] μέγας ἐπίθετον· τὸ

δουρὶ δὲ ξυστῷ μέμηνεν Αἴας[x]·

καὶ ὅσα τοιαῦτα· κατὰ πάθος

δήσας ἀλυκτοπέδησι[y].

Τὰ εἰς ας ὀξύτονα ὀνόματα δισύλλαβα διὰ τοῦ δος κλινόμενα συστέλλεσθαι θέλει[z]· Ἀρκάς· φυγάς· ἑθάς· πολυδειράς[a].

Τὰ εἰς ας[b] περισπώμενα ἀναγκαίως ἔχει[c] τὸ α μακρόν· ἀλλᾶς· ἡρᾶς[d]· Βοῤῥᾶς· πελεκᾶς[e].

Τὰ εἰς ας λήγοντα οὐδέτερα, καὶ βαρύνεται καὶ συστέλλονται[f]· κρέας· τέρας· δέπας· κέρας.

Τὰ εἰς αξ λήγοντα[g] καὶ ἐκτείνει[h] τὸ α, καὶ συστέλλει[i]· ὅσα μὲν οὖν δισύλλαβα ὄντα ἔχει πρὸ τέλους[k] μὴ φύσει μακρὰν, ἀλλ' ἢ[l] βραχεῖαν, ἢ θέσει μακρὰν, ἀδιάφορον ἔχει τὸν

[q] τὸ δὲ τὶς B. [r] στάδα Draco Straton. p. 71. sed σταδᾶ Gramm. Herm. p. 433. ut et Codd. nostri. [s] χρύσεον καρπὸν Codd. [t] πᾶν ὄνομα B. [u] πᾶν ὄνομα B. [v] ἀναίδης om. B. [w] τὸ μέγας B. [x] Hoc fragm. ex Alcmane plen. cit. Chœrobosc. Bekker. Anecd. p. 1182. [y] δήσας ἀλήκτω πέδησι A. om. B. locus desumptus ex Hesiod. Theog. (521). δῆσε δ' ἀλυκτοπέδησι Προμηθέα ποικιλόβουλον. sed omnes Codd. nostri et Par. et Drac. Straton. δήσας. [z] συστέλλειν θέλει τὸ δίχρονον B. [a] καὶ τὸ πολυδ. B. [b] τὰ εἰς ας ὀνόματα B. [c] ἔχουσι B. [d] ἡρᾶς om. B. [e] φλασκᾶς add. Herm. Gramm. et Cod. Par. b. [f] καὶ συστέλλουσι τὸ α B. [g] ὀνόματα B. [h] ἐκτείνουσι B. [i] συστέλλουσι B. [k] προτέλους Codd. [l] ἀλλὰ ἢ B.

χρόνον τοῦ α. κόραξ· κόλαξ[m] φύλαξ· ἄναξ· βόαξ· νέαξ· ὄμφαξ· φόρταξ. εἰ μέντοι ἡ πρὸ τέλους φύσει μακρὰ εἴη[n], ἡ δὲ τελευταῖα συστέλλοιτο, γένος θηλυκὸν ὁρᾶται· πίδαξ· κλίμαξ· λείμαξ· βώλαξ[o]· διὸ καὶ τὸ μεῖραξ, ἐπὶ θηλυκῷ[p] τιθέμενον εὖ ἂν ἔχοι. οὐκ ἀγνοῶ δὲ, ὡς[q] ἔσθ' ὅτε, οἱ κωμικοὶ καὶ ἀρσενικῷ γένει τὴν σύνταξιν ποιοῦνται· ἀλλ' εἰκὸς αὐτοὺς θηλυκῇ προσηγορίᾳ σκώπτειν τοὺς πασχητιῶντας.

Ὅσα μέντοι ἔχει[r] τὴν πρὸ τέλους[s] φύσει μακρὰν ἀρσενικὰ ὄντα, καὶ τὸ α θέλει ἔχειν ἐκτεταμένον[t]· ὡς ἔχει τὸ φαίαξ[u]· θώραξ· οἴαξ· πλούταξ· βώμαξ· νώδαξ· σημειούμεθα τὸ Γύναξ καὶ Γύλαξ[v] ἔχοντα φύσει μακρὰν τὴν παραλήγουσαν, καὶ συστέλλοντα τὸ α· εἰσὶ δὲ ταῦτα κύρια ὀνόματα· καὶ τὸ σαύσαξ· φασὶ δὲ εἶναι τοῦτο ὄσπριον[w]· καὶ τὸ καύναξ διφορούμενον[x]· τοῦτο γὰρ, ποτὲ μὲν συστέλλει τὸ α, ποτὲ δὲ ἐκτείνει αὐτό· ἐστὶ δὲ ὄρνεον. Τὰ μέντοι ὑπὲρ δύο συλλαβὰς, ἐκτείνει[y] τὸ α, μὴ ὄντα σύνθετα· ἱέραξ· ἐπιδαύραξ· ὀρθίαξ· θορυβίλλαξ[z]· τὰ δὲ σύνθετα βαρύνονται, καὶ τὸν τῶν ἁπλῶν χρόνον φυλάττει[a]· Ἀχαρνοφαίαξ· Ἱππώναξ· ἀρχαιάναξ· ἐριβώλαξ[b]· πολυπίδαξ[c]. τὰ δὲ ὀξύτονα σύνθετα συστέλλει τὸ α· διασπάξ· βλεφαρόσπαξ[d]. τὰ μέντοι μονοσύλλαβα, θηλυκὰ μὲν ὄντα, θέλει συστέλλειν τὸ α· σπάξ[e]· οὕτως ἡ κύων παρὰ Πέρσαις· κλάξ· πλάξ· γλάξ· δράξ· ἡ δὲ ῥὰξ ἐκτέταται· τὰ δὲ ἐκτείνοντα τὸ α ἀρσενικὰ ἐστί[f]· κλάξ· κράξ· πτάξ· τὸ δὲ Πρὰξ ἱστορεῖται μὲν ἐκτείνεσθαι· ἐγένετο δὲ Ἀχιλλέως ἀπό-

[m] κόραξ, κόλαξ, χάραξ, δόναξ, ῥόδαξ, φύλαξ, ἄναξ, βόαξ, ὄμφαξ, φόρταξ, φέναξ, Cod. Par. et Drac. Strat. [n] καὶ ἡ μὲν ἡ πρὸ τέλους εἴη φ. μ. B. [o] βόλαξ A. [p] θηλυκοῦ B. [q] οὐκ ἀγνόω δὲ ὡς om. B. sed cum A. consentit Par. Bast. [r] ἔχουσι B. [s] προτέλους Cod. A. [t] καὶ τὸ α ἐκτεταμένον θέλουσιν ἔχειν B. [u] οἷον τὸ φ. B. [v] γλὰξ A. γνὰξ καὶ γύλαξ Cod. Par. [w] ὄσπρεον A. [x] διαφερούμενον B. [y] ἐκτείνουσι B. [z] θορυβίλαξ Par. b. sed alter. Par. θορυβίλλαξ. [a] Τὰ δὲ σύνθετα βαρύτονα καὶ τῶν ἁπλῶν τὸν χρόνον φυλάττουσιν, ἤγουν ἐκτείνουσι τὸ α B. et Par. [b] ἐριβόλαξ Codd. A.B. [c] πολυπήδαξ Codd. A.B. [d] βλεφαροπὰξ Codd. A.B. et Par. sed Draco Straton. p. 15. et Gramm. Hermann. p. 434. βλεφαροσπὰξ quod melius. [e] στὰξ Codd. sed legend. σπὰξ ex Herodot. I. c. 110. [f] εἰσὶν B.

γονος· ἔνθεν οἱ Πράκες· συστέλλεται δὲ ἔσθ' ὅτε τὸ α[g]. *Τὰ μέντοι εἰς ιξ μονοσύλλαβα συστέλλει τὸ ι, ἔχοντα δύο σύμφωνα πρὸ τοῦ ι· στίξ· φρίξ*[h]· *θρίξ· τὸ μέντοι ἶξ καὶ φὶξ ἐκτείνεται*[i].

Τὰ μέντοι εἰς ιξ λήγοντα ὑπὲρ μίαν συλλαβὴν πάντα συστέλλει τὸ ι· ἐπὶ μέντοι γενικῇ[k], *πῇ μὲν φυλάττει τὸ ι συνεσταλμένον, πῇ δὲ ἐκτείνει· καὶ φασὶ τήρησίν τινα εἶναι τοιαύτην· ὡς τὰ ἔχοντα πρὸ τέλους μακρὸν, ἔχει ἐν τῇ γενικῇ ἐκτεινόμενον τὸ ι*[l]· *φοίνιξ· βέμβριξ· τέμβριξ*[m]· *πέμφιξ· τέττιξ· σκάνδιξ· πέρδιξ· χοίνιξ· Πτολεμαῖος δὲ ὁ Ἀσκαλωνίτης φησὶν, ὡς τῆς πέρδικος καὶ χοίνικος γενικῆς ἡ μέση συστέλλεται· πεισθεὶς Ἀριστοφάνει τῷ γραμματικῷ, καὶ τοῖς οὕτω χρησαμένοις ποιηταῖς διὰ*[n] *μέτρον· ἀλλὰ ταῦτα διὰ*[o] *μέτρον ἐγένετο· ἔστι γὰρ*[p] *αὐτὰ εὑρεῖν ἐκτεταμένα πολλάκις. τὸ μέντοι Θρήϊκες, συστέλλει τὸ ι, ἔχον διαλλαγήν· λέγεται γὰρ*[q] *καὶ Θραϊκὸς, καὶ Θρεϊκὸς, καὶ κατὰ συναλοιφὴν Θρῃκός· τὸ δὲ ἧλιξ συνεξῆλθε τοῖς ἔχουσι τὸ λ πρὸ τοῦ ι· χόλικος· ἕλικος*[r]· *χάλικος· κύλικος· τὸ σύμμιγος σύνθετόν ἐστιν.*

Τὰ εἰς υξ[s] *μονοσύλλαβα συστέλλει τὸ υ· τρύξ· Φρύξ· πτύξ*[t]· *Στύξ· χρόνος ὁ αὐτὸς καὶ ἐπὶ γενικῆς.*

Τὰ εἰς υξ δισύλλαβα, καὶ αὐτὰ σύστελλει τὸ υ· φυλάττει μέντοι τὸ υ συνεσταλμένον, ὅποτε[u] *τὸ χ ἢ τὸ γ ἐπὶ γενικῆς ἔχει· στόνυχος· ὄνυχος· ὄρτυγος· ἤλυγος· δίζυγος· φάρυγγος· τὸ δὲ κόκκυγος, συστέλλουσι καὶ ἐκτείνουσιν· εἰ μέντοι διὰ τοῦ κ ἡ κλίσις ὑπάρχοι*[v], *πῇ μὲν φυλάττει τὸ υ συνεσταλμένον, πῇ δὲ ἐκτείνει· Ἔρυκος*[w] *γὰρ συνεσταλμένως· καὶ*[x]

[g] *ἔσθ' ὅτε συστέλλεται τὸ α* B. [h] *φρὶξ* semper producitur. Leonidas *φρίκα φέρει ζέφυρος*. Cf. Henr. Steph. v. *Φρὶξ*. Bast. [i] *τὸ μέντοι—τείνεται* om. B. sed cum lacunæ indicio. [k] *ἐπὶ μὲν τῇ γενικῇ* B. [l] *ἔχει ἐκτεινόμενον τὸ ι ἐν τῇ γενικῇ* B. [m] *βέμβριξ* om. A. sed habet Cod. Par. *βέβριξ*. *τέμβιξ* Cod. Par. b. [n] *διὰ τὸ* B. [o] *διὰ τὸ* B. [p] *ἔστι δὲ* B. [q] *ὅτι λέγεται* B. [r] *ἴλικος* B. [s] *ιξ* male Cod. A. [t] *πὺξ* A. sed *πτὺξ* B. et Cod. Par. [u] *ὁ πότε* A. [v] *ὑπάρχει* B. [w] *εὔρυκος* A. *τὸ δὲ εὔρυκος* B. [x] *καὶ τὸ* B.

ἄμβυκος· Βέβρυκος· κάλυκος· γάννυκος· Ἴβυκος· ἐκτεταμένως δὲ[y]*, βόμβυκος· αἴθυκος· κήρυκος· τὸ*

κήρυκι Ἠπυτίδῃ[z]

διὰ μέτρον[a] *φασὶν ἔχειν συστολήν.*

Τὰ *μέντοι εἰς υξ ὑπὲρ δύο συλλαβὰς, ἤτοι σύνθετα ἢ καὶ ἁπλᾶ, προδήλως*[b] *ἔχει τὸν τόνον, ὡς ἐν τῇ κλίσει παραδέδοται.*

Τὰ *εἰς ιψ*[c] *μονοσύλλαβα ἐκτείνεται ὁμοίως καὶ ἐπὶ γενικῆς· διὸ ἡ*[d] *λιβὸς γενικὴ σημειώδης· τὰ δὲ ὑπὲρ μίαν συλλαβὴν συστέλλεται*[e]*· θέλουσι δὲ παιδότριψ ἐντείνειν*[f]*, πλανώμενοι ἐκ τοῦ παρ' Ἀρχιλόχῳ*

ἄνδρες ἐς ἀμφιτρίβας[g].

Τὰ *εἰς αιψ λήγοντα ὑπὲρ μίαν συλλαβὴν φαμὲν συστέλλειν τὸ α*[h]*· λαίλαιψ· ἐν δὲ μονοσυλλάβοις τὸ δραὶψ ἐκτείνεται*[i]*, κείμενον παρὰ Ἀριστοφάνει· καὶ τὸ μαὶψ*[k] *παρὰ Ταραντίνοις· ἡ δὲ γραὶψ καὶ θαὶψ θηλυκῷ γένει κατακλειόμενα συστέλλεται.*

Τὰ *διὰ τοῦ ἄνω ῥήματα*[l] *ὑπὲρ δύο συλλαβὰς βαρυνόμενα ἔχει τὸ α συνεσταλμένον· λιμπάνω· μανθάνω· λανθάνω*[m]*· λαμβάνω· τὸ μέντοι ἱκάνω καὶ κιχάνω ἄλογον*[n] *ἔχει τὸν πρῶτον χρόνον τοῦ ἀορίστου.*

Τὰ *εἰς πτω λήγοντα ῥήματα, εἰ ἔχοι*[o] *τὸ ι πρὸ τοῦ τέλους, συνεσταλμένον αὐτὸ ἔχει· λίπτω· ἴπτω· χρίπτω· διὸ σημειούμεθα τὸ πίπτω καὶ ῥίπτω.*

Τὰ *εἰς νος λήγοντα*[p] *δισύλλαβα ἐπ' εὐθείας, καθαριεύοντος τοῦ ν, εἰ*[q] *ἔχει πρὸ τέλους τὸ υ, ἐκτείνει αὐτὸ, ὡς ἔχοι τὸ*

[y] *τὸ* B. [z] Il. P. 324. ubi nunc vulgo legitur *κήρυκ' Ἠπυτίδῃ*. Cit. om. B. Par. b. pro *ἠπυτίδῃ* habet *ἐπηπήτυδης* (sic). [a] *μέτρου* B. [b] *πρόδηλον* B. [c] *ιξ* male A. [d] *ἡ δὲ λίβος γεν.* B. [e] *συστέλλονται* B. [f] *τὸ δὲ παιδοτρὶψ ἐκτείνεται* B. [g] *ἄνδρες ὡς ἀμφιτρίβας* B. et Par. *εἰς ἀμφίτρ.* Herm. [h] *συστέλλουσι τὸ α* B. [i] *οἷον δραὶψ ἐν δὲ μονοσυλλάβοις ἐκτείνετεται* B. [k] *λαὶψ* B. [l] om. A. [m] om. B. [n] Sic Cod. Par. et B. *ἀνάλογον* A. *παραλόγως* Herm. [o] *εἰ μὲν ἔχουσι* B. [p] *ὀνόματα* B. [q] *εἰ μὲν* B.

φρύνος· θύνος· γρύνος· καὶ βαρυνόμενον τὸ κυνός[r]· *τὸ μέντοι πλυνὸς οὐχ οὕτως ἔχει*[s]·

Τὰ *εἰς νος λήγοντα ὑπὲρ δύο συλλαβὰς εἰ παραλήγοιτο τῷ υ πῇ μὲν συστέλλει αὐτὸ, ἐπὰν τὸ σ προηγεῖται αὐτοῦ· ὡς ἔχει τὸ δεσπόσυνος· θάρσυνος· πίσυνος· τὸ δὲ μόσυνος ἐκτεταμένον ἀπὸ γενικῆς ἐστὶ γενόμενον· πῇ δὲ ἐκτείνει· αἱ δὲ γενικαὶ, αἱ διὰ τοῦ νος ὑπὲρ δύο συλλαβὰς ὑπάρχουσαι, εἰ παραλήγοιντο*[t] *τῷ υ, ἐκτεταμένῳ παραλήγονται*[u]· Φόρκυνος· Πόλτυνος· *αἱ μέντοι*[v] *εὐθεῖαι αὐτῶν συστέλλουσι τὸ υ.*

Τὰ *μέντοι διὰ τοῦ νος ἐπ' εὐθείας, μὴ ἔχοντα τὸ σ πρὸ τοῦ υ, ὑπὲρ δύο συλλαβὰς ὄντα, ἐκτείνειν θέλει*[w] *τὴν πρὸ τέλους· κίνδυνος· εὔθυνος· πάχυνος· λάμυνος· διὸ καὶ τὸ βόθυνος ἀναλόγως οἱ*[x] Ἀττικοὶ *ἐκτείνουσιν· κἂν ὀξύνηται δὲ, τὰ τοιαῦτα ἐστί*[y]· Μαριανδυνός· Βιθυνός· *τὸ ἄγυνος ἢ*[z] *ἀνδρόγυνος οὐ μάχεται· σύνθετα γάρ ἐστι*[a], *καὶ ἔχει*[b] *τὸν τοῦ ἁπλοῦ χρόνον, λέγω δὲ τοῦ γυνή· ὅπερ καὶ αὐτὸ ἡ λόγοι τὸ*[c] *κατὰ χρόνον· τὰ γὰρ εἰς νη*[d] *καθαριεύοντα δισύλλαβα, εἰ ἔχοι πρὸ τέλους τὸ υ, ἐκτεταμένον αὐτὸ ἔχει· ὡς ἔχει τὸ* Βύνη[e]· *μύνη·* Φρύνη· *ὑπεσταλμένου*[f] *δηλόνοτι τοῦ γυνή· προσέθηκα δὲ δισύλλαβα, ἐπεὶ τὰ ὑπὲρ δύο συλλαβὰς διὰ μέντοι τοῦ συνη ὄντα, ἀεὶ συστέλλει τὸ υ· βριθοσύνη· ὑποθημοσύνη*[g]· *καλλοσύνη· εἰ δὲ μὴ ἔχει τὸ σ πρὸ τοῦ υ, ἀδιάφορον ἔχει τὸν χρόνον· δελφύνη γὰρ καὶ χελύνη ἐκτεταμένως*[h]· *κορύνη δὲ καὶ* Ταμύνη *συνεσταλμένως*[i]· Ἀττικοὶ *δὲ ἐκτεταμένως.*

Πᾶν[k] *εἰς α λῆγον θηλυκὸν ὀξυνόμενον ἢ περισπώμενον μακρῷ χρῆται τῷ α· φοβερά·* Ἀθηνᾶ.

Πᾶν[l] *εἰς α λῆγον θηλυκὸν προπαροξυνόμενον ἢ προπερισπώ-*

[r] *καὶ—τὸ κυνὸς* om. B. cum lacunæ indicio. [s] *ἔχοι* A. [t] *εἰ μεν. παραλήγοιτο* B. [u] *ἤγουν εἰ ἔχουσι τὸ υ ἐν τῇ παραληγούσῃ ἐκτεταμένον ἔχουσιν* B. [v] *αἱ δὲ* B. [w] *θέλουσι* B. [x] om. *οἱ* A. Parr. et Herm. [y] *κἂν ὀξύνονται δὲ τοιαῦτα εἰσὶν* B. [z] *ἢ τὸ* B. [a] *εἰσὶ* B. [b] *ἔχουσι* B. [c] *ἡ λόγοι τὸ* om. B. lacunæ indicio. Par. *ἠλόγοιτο* (Sic vol. *ἠλόγητο*) Bast. [d] *Τὰ γὰρ εἰς νη* in Cod. B. hic novus orditur Canon. [e] *κύνη* B. [f] *συνεσταλμένου* B. [g] *ὑποθυμοσύνη* A. [h] Sic B. *ἐκτεταμένω* A. [i] *συνεστ. ὡς κορύνη* A. et Par. [k] *πᾶν ὄνομα θηλυκὸν* B. [l] *πᾶν ὄνομα θηλυκὸν* B.

μενον, συνεσταλμένον ἔχει τὸ α· Ἀντιόχεια· Μήδεια· ταχεῖα· ὀξεῖα.

Πᾶν[m] εἰς α λῆγον θηλυκὸν ὄνομα, ἔχον πρὸ τοῦ α ἕν τι τῶν διπλῶν, ἢ[n] τὸ σ, ἢ τὸ ν, μὴ κατὰ πάθος ἢ διάλεκτον, ἔχει τὸ α συνεσταλμένον· χάλαζα· ἅμαξα· ἀμφίσβαινα· Λάκαινα[o]· χαρίεσσα· μοῦσα· τὸ δὲ Ἀθηνᾶ καὶ μνᾶ[p], καὶ δανᾶ, καὶ ὅσα τοιαῦτα, ἐστὶ κατὰ πάθος· τὸ δὲ Ἑλένα[q] καὶ ὅσα τοιαῦτα, ἐστὶ κατὰ διάλεκτον[r].

Τὰ εἰς ρα λήγοντα καθαρὸν, εἰ[s] παραλήγοιτο τὸ υ, ἀμοιβαῖον ποιεῖται χρόνον· εἰ γὰρ ἐκτείνοιτο τὸ υ, τὸ α συστέλλεται, καὶ προπαροξύνεται· ὡς ἔχει τὸ ἄγκυρα· Κέρκυρα· ὄλυρα· εἰ δὲ συστέλλοιτο τὸ υ, τὸ α ἐκτείνεται, καὶ παροξύνεται, θηλυκὰ ὑπὲρ δύο συλλαβὰς ὄντα· σφύρα· πορφύρα· τὸ οὖν κολλύρα κατ' ἀμφότερα δίχρονα ἐκταθὲν, σημειῶδες[t], τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῶν[u] δισυλλάβων· πυρὰ ἐκτείνει τὸ α, συστέλλει δὲ τὸ υ· τό τε λύρα καὶ θύρα βαρυνόμενα, τὸ δὲ σφύρα ἐκτεῖνον[v] τὸ υ, καὶ συστέλλον[w] τὸ α.

Τὰ εἰς ρα λήγοντα μετ' ἐπιπλοκῆς συμφώνου, ἐκτείνει τὸ α· ποτίστρα· κολυμβήθρα[x]· Ἠλέκτρα· καλύπτρα· σημειῶδες οὖν[y] τὸ Τάναγρα καὶ[z] σκολόπενδρα.

Τὰ εἰς α λήγοντα, ὁπότε ἔχει πρὸ τοῦ α διπλοῦν, δίχρονον δὲ πρὸ τοῦ διπλοῦ, πάντως συνεσταλμένον αὐτὸ ἔχει[a]· γάζα· μύζα· ὄρυζα· φύζα· δίψα· σχίζα· ῥίζα· ὅθεν σημειῶδες τὸ μάζα ἐκτεῖνον τὸ πρὸ τοῦ διπλοῦ α.

Τὰ παρώνυμα τὰ διὰ τοῦ αια παραγόμενα[b], ἐκτεταμένον ἔχει[c] τὸ α· σεληναία· ἀμαξαία· ἀναγκαία. ἀρχαία· ὅθεν ἐχρῆν καὶ τὸ γαῖα ἐκτείνεσθαι· χωρὶς εἰ μὴ ἡ ποσότης τῶν

[m] πᾶν ὄνομα θηλυκόν B. [n] ἢ καὶ B. [o] Codd. Barocc. λάκταινα. [p] Sic Codd. Barocc. et Par. ὠνᾶ Herm. [q] Ἑλλένα B. [r] καὶ ὅσα τοιαῦτα διαλέκτῳ A. et Par. post διάλεκτον B. habet Ἑλλένη γὰρ, καὶ Δωρικῶς Ἑλένα. [s] male A. καθαρὸν ε. τὰ εἰς ρα καθαρὸν λήγοντα ὀνόματα B. [t] ἐστὶ add. B. [u] τῶν om. B. [v] ἐκτείνει B. [w] συστέλλει B. [x] κολυμβίθρα A. [y] σημειῶδες δέ ἐστι B. [z] καὶ τὸ B. [a] ἔχει αὐτὸ B. [b] Sic A. et Par. B. superscriptum habet ἐκφερόμενα et quidem lit. rubr. sed leg. παραληγόμενα cum Hermann. [c] ἔχουσι B.

συλλαβῶν ποιεῖ συνασταλμένον τὸ α· τοιαῦτα γὰρ τὰ δισύλλαβα.

Τὰ εἰς α λήγοντα καθαρὸν συνεσταλμένον [d] ὁπότε ἐστὶν ὑπὲρ δύο συλλαβάς [e], τὴν πρὸ τέλους ἔχει [f] φύσει μακράν· Μήδεια· Θάλεια· Πηνελόπεια· εὔνοια· εὔχροια.

Τὰ εἰς α λήγοντα καθαρὸν, συνεσταλμένον ἔχουσι τὸ α ὁπότε ἔχουσι πρὸ τέλους τὴν τρι συλλαβήν· οἷον ποιήτρια· μεσήτρια· ὁδηγήτρια [g]· ὀρχήστρια [h]· αὐλήστρια· μαθήτρια [i]· παράλογος οὖν ὁ πρὸ τέλους χρόνος τοῦ πότνια· ὄμπνια· Πολύμνια, ἴμνια [k]· λάμνια· Ὅσα ἔχει [l] πρὸ τέλους τὸ ι, ὑπὲρ δύο συλλαβὰς ὄντα, οὐκ ἐν συστολῇ ἔχει [m] τὸ α, ἀλλ' ἐκτάσει· κακία· φιλία· κοπία [n]· ἐσχατία· τὸ οὖν πότνια καὶ ὄμπνια καὶ τῶν τοιούτων, καὶ ἡ πρὸ τέλους ἠλάττωται καὶ ἡ ἐπὶ τέλους.

Πᾶν εἰς α λῆγον οὐδέτερον ἑνικὸν συνεσταλμένον ἔχει τὸ α· βῆμα [o]· αἷμα· ποίημα· νόημα· τὸ τοίνυν κάρα ἐκτεινόμενον, ἐξ ἀποκοπῆς ἐστι τοῦ κάρανον [p].

Τὰ εἰς αρ λήγοντα ὑπὲρ μίαν συλλαβὴν, ἐπὶ παντὸς γένους συστέλλει [q] τὰ α· μάκαρ· δάμαρ· ὄαρ· θέναρ· φρέαρ· στέαρ· Ἀττικοὺς δέ φασιν ἐκτείνειν τὸ στέαρ καὶ [r] φρέαρ.

Τὰ εἰς α λήγοντα θηλυκὰ, εἴτε ἐπὶ ὀνομάτων, εἴτε καὶ ἐπὶ μετοχῶν, εἰ ἔχοι [s] τὴν πρὸ τέλους συλλαβὴν εἰς δίχρονον καταλήγουσαν, πάντως ἐκτεταμένον αὐτὸ ἔχει [t]· πᾶσα· πλᾶσα· φῦσα· δῦσα· τῖσα· Κρῖσσα· κνῖσσα [u]· οὐκ ἀγνόω δὲ ὅτι Πίσαν εἶπε τὴν πόλιν κατὰ συστολὴν Πίνδαρος [v]· εἰ μέντοι εἰς σύμφωνον λήγει [w] ἡ πρὸ τέλους συλλαβὴ, τὸ δίχρονον συστέλλεται· θάλασσα· ἄνασσα· πίσσα· Νύσσα· λύσσα.

Πᾶν εἰς α [x] λῆγον οὐδέτερον τὸν χρόνον ἔχει [y] τοῦ α τοῦ

[d] ἔχουσι τὸ α B. [e] καὶ τὴν B. [f] ἔχοιεν B. [g] μεσήτρια· ὁδηγήτρια add. B. [h] Codd. Barocc. ἀρχίστρια. [i] post μαθήτρια lacunam indicat B. [k] ἴμηνια B. Par. ἴμμνια deest in Drac. Bast. [l] ἔχουσα B. [m] ἔχουσι B. [n] Sic Barocc. et Par. Hermann. σκοπία. [o] μνῆμα C. [p] κάρηνον Drac. [q] συστέλλουσι B. [r] καὶ τὸ B. [s] ἔχουσι B. [t] ἔχουσιν B. et addit ἠγοῦν τὸ ἐπὶ τέλους α. [u] κνίσσα Par. [v] ὁ Πινδ. [w] λήγη B. [x] αν Par. [y] ἔχει om. A. ἔχει τοῦ α γὰρ B.

κατὰ τὴν γενικὴν τοῦ ἀρσενικοῦ· τάλανος[z], τάλαν· μέλανος, μέλαν· στάντος, στάν· βάντος, βάν[a]· ποιητικῶς γὰρ ἐκτέτατο.

ἵνα μὴ τὸ γῆρας ἐπανάβαν αὐτὸν λάθῃ.

ἐπεὶ οὖν παντὸς[b] φαμὲν[c] κατὰ συστολήν, ὥσπερ καὶ[d] πᾶν ὀφείλομεν λέγειν κατὰ συστολήν, ὥσπερ Αἰολεῖς καὶ Δωριεῖς ἀποφαίνονται, ἡ μέντοι παρ' ἡμῖν ἔκτασις τοῦ α καὶ παρὰ τοῖς Ἀττικοῖς καὶ παρὰ τοῖς Ἴωσιν ἀφορμὴν ἔχει τὸν τόνον. διὰ γὰρ τὸ[e] δέξασθαι τὴν περισπωμένην τοῦ πᾶς ἀρσενικοῦ, ἐκτείνει τὸ α· ὅταν[f] μέντοι τὸ πᾶν δισυλλάβως λέγηται, τότε ἕξει τὸ α συνεσταλμένον· σύμπαν· ἅπαν· εὕρηται παρ' Ἀθηναίοις[g] ἐκτεῖνον τὸ α.

Τὰ εἰς αν λήγοντα ἐπιῤῥήματα, ἐκτείνουσι τὸ α· ἄγαν· λίαν· πέραν· ἐάν[h]· ὑπεσταλμένου[i] τοῦ πάμπαν· τὸ γὰρ ὅταν δύο μέρη λόγου ἐστίν· ὅ τε καὶ αν. τὸ δὲ τάλαν ὀνοματικόν ἐστι[k].

Τὰ εἰς α λήγοντα θηλυκὰ παρεσχηματισμένα ἀρσενικοῖς, ὁπότε μίᾳ συλλαβῇ[l] τοῦ ἀρσενικοῦ πλεονάζει, συστελλόμενον ἔχει τὸ α· ταχύς, ταχεῖα· Κρῆς, Κρῆσσα· ἱερεύς, ἱερεία· τάλας, τάλαινα· Κίλιξ, Κίλισσα· Ἀττικοὶ μέντοι[m] ἐκτεταμένως ἱερείαν ἀποφαίνονται.

Τὰ εἰς ος λήγοντα, ὁπότε ἔχει θηλυκὸν[n] εἰς α λήγοντα, πάντα[o] ἔχει ἐκτεταμένον[p] τὸ α· Ῥόδιος, Ῥόδια· Κνίδιος, Κνίδια· σημειῶδες ἄρα κατὰ χρόνον τὸ

"δῖα γυναικῶν"

ὁμοίως δὲ καὶ τὸ ἴα

Οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος, οὐδ' ἴα γῆρυς. (Il. Δ. 437.)

ὅπερ λέγεται καὶ μία, καὶ τὸ πέπειρα.

[z] nomin. masc. addit τάλας, μέλας, &c. ubique B. [a] verba a ποιητικῶς usque ad λάθῃ soli ut vid. habent Barocc. Codd. nam e Par. nihil supplet Bast. ad Hermann. p. 439. [b] τοῦ παντὸς B. [c] τὸ αν B. inserit post φαμὲν. [d] τὸ πᾶν B. [dd] τοῦ περισπᾶν τὸν τόνον Hermann. [e] ὅτι διὰ τὸ B. [f] ἀλλ' ὅταν B. [g] παρὰ Ἀθην. B. [h] εὔαν B. et Par. [i] ὑπεσταλ. δέ B. [k] ἐστὶν ἐπίῤῥημα B. [l] μιᾶ συλλαβῇ A. [m] οἱ μέντοι Ἀττικοὶ B. ἀρσενικὰ B. [n] ἔχουσι θηλυκὰ B. [o] πάντως Par. [p] ἐκτεταμένον ἔχουσι B.

Αἱ[q] εἰς ος λήγουσαι μετοχαὶ ἀρσενικαὶ[r], ἤτοι βραχυκατάληκτοί εἰσιν, ὡς αἱ εἰς ος λήγουσαι· τυπτόμενος· λεγόμενος· ἢ μακροκατάληκτοι, ὡς αἱ μὴ οὕτως ἔχουσαι δίχρονον, ἐκτεταμένον αὐτὸ ἔχουσιν· ἱστάς· βιβάς· ζευγνύς· δύς· φύς.

Πᾶν εἰς σσων λῆγον συγκριτικόν· εἰ ἔχει[s] δίχρονον ἐν τῇ πρὸ τέλους συλλαβῇ, συνεσταλμένον αὐτὸ ἔχει· πάσσων· μάσσων· κράσσων[t]· γλύσσων, σεσημείωται[u] τὸ θάσσων καὶ ἐλάσσων ἐκτείνοντα τὸ δίχρονον.

Τὰ εἰς ων λήγοντα καθαρὰ συγκριτικὰ[v], ὁπότε παραλήγοιτο τῷ ι, ἐκτεταμένῳ[w] αὐτῷ παραλήγοιτο· καλλίων· ἡδίων· βελτίων· γλυκίων· κακίων· Ἀριστοφάνης δὲ ἐν Ἀττικαῖς διαλέξεσιν, Ἀττικοὺς ἱστορεῖ προφέρεσθαι.

Πᾶσα αἰτιατικὴ ἀπαθὴς εἰς α λήγουσα συστέλλεσθαι θέλει[x]· Ἀλκμᾶνα· ποιμένα· Ἕκτορα· θώρακα· Αἴαντα· Ἀχιλλέα· βασιλέα· Ἀττικοὶ μέντοι[y] ἐκτείνουσι τὰς ἀπὸ τῶν εἰς ευς[z]· Ἀτρέα[a]· λέγοντες καὶ ἱερέα[b]· πρόσκειται δὲ ἀπαθές, διὰ τὸ χόα, καὶ Ἐρετρέα[c]· καὶ Πειράα[d] καὶ Στειραία[e].

Τὰ διὰ τοῦ αριον ὑποκοριστικὰ παρὰ τοῖς παλαιοῖς Ἕλλησι συστέλλει τὸ α· ἱππάριον· φυτάριον· ἡ μέντοι νῦν συνήθεια ἀπὸ τῆς τῶν Ῥωμαίων διαλέκτου πολλὰ ἐπίσταται διὰ τὸ αριον ἐκτεταμένα· σουδάριον λέγουσα[f] καὶ κελλάριον.

Τὰ διὰ τοῦ ινη παράγωγα ὑπὲρ τρεῖς συλλαβὰς μονογενῆ, φιλεῖ ἐκτείνειν τὸ ι· Αἰητίνη· ἰατρίνη· θριδακίνη· ἡρωΐνη· ὠκεανίνη· χωρὶς τοῦ εἰλαπίνη καὶ τοῦ Μολυβδίνη, ἔστι δὲ ὄνομα πόλεως· ὑπὲρ τρεῖς συλλαβὰς[g] ἔφην, διὰ τὸ σατίνη· ἔστι δὲ εἶδος ἅρματος· καὶ τὸ Ἀσίνη, ἔστι δὲ ὄνομα πόλεως· καὶ τὸ μυρσίνη· οὐκ ἐκείνου ἀποφαινομένου, ὡς τὸ τρισύλλαβον[h]

[q] Καὶ αἱ B. [r] in B. post ἀρσενικαὶ usque ad φύς omnia exciderunt. [s] εἰ μὲν ἔχοι B. [t] Herm. βράσσων. cet. Codd. κράσσων. [u] σημειῶδες ἐστὶ B. [v] καθαρὸν συγκριτικὸν A. et Par. [w] Sic omnes Codd. [x] super θέλει superscriptum habet τὸ α δηλόνοτι B. [y] οἱ μὲν Ἀττικοὶ B. [z] addit εὐθεῖων γινομένας B. [a] ἀτρέαν B. [b] ἱερέαν καὶ βασιλέαν B. [c] Herm. Ἐρετριᾶ. ἐτρία A. ἐρητρέα B. [d] πηρέα B. Πειραιᾶ Herm. [e] Στειραιᾶ Herm. [f] λέγουσι Par. [g] ὑπὲρ τρεῖς δὲ εἴρηται συλλαβὰς B. [h] τὰ τρισύλλαβα B.

συστέλλει τὸ ι· πολλάκις γάρ ἐστι τὰ ἐκτείνοντα τὸ ι· ὡς ἔχει τὸ[i] δοτίνη· ὑσμίνη· πυτίνη.

Τὰ εἰς νος λήγοντα δισύλλαβα ὀξύτονα καθαρεύοντος τοῦ ν, εἰ ἔχοιεν[k] ἐν τῇ πρὸ τέλους τὸ α, ἐκτεταμένον αὐτὸ ἔχουσι[l]· δανὸς, ὁ ξηρός· τανός· μανός· τοῦτο δὲ παρὰ[m] τοῖς Ἀττικοῖς συστέλλεται.

Πᾶν δίχρονον ἔχον διπλασιασμὸν ἀμεταβόλου ἐπιφερομένου, συστέλλεσθαι θέλει· Πράξιλλα· Τελέσιλλα· ἄμμος· Κόριννα[n]· θύννος· ἄλλος· πυῤῥός· παραλόγως οὖν ἐκτέτατο τὸ μᾶλλον.

Τὰ διὰ δύο σσ παράγωγα ῥήματα ὑπὲρ δύο συλλαβὰς βαρύτονα[o], ὅτε ἔχει[p] δίχρονον πρὸ τέλους, συστελλόμενον αὐτὸ ἔχει[q]· ἀράσσω· πατάσσω· χαράσσω· ἐλάσσω· ἀφύσσω· δῆλον οὖν ὅτι καὶ τὸ θάσσω ὀφείλει[r] τὸ α συστελλόμενον ἔχειν. τὸ δὲ ἐλασσῶ, περισπᾶται παρὰ τὸ ἔλασσον γενόμενον[s]· διὸ βαρύτονα[t] πρόσκειται.

Τὰ διὰ τοῦ αζω δισύλλαβα συστέλλει τὸ α· ὑπεσταλμένων τῶν Αἰολικῶν, διὰ τὸ πτάζω καὶ πλάζω, ἐπιπλήσσω[u]· ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος[v] ταῦτα· στάζω· φράζω· βάζω· σφάζω· παράλογον ἄρα τὸ κράζω ἐκτέταται· καὶ τὰ ὑπὲρ δύο συλλαβὰς ἔχει[w] συνεσταλμένον τὸ α· χωρὶς εἰ μὴ ἔχοι πρὸς τῷ α τὸ ι· διὰ τὸ ματαΐζω· σφαδαΐζω· ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· σκιάζω· ἐνθουσιάζω· ἀγοράζω· τινὲς δὲ ἐκτείνουσι τὸ

ὅδ' ἀγοράζει κλεῖδ' ἔχων[x]·

τουτέστιν, ἐν ἀγορᾷ διατρίβει· πρὸς ἀντιδιαστολὴν τοῦ ἑτεροῦ, λέγω δὲ τοῦ ὠνεῖσθαι.

Τὰ εἰς ζε λήγοντα ἐπιῤῥήματα, ὁπότε ἔχει πρὸ τέλους τὸ

i ὡς τὸ B. k εἰ μὲν ἔχουσιν B. l ἔχουσιν αὐτὸ B. m Sic B. et Par. πᾶσι τοῖς A. n Κόρινθα A. o βαρύτονα ὑπὲρ δ. συλλ. B. p ἔχουσι B. q ἔχουσιν B. r ὀφεῖλον A. s γενόμενον παρὰ τὸ ἔλ. ἔχει δὲ ἐκτεινόμενον τὸ α, καὶ οὐκ ἀντίκειται τῷ κανόνι, ὅτι πρόσκειται βαρυνόμενα B. t βαρύνεται (τονα) A. u verba ὑπεσταλμένων usque ad ἔστωσαν desunt in Cod. B. ubi tamen exstat lacunæ nota. v τοῦ κανόνος om. B. w ἔχουσι B. x κλεῖδα ἔχων B.

α, συνεσταλμένον αὐτὸ ἔχει[y]· Ἀθήναζε[z]· θύραζε· Θήβαζε· ἔραζε· τὸ μέντοι χαμᾶζε ἐκτείνει τὸ α, καὶ προπερισπᾶται.

Τὸ α ἔχον ἐν τῇ δευτέρᾳ συλλαβῇ τὸ ξ ἢ τὸ ψ, μὴ[a] ἐν ῥηματικῇ κλίσει, φιλεῖ[b] συστέλλεσθαι· ἄξων· ἄξιος· ἀξίνη· ἀψίς· ἄψεα· Ἄψυρτος· ἀψευδής· τὸ δὲ

"ἄξον ἔγχος Διομήδεος" (Il. Z. 306.)

καὶ[c] τὸ κρᾶξον, ἐκτεταμένον ἔχουσι τὸ α· διὸ ἔφην, μὴ ἐν ῥηματικῇ κλίσει.

Τὸ α πρὸ τοῦ ζ ἐν ὀνόμασι συστέλλεται[d]· γάζα· χάλαζα· ἄζηγές[dd]· μαζός· σεσημειωμένου τοῦ μάζα, καὶ Ἀμαζὼν καὶ ἀλαζών.

Τὰ εἰς νος λήγοντα δισύλλαβα μετ' ἐπιπλοκῆς[e] συμφώνου, εἰ ἔχοι πρὸ τέλους[f] ἕν τι τῶν διχρόνων, συνεσταλμένον αὐτὸ ἔχει[g]· καπνός· θαλπνός· ἀγνός[h]· ἀμνός· τὸ αὐτὸ καὶ ἐπὶ τῶν ὑπὲρ δύο συλλαβάς· ἀλαπαδνύς· ἀκιδνός· ὀλοφυδνός· τὸ μέντοι στρυφνὸς οἱ Ἀττικοὶ ἐκτείνουσι τὸ υ.

Τὰ διὰ τοῦ ιμος παράγωγα ὑπὲρ δύο συλλαβὰς συνεσταλμένον ἔχει[i] τὸ ι· κύδιμος· ὠφέλιμος· ὤκιμος· τὸ μέντοι ἄτιμος ἐκτεῖνον[k] τὸ ι σύνθετόν ἐστιν· οὕτως δὲ ἀξιοῦται καὶ τὸ βούλιμος ἐκτείνειν κατὰ τὴν δευτέραν συλλαβήν[l], συνθέτου ὑπάρχοντος τοῦ ὀνόματος· ἀντὶ γὰρ τοῦ ὁ μέγας λιμός[m]· καὶ τὸ ἴφθιμος δὲ ἐκτείνει τὸ πρὸ τέλους ι.

Τὰ δὲ διὰ τοῦ ινος ὑπὲρ δύο συλλαβὰς ὀξυνόμενα, κατὰ καιρὸν ἢ χρόνον[n] παραλαμβανόμενα, συνεσταλμένον ἔχει[o] τὸ ι· ἐαρινός· χειμερινός· νυκτερινός· ἑωθινός· πρωϊνός· ἡμερινός· ὀπωρινός· παρὰ μέντοι τῷ ποιητῇ κατ' ἔκτασιν ἀναγινώσκομεν[p], τοῦτο ἐπιζητοῦντος τοῦ μέτρου·

ὡς δ' ὅτ'[q] ὀπωρινὸς βορέης. (Il. Φ. 346.)

[y] ἔχουσιν B. [z] Ἀθήνυζε A. [a] manifesto errore om. μὴ A. deest etiam in Par. [b] ψιλεῖ A. φιλεῖ συστέλλεσθαι τὸ α αὐτὸ B. [c] τὸ δὲ "ἄξον ἔγχος Διομήδεος" καὶ om. Herm. et Codd. Par. [d] συστέλλει A. [dd] Sic Codd. Barocc. et Par. ἀζηχὲς Draco. [e] μετὰ ἐπιπλ. B. [f] πρὸ τοῦ τέλ. B. [g] ἔχουσιν B. [h] om. ἀγνὸς B. [i] ἔχουσι B. [k] ἐκτείνει τὸ ι ὅτι B. [l] κατὰ τὴν δευτέραν συλλαβὴν ἐκτείνεσθαι B. [m] ἤγουν ὁ μέγας λιμός B. [n] κατὰ καιροῦ ἢ χρόνου A. [o] ἔχουσι B. [p] τὸ ὀπωρινὸς καὶ τοῦτο B. [q] ὡς δ' ὅταν B.

καὶ πάλιν [r],

ἀστέρι ὀπωρινῷ ἐναλίγκιος. (Il. E. 5.)

Τὰ εἰς μα δισύλλαβα τῷ υ παραληγόμενα, συστέλλειν αὐτὸ θέλει [s]· πλύμα· χύμα· ῥύμα· φύμα· θύμα· λῦμα [t]· διὸ σημειούμεθα τὸ κῦμα μόνως ἐκτεινόμενον· ἱστοροῦσι μέντοι Ἀττικοὺς τὸ λῦμα ἐκτείνειν καὶ τὸ φῦμα.

Τὰ εἰς ρος λήγοντα ὀξύτονα, ὅτε ἔχει [u] τὴν τρίτην ἀπὸ τέλους ἤτοι [v] θέσει μακρὰν ἢ φύσει, πάντως ἔχει [w] τὴν πρὸ τέλους μηκυνομένην. εἰ δὲ ἡ πρὸ τέλους εἴη βραχεῖα, καὶ ἡ τρίτη ἀπὸ τέλους [x]· βλαβερός· φανερός· ῥυπαρός· ὀχυρός [y]· καπυρός· ἱερός· τὸ γὰρ ἐκτεῖνον τὸ ι ποιητικόν ἐστι. κρατερός· τὸ γὰρ καρτερὸς ὑπέρθεσιν ἔχει.

Τὰ μέντοι ἔχοντα τὴν πρὸ τέλους τρίτην μακρὰν, ὡς ἔφην, ἔχει καὶ τὴν πρὸ τέλους μακράν· πονηρός· ἀτηρός· ἀλγηρός· πνιγηρός· ἀνθηρός· τολμηρός· ἰσχυρός· ὅθεν ἐπεὶ [z] τὸ ἀλμυρὸς ἔχει τὴν τρίτην ἀπὸ τέλους μακρὰν, ὑγίως ἕξει καὶ τὴν πρὸ τέλους μακράν [a]· ἀναλογώτεροι οὖν οἱ Ἀττικοὶ ἐκτείνοντες αὐτό· παρὰ μέντοι τῷ ποιητῇ ἀνέγνωμεν [b] "ἁλμυρὸν ὕδωρ." ἀντιπίπτει τὸ πενθερὸς μακρὰν ἔχον [c] τὴν τρίτην ἀπὸ τέλους, βραχεῖαν τὴν πρὸ τέλους [d]. ἀλλ' οὖν γε εἴρηται πενθηρὸς [e] διὰ τοῦ η, ὥσπερ ἐπὶ τοῦ ἱματίου μέλανος.

A.[f] φέρ' αὐτ' ἀνύσας. B. ἀλλ' ἔστι πενθηρὸν πάνυ.

οὕτως γὰρ ἔφη Ἀναξίλας [g]. οὐκ ἀναστρέφει ὁ κανών· οὐ γὰρ πάντως τὰ ἔχοντα πρὸ τέλους μακρὰν, ἔχουσι καὶ τὴν τρίτην [h] μακράν· ἰδοὺ γὰρ πονηρός [i]· τυχηρός [k].

Τὸ α ἡ στέρησις [l] συστέλλεσθαι θέλει· ἄκακος· ἄσεμνος· ἄφιλος· τὸ γὰρ ἀθάνατος καὶ ἀκάματος ἐξέτειναν τὸ α διὰ

[r] καὶ ἀλλαχοῦ αὖθις B. [s] θέλουσιν B. [t] λῦμα om. A. [u] ἔχουσι B. [v] ἤτοι om. B. tum mox ἢ φύσει. [w] ἔχουσι B. [x] βραχεῖα add. B. [y] Sic B et Par. ἰσχυρὸς A. [z] ἐπὶ A. [a] ὑγιῶς— μακρὰν om. A. [b] κατὰ συστολὴν ἀνέγνωμεν B. [c] ἔχον μακρὰν B. [d] τὴν δὲ πρὸ τέλους ἔχον βραχεῖαν B. [e] τὸ πενθερὸς, πενθηρὸς B. [f] interlocutores indicavi. [g] ὁ Ἀναξίλας B. [h] τὴν πρὸ τέλους τρίτην B. [i] τὸ πονηρὸς καὶ τυχ. B. [k] ὑπόδειγμα καὶ πρόσχες add. B. [l] ἡ α στέρησις.

τὰς ἐπαλλήλους τέσσαρας βραχείας, αἵ τινες ἄθετοί εἰσιν ἐν ἡρωικῷ μέτρῳ[m].

Πᾶν οὐδέτερον εἰς ος λῆγον δισύλλαβον, ἔχον πρὸ τέλους τὸ α, συνεσταλμένον αὐτὸ ἔχει, ὁπότε μὴ κατὰ διάλεκτον εἴη· ἄχος· δάος·

δάος μετὰ χερσὶν ἔχουσα[n]· (Od. Ψ. 294.)

φάος· χάος· σάκος· βάρος· πάθος· κράτος· θράσος· ὅθεν καὶ τὸ φάρος συστέλλον τὸ α, ὡς παρὰ Σοφοκλεῖ ἐν Κρίσει Σατυρικῇ·

καὶ δὴ φάρει τῷδ' ὡς ἐμῷ[o] καλύπτομαι[p]·

καὶ ἐν Τηρεῖ·

σπεύδουσαν αὐτήν· ἐν δὲ ποικίλῳ φάρει[q]·

ἀναλογώτερον ἐστὶ τοῦ ἐκτείνοντος α[r], ὡς παρ' Αἰσχύλῳ[s] ἐν Σαλαμινίαις[t]·

ἐμοὶ γένοιτο φάρος ἶσον οὐρανῷ.

τὸ πράγος[u], παρὰ τὸ πρήσσω καὶ πράσσω γενόμενον, συνεκτεινόμενον ἔσχε τῷ ῥήματι τὸ α· πρόσκειται δὲ, ὁπότε μὴ κατὰ διάλεκτον εἴη, διὰ μῆκος, μᾶκος[v].

Τὰ εἰς λος λήγοντα δισύλλαβα ὀξύτονα, ὁπότε ἔχει[w] πρὸ τέλους δίχρονον, τοῦτο ἔχει[x] ἢ ἐκτεινόμενον δι' ἑαυτοῦ[y], ἢ διὰ συμφώνου μεγεθυνόμενον· καὶ τὰ μὲν διὰ συμφώνων[z] μεγεθυνόμενα, τὰ τοιαῦτα ἐστί[a]· κυλλός· μαλλός· θαλλός· τὰ δὲ δι' ἑαυτῶν[b], τὰ τοιαῦτα[c]· ψιλός· χυλός· δαλός· μαλός· οὕτως ὁ βαθμὸς[d], καὶ ἐν τῇ τραγωδίᾳ, καὶ ἐν τῇ κωμωδίᾳ·

[m] ἐν μέτρῳ ἡρωϊκῷ B. [n] hanc cit. om. B. [o] Codd. Barocc. ἐμοί. ὦ ἐμῷ Herm. ἐμῷ etiam Dindorf. ad Herodian. περὶ μονήρους λέξεως p. 36, 25. ubi fragmentum exstat sed Sophoclis dramate non nominato. [p] καλύπτει με A. [q] hoc etiam fragmentum citavit Herodian. περὶ μον. λέξ. sed a librario male habitum restituit Dindorf. ex nostro. [r] τὸ α B. [s] παρὰ Αἰσχύλω B. [t] Σαλαμηνία A. Σαλαμῆνϊ B. sed corrigendum ex Herodiano περὶ μον. λέξ. ubi Æschyl. locus adducitur. Brunckius autem in Lex. Sophocl. v. Φάρος omnia hæc fragmenta jam citaverat ex Herodian. MS. περὶ διχρόνων et Dracon. Stratonic. περὶ μέτρων MS. [u] τὸ δὲ πράγος B. [v] καὶ Δωρικῶς μᾶκος B. [w] ἔχουσι B. [x] ἔχουσι B. [y] ἢ δι' ἑαυτοῦ ἐκτ. B. [z] συμφώνου B. [a] εἰσὶ ταῦτα B. [b] add. ἐκτεινόμενα B. [c] εἰσὶ τοιαῦτα B. [d] καὶ τὸ βαθμὸς B.

ἐχρῆν οὖν καὶ τὸ καλὸς, ἢ βοηθεῖσθαι συμφώνῳ, ἢ αὐτόθεν[e] ἐκτείνεσθαι· ὑγιὴς οὖν ἡ ἔκτασις[f] παρὰ τῷ ποιητῇ.

Τὰ εἰς σι[g] λήγοντα ῥήματα τὴν πρὸ τέλους ἔχει[h] φύσει μακράν· ἑστήκασι· βεβασιλεύκασι· τετύφασι· γεγράφασι· νενοήκασι[i]· οἱ μέντοι ποιηταὶ πολλάκις ἐπὶ τούτοις συστολὰς ποιοῦνται, ὡς παρὰ Ξενοφάνει,

> ἐξ ἀρχῆς καθ' Ὅμηρον ἐπεὶ μεμαθήκασι πάντες·

καὶ πάλιν,

> ὁπόσα δὴ[k] θνητοῖσι πεφηνάσιν εἰσοραᾶσθαι·

καὶ παρ' Ἀντιμάχῳ,

> οἱ δὲ πάροιθε πόνοιο νενεύκασιν ἄλλος ἐπ' ἄλλῳ·

καὶ παρὰ Ὁμήρῳ,

> τιμὴν δὲ λελόγχασι·

τοιοῦτον δὲ καὶ τὸ,

> Ἀμφὶ δὲ[l] δένδρεα μακρὰ πεφύκασι[m]·

καὶ ἕτερα πλεῖστα.

Τὸ ἐκτεινόμενον α ἐπὶ πληθυντικῶν αἰτιατικῶν[n] οἱ Δωριεῖς συστέλλουσι· ναύτας· Σκύθας.

Τὰ διὰ τοῦ αρος ὀξύτονα συστέλλει[o] τὸ α· μαδαρός· χαλαρός· ῥυπαρός· καὶ ὅσα ἄλλα ἐστὶ[p] τοιαῦτα· χρὴ οὖν καὶ τὸ ἀνιαρὸς συστέλλειν τὸ α, δηλονότι[q] τὸ νομιζόμενον Ἴωσι ἀνιηρὸς[r] πρότερον ἐστὶ, καὶ λοιπὸν τὸ ἀνιαρὸς, ὡς ἐδέξατο τροπὴν Ἰωνικὴν, ἔμεινεν ἐκτεινόμενον[s].

Τὰ α πρὸ τοῦ β ἀεὶ θέλει συστέλλεσθαι, εἰ μὴ κατὰ διάλεκτον εἴη γενομένη τροπὴ[t] ἐκ τοῦ η εἰς α· ὡς ἔχει τὸ ἡβήσομεν, ἀβάσομεν· ἄνηβος, ἄναβος· ἔστω οὖν μαρτυρία[u] τοῦ

[e] δι' ἑαυτοῦ B. [f] ἡ ἔκτασις αὐτοῦ B. [g] ι A. et Herm. σι B. et Par. [h] θέλουσιν ἔχειν B. [i] νενοήκασιν A. [k] ὁπόσα δὲ, h. e. ὁππόσα δὴ Bast. [l] δὲ om. B. [m] Locus sumptus ut videtur ex Odyss. H. 114. sed ibi nunc legitur,

> Ἔνθα δὲ δένδρεα μακρὰ πεφύκει τηλεθόωντα.

[n] πλ. θηλυκῶν αἰτ. B. [o] συστέλλουσιν αὐτάς· σκύθα A et Par. sed r. Herm. ναύτας· Σκύθας. συστέλλουσι τὸ α B. [p] εἰσὶ B. [q] ἀλλὰ δῆλον ὅτι B. [r] Ἰωνικὸν ἤγουν ἀνιηρὸς B. [s] καὶ λοιπὸν τὸ ἀνιαρὸς τροπὴν ἀνεδέξατο Ἰωνικὴν A. et Par. [t] γεν. τροπὴ om. A. [u] καὶ ὑποδείγματα ad. B.

συνεσταλμένου α[v]· βλάβος· βλάβη· Ἄβυδος· στραβός· ἄβιος· Λάβδακος· ῥάβδος· ἀβδός· οὐ μάχεται τὸ ἀβάλε[w] ἐκτεῖνον τὸ α.

Τὸ α, ἐπιφερομένου τοῦ μ, συστέλλεσθαι θέλει κατ' ἀρχὴν, εἰ μὴ διαλέκτῳ[x] εἴη κατὰ τροπὴν γενόμενον[y], ὡς ἐπὶ τοῦ ἡμέρα, ἁμέρα· ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· ἀμύσσω[z]· ἅμαξα· ἀμνός· ἅμιλλα· ἀμάρα[a]· ἀμύμων· σημειούμεθα τὸ ἀμῶ ῥῆμα ἐκτεινόμενον, καὶ τὸ "ἀμητὸς δ' ὀλίγοστος" παρ' αὐτὸ γενόμενον.

Τὸ α, ἐπιφερομένου τοῦ σ, ᾧ ὑποτέτακται ἄφωνον, συστέλλεσθαι θέλει· ἆσθμα· ἀσπίς· ἄστυ· Ἀσκληπιός· ἀσχάλλω· ἄσβολος[b]· ἀσκός· οὕτως ἄρα ὀφείλει καὶ τὸ ἀσκήσας καὶ ἀσκηθείς[c].

Ἡ αρ συλλαβὴ ἄρχουσα, ἀσυνάλειπτος οὖσα, ἐπιφερομένου ἀφώνου μὴ τὸ δ, συστέλλεσθαι θέλει· ἄρβυλα[d]· ἄρκευθος· ἀρκῶ· ἄρκιον· ἄρτος· ἄρχων· ἀργής· ἀργινός· τὸ ἀργὸς ἐκτεινόμενον[e] ἐκ τοῦ ἀεργὸς ἐστὶ συναληλιμμένον· τὸ δὲ δ ἐφυλαξάμην, ἐπεὶ τὸ μὲν ἄρδις[f] συστέλλεται, τὸ δὲ ἀρδῶ ἐκτείνεται·

τὸν νοῦν ἐνάρδω[g], καὶ λέγω τι δέξιον·

τὸ ἄρδην[h] δὲ ἐκτείνουσιν.

Τὸ ι πρὸ τοῦ τ καταρχὴν συστέλλεσθαι[i] θέλει· ἴτυς· ἰταμός· Ἰταλός· ἰτάμων[k]· ἴτριον· ἰτέα· τὸ γὰρ ἰτέαι ἐκτέταται ποιητικῶς[l]· ὥσπερ καὶ τὸ

Ἰτῶνά τε[m] μητέρα μηλῶν[n].

τὸ δὲ Ἰτυμονεὺς[o] ἐκτέταται· ὀφείλει δὲ[p] συστέλλεσθαι.

[v] ταῦτα ad. B. [w] Codd. Barocc. ἀβάλας, sed Herm. recte ἀβάλε, nihil de Par. Codd. Bast. [x] κατὰ διάλεκτον B. [y] τροπὴ γενομένη ἐκ τοῦ η εἰς α B. [z] ἀμμύσσω B. [a] Codd. Barocc. ἁμερα sed recte Herm. ἀμάρα. [b] ἀσβόλη Herm. nihil de Par. Bast. [c] τὸ ἀσκηθεὶς B. [d] ἄρβηλος B. [e] τὸ ἄργος δὲ ἐκτεινόμενον ἐστίν. mox om. ἐστὶ post ἀεργός B. [f] πρόσκειται δὲ μὴ τὸ δ. ἐπεὶ τὸ ἄρδις καὶ ἀρδῶ καὶ ἄρδω ἐκτείνονται B. ἄρδυς Par. [g] τὸ οὖν ἀρδῶ A. cit. om. B. [h] τὸ ἄρδω δὲ A. καὶ τὸ ἄρδην Herm. [i] συστελλόμενον A. [k] ἰταμ. A. ἰτάμον. Par. ἱππάλιον Herm. [l] ποιητικῶς ἐκτέταται B. [m] Ἰτωνία τε A. [n] ἰτώνια γοῦν λέγεται add. Par. [o] Iliad. Λ. 671. ἀμφὶ βοηλασίῃ ὅτ' ἐγὼ κτάνον Ἰτυμονῆα. [p] δὲ om. A.

Τὸ α καταρχὴν ἐπιφερομένων δύο συμφώνων, μὴ κατὰ κλίσιν, συστέλλεσθαι[q] θέλει· ἴσχω· ἱστός· ἰκρίον[r]· ἴκτινος· Ἰσμαρός· ἴφθιμος· ἐφυλαξάμην δὲ κατὰ κλίσιν, διὰ τὸ ἵστανον[s] καὶ ἱστίον[t].

Τὸ ι καταρχὴν ἔχον τὴν δευτέραν συλλαβὴν[u] ἀρχομένην ἀπὸ τοῦ ν, μὴ κατὰ κλίσιν ῥηματικὴν, ἐκτείνεσθαι θέλει· ἶνα· Ἴναχος· ἰνίον· ἀντιπίπτει τὸ ἵνα· εἴτε ἐπίῤῥημα, εἴη[v] εἴτε σύνδεσμος[w]· προσέθηκα δὲ, μὴ ἐν κλίσει ῥηματικῇ, διὰ τὸ ἴναι καὶ ἐξίναι[x] ἀπαρέμφατα[y].

Τὰ εἰς ω λήγοντα καθαρὰ βαρύτονα ῥήματα, ὑπὲρ δύο συλλαβὰς ὑπάρχοντα, εἰ παραλήγοιτο τῷ ι, μόνῳ ἐκτεταμένῳ αὐτῷ παραλήγοιτο, χωρὶς εἰ μὴ σύνθετα εἴη[z] κατ' ἔλλειψιν τοῦ ζ· κυλίω· ἀλύω· μηνίω· δηρίω· κωνίω· ἰδίω· τὸ δὲ ἑστίω συστέλλει τὸ ι· ἐφυλαξάμην δὲ σύνθετα, διὰ τὸ αἰτιῶ[a]· τήν τε ἔλλειψιν τοῦ ζ, διὰ τὸ μαστιῶ· τὸ δὲ δειλιῶ[b] οὐ ῥητόν[c]· τὸ δὲ κηκίω ἐκ διπλασιασμοῦ[d].

πολλὴ δ' ἀνεκήκιεν ἅλμη.

Τὸ ι, ἐπιφερομένου ἑνὸς συμφώνου ἁπλοῦ, ὅπερ ἔχει[e] ὑποτασσόμενον ι ἢ υ[f], φιλεῖ ἐκτείνεσθαι, ὑπεσταλμένων τῶν κατὰ κλίσιν[g]· ἶβυς[h]· Ἴβυκος ἰδίω[i]· ἰθύς· Ἶρις· Ἴλιον· ἰνίον· ἶφι· Ἰτυμονεύς[k]· τὸ δὲ ἰτὺς συστέλλει τὸ ι· τὸ δὲ ἴθι κλίσις[l] ῥηματική[m].

Τὰ εἰς ις λήγοντα βαρύτονα ἀεὶ συστέλλει[n] τὸ ι, εἰ μὴ σύνθετα ὑπάρχοι ἐξ ἁπλῶν ἐκτεινόντων τὸ ι· κόνις· δῆρις· μάντις[o]· ὄρχις· ὄφις· λάτρις· ὄρνις· Ἀριστοκλῆς δὲ ἐν τῷ

[q] συστελλόμενον A. [r] ἰκρία A. [s] ἵστανον, ὃ ἐστι παρατατικὸς B. ἱστὰν A. ἵστανον Par. ἴσθανον Herm. [t] ἱστίων ὃ ἐστι γενικὴ, πληθυντικὴ B. ἱστίων etiam Par. ἱστίον A. et Herm. [u] δισυλλαβὰν A. et Par. [v] ὃ λαμβάνεται ἀντὶ ὅπου B. [w] συνδεσμὸς αἰτιολογικὸς B. [x] Sic Codd. [y] μετὰ προθέσεως ἀπαρέμφατα B. [z] καὶ B. [a] ὃ σημαίνει τὸ πολυτιμωρῶ B. [b] Sic Codd. Barocc. διδοίω Herm. δειδίω Draco et Par. [c] ῥητόν ἐστι B. [d] γέγονεν τρισύλλαβον B. [e] εἰ ἔχοι Codd. Barocc. [f] ἢ τὸ ι ἢ τὸ υ B. [g] ὑπεσταλμένων τῶν κατὰ κλίσιν om. B. [h] ἴβυς Codd. Barocc. [i] Ἴβυκος· ἰδίω om. B. [k] Ἰτιμονεὺς Codd. [l] κλ. ἐστὶ B. [m] καὶ τῶν κατὰ κλίσιν ῥηματικῶν ὄντων ὑπεσταλμένων ad. B. [n] συστέλλουσι B. [o] post μάντις ad. Πάρις· Θέτις B. om. vero ὄρχις.

περὶ διαλέκτων φησὶν Ἀττικοὺς ἐκτείνειν[p]· προσέθηκα δὲ, εἰ μὴ σύνθετα εἴη ἐξ ἁπλῶν ἐκτεινόντων τὸ ι, διὰ τὸ κνημὶς[q], εὐκνήμις[r]· ψηφὶς, μελαμψηφίς· καὶ ὅσα εἰσὶ τοιαῦτα.

Τὰ μέντοι ὀξύτονα θηλυκὰ εἰς ις λήγοντα, μεμελέτηκα[s] καὶ ἐκτείνεσθαι[t] καὶ συστέλλεσθαι· τοῖς μὲν οὖν συστέλλουσι τὸ ι, ἀδιάφορος ἡ πρὸ τέλους, εἴτε μακρὰ εἴη, εἴτε βραχεῖα· βολίς· ῥανίς· αἰγίς· μηλίς· Δωρίς· τοῖς δὲ ἐκτείνουσι τὸ ι, καὶ μάλιστα ἐπὶ δισυλλάβων, ἡ πρὸ τέλους μακρὰ ὑπῆρχεν[u]· ἤτοι[v] φύσει ἢ θέσει· κηκίς· κηλίς· νησίς· κρηνίς· ψηφίς· σφραγίς· ἀψίς· βαλβίς[w]· φαρκίς· τὸ μέντοι καρὶς καὶ ῥιπὶς, ἡ μὲν[x] κοινὴ συνηθεία ἐκτείνει, ἡ δὲ τῶν Ἀθηναίων διάλεκτος συστέλλει· δισύλλαβα δὲ παρέθεμην[y], ἐπεὶ ὁρᾶται τὰ τρισύλλαβα βραχείᾳ παραληγόμενα, καὶ κατὰ τὴν συνηθείᾳ χρῆσιν, καὶ κατὰ τὴν τῶν Ἰώνων, ἐκτείνοντα τὸ ι· κατὰ δὲ τοὺς Ἀττικοὺς, συστέλλοντα· πλοκαμίς· κεραμίς· καλαμίς· βλεφαρίς[z]· ῥαφανίς· τὸ δὲ ἀγαθὶς ἀεὶ συστελλομένως· οὕτω δὲ καὶ[a] ἡ τρυφαλὶς συστέλλεται. Καὶ ἐπίτασιν ἔχει τὸ κληῒς ἐκτεινόμενον, καὶ καθαρεῦον. Τὰ δὲ λοιπὰ πάντα[b] συστέλλονται Λαΐς· Ναΐς· Θησηΐς· δμωΐς[c]· ἡρωΐς· Μινωΐς[d].

Τὰ εἰς ρος λήγοντα δισύλλαβα, κἄν τε ἀρσενικὰ, κἄν τε θηλυκὰ, τῷ α παραληγόμενα, μὴ κατὰ Δωρίδα διάλεκτον, συστελλόμενον ἔχει τὸ α· οἷον λάρος· γάρος[e]· σκάρος· Σάρος ὁ ποταμὸς[f]· Πάρος νῆσος[g]· Κλάρος ἡ πόλις· τὸ τοίνυν βάρος καὶ Ῥάρος παρ' Ἀττικοῖς κατὰ χρόνον σημειώδη[h]. Τά τε ὑπὲρ δύο συλλαβὰς βαρυνόμενα πάμπολλα ὄντα, συνεσταλμένον ἔχουσι τὸ α[i], μὴ ὄντα Δώρια[k], μήτε σύνθετα· ἐπίτασιν

p τὸ δὲ ὄρνις ἐκτείνουσιν οἱ Ἀττικοὶ, καὶ τὸ εὐκνῆμις, ὥς φησιν Ἀριστοκλῆς ἐν τῷ περὶ διαλέκτων B. q κνήμις A. κνῆμις B. r εὐκνήμις A. εὐκνῆμις B. s Sic B. et Par. μεμελέτηκαν A. t ἐκτείνεσθαι θέλουσι B. u ὑπάρχει B. v ἢ B. w βαλλὶς Codd. Barocc. βαλὶς Herm. de Par. tacet Bast. x μὲν om. B. y Cætera in A. desunt. z βρεφαρὶς Cod. B. a καὶ om. Par. b τὰ γὰρ πάντα Par. c δμηῒς Cod. B. d μηνὶς B. e γάρος om. B. f ὁ ποταμὸς om. B. g νῆσος om. B. h Sic Par. παρ' Ἀττικοῖς ἐκτείνονται B. κατὰ χρῆσιν σημειώδη Herm. i τὸ ι Herm. et Par. k Δωρικὰ Herm. et Par.

οὖν ἔχει τὸ ἄγγαρος, καὶ Αἴσαρος[l]· τὸ δὲ φλύαρος ὀφείλει συστέλλεσθαι.

Τὰ εἰς μος καθαρὰ δισύλλαβα, ἔχοντα τὸ υ παραληγόμενον, ὀξύνεσθαι θέλουσι καὶ ἐκτείνειν[m] τὸ υ· οἷον, θυμός· χυμός· δρυμός· ῥυμός· εἰ δὲ ὑπὲρ δύο συλλαβὰς ὑπάρχει, καὶ προπαροξύνεσθαι[n] θέλουσι, καὶ συστέλλουσι[o] τὸ υ, εἰ μὴ ἐκ συναιρέσεως[p] ὑπάρχει· οἷον, ἔρυμος· Ἔλυμος· δίδυμος· ἔτυμος ὁ ἀληθής· τὸ δὲ πρόθυμος καὶ τὸ μεγάθυμος, καὶ τὰ τοιαῦτα, ἐκ συναιρέσεως ἔσχον[q] τὸ υ.

Τὰ εἰς ος λήγοντα ὑπὲρ δύο συλλαβὰς, προπαροξυνόμενα καὶ ἔχοντα πρὸ τέλους τὸ α, συνεσταλμένον αὐτὸ ἔχουσι· ταύτῃ μοι δοκεῖ καὶ τὸ Ἴασος τὸ α συστέλλειν, τῷ χαρακτῆρι παθὲν[r] ἐπὶ[s] τῶν ὀξυντόνων τῶν ἐχόντων τὸ σ· ὁρᾶται δὲ καὶ ἡ συστολὴ καὶ ἡ ἔκτασις, ὡς ἐν τῷ Τάμασος[t] καὶ Ἐγγύασος, ἀλλὰ καὶ Κέρασος καὶ Ἔρασος.

Τὰ εἰς τι λήγοντα ἐπιῤῥήματα, εἰ γένοιτο ἀπὸ τῶν εἰς ζω ληγόντων ῥημάτων, ἢ ἀπὸ τῶν εἰς ως ἐπιῤῥημάτων, συστέλλειν θέλει τὸ ι[u]· Ἰαστί· Λυδιστί· Φρυγιστί· Δωριστί· μεγαλωστί· δημιωστί· ἱερωστί· νεωστί· τὸ μέντοι ἀπνευστί[v] καὶ ἀνωϊστὶ, παρὰ τοῦ ἄπνευστος καὶ ἀνώϊστος[x]· τὰ δὲ ἀπὸ πτωτικῶν[y] οὕτω μηκύνεται, ὡς ἔχει τὸ ἀκονιτί· ἀναιμωτί· ἀκλαυτί· πανθοινί· ἀκριτί· ἀμογητί[z]· τὸ ι δὲ ἔσθ' ὅτε καὶ συνεσταλμένον προφέρεται ἀδείᾳ ποιητικῇ·

Νέστωρ δ' ὁ γέρων ἀμογητὶ. Il. Λ. 636.

καὶ τὰ ἑξῆς· οὕτω δὲ καὶ ἀμισθί·

ἀμισθὶ γάρ σε πάμπαν[a].

Τὰ εἰς υς ἐπιῤῥήματα, εἰ λέγοιτο ἄνευ τοῦ σ, ἰσοχρόνα[b]

[l] κίσσαρος Herm. nec aliter ut vid. Par. [m] ἐκτείνεσθαι Par. et Herm. [n] προπαροξύνεται Par. [o] συστέλλει Par. et Herm. [p] Sic B. et Par. εἰ μὴ σύνθετα Herm. [q] ἔσχε Par. et Herm. [r] Sic B. παισθὲν Par. et Herm. [s] ἐπὶ γὰρ Herm. [t] Sic Par. τάμεσος B. τάγμασος Herm. [u] συστέλλεσθαι θέλουσι ἐπὶ τῆς ληγούσης· ἤγουν συνεσταλμένον ἔχουσι τὸ ι B. [v] ἀναπνευστὶ B. [x] ἀνώϊστος ἐκτείνεται B. [y] ἀπὸ πτω** B. [z] ἀμογητὶ om. Herm. et Par. [a] hæc om. B. [b] ἰσοχρόνα B.

λέγεται· μεσσηγὺς, μεσσηγύ· τὸ μέντοι ἄντικρυς, μεταβαλὸν[c] τὸν χρόνον, μετέβαλε καὶ τὸν τόνον.

Αἱ διὰ τοῦ ι μόνου ἐπεκτάσεις ἐν οἱῳδήποτε μέρει λόγου ἐκτεταμένον ἔχουσιν[d] τὸ ι· ὡδί· ἐνθαδί· νυνί· δευρί· τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῶν ἀντωνυμῶν· ἐκεινοσί· οὑτοσί.

Πᾶν ῥῆμα εἰς ζω λῆγον, ἔχον πρὸ τέλους τὸ ι, συνεσταλμένον αὐτὸ ἔχουσιν· οἰκίζω· καθαρίζω· πολεμίζω· ἐλπίζω· σκελίζω· τὸ μέντοι δανείζω διὰ τῆς ει διφθόγγου γράφεται, οὐ μέντοι διὰ ἐκτεταμένου τοῦ ι[e].

[c] μεταβαλλὸν B. [d] αὐτὸ ἔχουσιν B. [e] καὶ οὐ διὰ τοῦ ἐκτεταμ. ι. B. In eod. Cod. seq. τὰ δίχρονα καὶ βραχέα τὰ σημειώμενα κατ' ἐπέκτασιν· ἀξιόθεος· ἀπέρατος· ἄϋλος· ἀπρόσιτος· ἀνιαρὸς κ.τ.λ. quæ proculdubio ab ineptissimo quodam grammatico Herodiani opusculo adsu tasunt.

ΙΩΑΝΝΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ

Διδασκαλία σαφεστάτη περὶ τῶν ἐν τοῖς στίχοις μέτρων ἁπάντων· διὰ στίχων πολιτικῶν· τὰ δὲ προοίμια μόνα συντέθεινται διὰ στίχων ἡρωϊκῶν ὁμοίως καὶ ὁ ἐπίλογος.

ΓΡΑΜΜΑΤΙΚΗΝ *μαθέειν ποθέοντες, μέτρεα πάντα,*
τῇ δὲ βίβλῳ προσέχοντες, ἀρύεσθ' ὅσα κεκεύθει·
τὴν παρ' ἀδελφείῳ Τζέτζης θέτο, νέρτερα δῶρα·
τὴν θέτο νέρτερα δῶρα Ἰωάννης Ἰσαακίῳ·
οἶτον ἀμειψαμένῳ παρὰ μοῖραν ἐξ ὀδυνάων·
ἃς ἔτλη Συρίῃ τε, Ῥόδῳ δ' ἐνὶ κάππεσε τύμβῳ·
κεῖνον ὀδυρόμενος τὸν δύσμορον[a] *οἷά περ ἔτλην·*
βουλόμενός τε μέτροις παντοίοις τόνδε δακρῦσαι,
τὴν βίβλον ἐξετέλεσσε[b] *τὰ μέτρεα πάντα προφάσκων.*
  Μυρμιδόνες προπάροιθε περὶ Πατρόκλοιο θανόντος,
μνῆμα λυγρὸν ἑτάροιο ξανθὰς ἀπέκειραν ἐθείρας·
κλαῦσαν Ἀχιλλέα, Πιμπληϊάδες ἐννέα Μοῦσαι·
χρυσέον ἐς τύμβον δὲ καὶ ἀμφοτέρους καταθέντες,
ἥρωες ἐδάκρυσαν ἐπεὶ κατὰ μοῖρα κατέσχεν·
Παρθένος αὖ χαλκείῃ περὶ σήματι δάκρυε Μίδου[c]·
Ἀσσύριοι σφετέρῳ δὲ Ὀσιμανδύι[d] *βασιλῆϊ,*
χρυσέῳ ἐν στεφάνῳ σταδιαῖον τύμβον ἔρεψαν·
Μαυσῶλον Κᾶρες περὶ κίονα μέσσοθι λίμνης
θάψαν· θαῦμα μέγιστον ἐν ὑστατίοισι βροτοῖσι.
πηρομελεῖς[e] *τοπάρος δὲ θαρήϊον*[f] *ἀμφιτάφον τε*
παῖδες Ἀθηναίων ἀκούσια δάκρυα λεῖψαν·
πύργων δὲ στεφάνους ἐπ' Ἀλεξάνδρου βασιλῆος
κεῖραν Μακεδόνες Ἡφαιστίωνι θανόντι·
ἄλλοι δ' ἄλλα ἔρεξαν ἐπὶ προτέρων Λυκαβάντων·
αὐτὰρ ἐγὼ κασίγνητε, γλυκὺ φάος Ἰσαάκιε,

[a] Sic D. *δύστηνον* C. om B. [b] *ἐξετέλεσσα* D. [c] *μύθου* D.
[d] *Ὀσιμανδύϊ* B. *Ὀσιμανδίῃ* C. *Ὀσιμανδύῃ* D. [e] *πληρομελεῖς* D.
[f] *δαρήϊον* C. *δαρῇϊ* D.

κρέσσον ἐμοὶ ἠελίου φαεσιμβρότου ἠδὲ σελήνης,
κρέσσον ἐμοὶ βιότοιο, καὶ εἴπου βέλτερον ἄλλο,
σεῖο[g] ἀποφθιμένοιο ὑπ' ἀργαλέων ὀδυνάων,
τήλοθεν ἡμετέρης τε καὶ ἡμετέρων ναετήρων,
ἡμετέρην γενέθλην, ἐπεὶ ἔμβαρυς ἔχραε δαίμων·
οὐ χρυσέην ἐς λάρνακα θεὶς, πλοκάμοισι πυκάσσω[h],
παρθένον οὔτι δὲ χαλκῆν σῷ περὶ σήματι θήσω·
πότμον ὀδυρομένην μάλ' ἀπηνέα τὸν Ῥόδῳ ἔτλης,
πλεῖστ' ἀεκαζόμενος κυαναυθρώπῳ Ἀραβίῃ·
οὐλομένῃ στρατίῃ[i], ἣ πολλοὺς ἔμβαλε γαίῃ·
χρύσεον οὐ κύκλον, οὐ μέγα ἠρίον ἐκτολοπεύσω
πηρομέλης, οὐ σταίη δὲ βροτὸς ὅς σε δακρύσει[k],
οὐ πολίων κεράων στεφάνους[l], οὐδ' ἄκρα κόρυμβα,
οἷά περ ἐξετέλεσσαν, ὅσοι πάρος ὄλβιοι ἦσαν.
ἀλλά σε νῦν δακρύουσιν ἐφεσταυῖαι περὶ τύμβον,
Ἥβη σὺν Χαρίτεσσιν πολυστεφάνων Ἀρετάων.
καὶ μὴν μύρονται περίαλλα σὺν αὐταῖς, Μοῦσαι,
κειράμεναι πλοκάμους· δακρύουσι σὺν αὐταῖς, λόγοι·
μορφῇ ἐν ἀνδρομέῃ περὶ κῆρι δακρυχέοντες·
αὐτὰρ ἐγὼ τριφίλητον ἀδελφεὸν ὄμμα καὶ ἦτορ
ζωὸς ἀποφθιμένοιο, σοῦ ὕστερος ὢν ὑπὸ γαῖαν,
μνῆμα καλὸν τελέω σοι[m], ὅπερ σέθεν ἄξιον εἴη·
καὶ Ῥόδος οὐ σέο μνῆμα· σὺ δ' αὖ Ῥόδου ἔσσεαι μνῆμα·
ἡ γὰρ γηράσασα ποτὲ, χρόνῳ ἐξαπολεῖται·
αὐτὰρ ὦ Ἰσαάκιε τέον κλέος ἄμβροτον ἔσται·
θάψω γάρ σε μέσῃσι ψυχαῖς ἐς τάφον οἷον,
ὅνπερ μέτροις παντοίοις Μοῦσαι τελέουσι·
καὶ χρονικὰς δὲ βίβλους συνταξάμενος καταλέξω·
σὸν πότμον γοόων τε καὶ ἄσχετα δάκρυα λείβων.
αὐτὰρ ἐπεὶ τοὺς ζώοντας κορέσαιμι δακρύων,
ἀνστήσω καὶ Ὅμηρον, ἑοῖς ἐπέεσσι δακρῦσαι·
πάντας θ' ὅσοι ἔασιν ὑπὸ χθονὸς[n] ἔξοχοι ἄλλων·

[g] σοῖο C. [h] πυκάσςας D. [i] στρατείῃ Codd. [k] Sic B. δακρύει D. hunc et seq. v. om. C. [l] κερέω στεφάνας B. [m] τελέοσοι B. [n] χθονὰ D.

ἀλλά γε καὶ μετρέων διΐξομαι αὐτὰ κέλευθα·
σοῖο χάριν ποθέουσι περιφραδέως ἐρεείνων.
ὄφρα τεοῖς θρηνήμασιν ἐμμέτροισι τύχοντες,
ἰδμοσύνῃ προφέροιεν μετρέων[o] *ἐν διακρίσει·*
κλῆσιν δ' αὖ πρώτιστα ποδῶν ἐξάρχομαι ᾄδειν.

Τὸν περὶ μέτρων ἀκριβῶς βουλόμενον μανθάνειν,
πρῶτον χρεὼν τὰ τῶν ποδῶν ὀνόματα γινώσκειν·
ἅπαν γὰρ μέτρον ἐκ ποδῶν κέκτηται τὴν συνθήκην.
λοιπὸν πρῶτα διδάξομεν περὶ ποδῶν ὡς δέον·
εἶτα πρεπόντως μετ' αὐτοὺς λέξω καὶ περὶ μέτρων.

Περὶ τῶν δισυλλάβων ποδῶν, καὶ πόσοι εἰσὶ, καὶ πόθεν σύγκεινται.

Μόνοι μὲν πόδες τέσσαρες εἰσὶ τῶν δισυλλάβων,
σπονδεῖος καὶ πυρρίχιος ἴαμβος καὶ τροχαῖος·
ὧν ὁ σπονδεῖος ἐκ μακρῶν δύο τὴν θέσιν ἔχει·
ὡς ἥρως· Εἵλως[p]*· καὶ Πηλεύς· Καινεὺς, καὶ τὰ τοιαῦτα·*
ὁ δὲ πυῤῥίχιος ἐστὶν ἐκ δύο βραχυτάτων·
οἷον θεὸς, ἢ καὶ βροτὸς, καὶ λόγος, ἢ καὶ νόμος·
τινὲς δὲ τὸν πυῤῥίχιον παρίαμβον καλοῦσιν·
ἀπὸ βραχείας καὶ μακρᾶς ὁ ἴαμβος τυγχάνει·
οἷον τὸ λέβης, πένης τε, Λάχης, καὶ τὰ τοιαῦτα·
ὁ δὲ τροχαῖος ἐκ μακρᾶς σύγκειται καὶ βραχείας·
ὥσπερ τὸ κῆπος, δῆμος τε, καὶ πάντα τὰ τοιαῦτα·
οἱ πόδες μὲν οἱ τέσσαρες οὗτοι τῶν δισυλλάβων.

Περὶ Τρισυλλάβων.

Ὀκτὼ δὲ πάλιν γίνωσκε πόδας τῶν τρισυλλάβων·
ἀνάπαιστον καὶ δάκτυλον· χορεῖον, μολοσσόντε·
ἀμφίμακρον· ἀμφίβραχυν· παλιμβακχοβακχεῖον·
τὸν δ' αὖ ἀμφίμακρον, τινὲς καὶ κρητικὸν καλοῦσι·
βραχεῖαι δύο καὶ μακρὰ, σύστασις ἀναπαίστου·
οἷον, Πολέμων· Τελαμών· καὶ Σολομὼν ὁμοίως·
ἀπὸ μακρᾶς ὁ δάκτυλος καὶ δύο βραχυτάτων·

[o] *μέτρων* D. [p] *ἦλως* C.

ὡς ἥλιος, ὡς Δήλιος· ὡς εἴτι πᾶν τοιοῦτον.
ὁ δὲ χορεῖος τρίβραχυς ἔστι τε καὶ καλεῖται·
ὡς δόλιος, ὡς λόγιος, ὡς φρόνιμος, καὶ τ᾽ἄλλα.
ὁ μολοττὸς δὲ, τρίμακρος, καὶ φέρει καὶ τὴν κλῆσιν·
ὡς ἔστι τὸ Ἡρώδης τε, σὺν τούτοις καὶ ληρώδης·
μακρὰ, βραχεῖα καὶ μακρὰ, σύστασις ἀμφιμάκρου·
ὡς ἡγεμὼν, ὡς κηδεμὼν, αἰσχρόπαις καὶ καλλίπαις·
ἀμφίβραχυς ὑπάρχει δὲ βραχυμακροβραχεῖα·
ὡς βοηθὸς, ὡς ὁδηγὸς, ὡς ποδηγὸς, καὶ τ᾽ἄλλα.
καὶ παλιμβάκχειος ἐστὶν δύο μακραὶ, βραχεῖα.
ὡς Ἥφαιστος, ὡς ἄσφαλτος, ὡς ἄσβεστος σὺν τούτοις.
βραχεῖαν, δύο τε μακρὰς, γίνωσκε τὸν βακχεῖον.
οὗπερ ἐστὶ παράδειγμα, Νοήμων καὶ Παλαίμων.
ἔχεις λοιπὸν καὶ τοὺς ὀκτὼ πόδας τοὺς τρισυλλάβους.
ἤγουν τοὺς πάντας δώδεκα μετὰ τῶν δισυλλάβων.
φέρε δ᾽ ἐπεὶ κατέλεξα πόδας τοὺς ἁπλουστάτους,
λέγειν λοιπὸν ἀρξώμεθα καὶ περὶ τῶν συνθέτων.

Περὶ τῶν Τετρασυλλάβων ποδῶν.

Σύνθετοι πόδες δέκα ἓξ ἐκ τῶν τετρασυλλάβων·
διΐαμβος, δισπόνδειος, διτρόχαιος σὺν τούτοις.
προκελευσματικός τις ἐπ᾽ αὐτοῖς πούς ἐστιν ἄλλος,
ὅνπερ καὶ διπυρρίχιον ἐγὼ κατονομάζω.
πάλιν δὲ τὸν χορίαμβον, τροχαῖον σὺν ἰάμβῳ·
ἰωνικὸς ἐκ μείζονος ἕβδομος πoὺς ὑπάρχει·
ὅνπερ σπονδιοπύρριχον ἐκάλεσα δικαίως.
ἰωνικὸς ἐλάττων δὲ, ὀγδόην ἔχει τάξιν.
καὶ σὺν τοῖς ἐπιτρίτοις δὲ καὶ τέσσαρες παιῶνες,
πρῶτοι καὶ δεύτεροι, φημὶ, καὶ τρίτοι σὺν τετάρτοις.
καὶ τοὺς συνθέτους ἔγνως δὲ, τοὺς καὶ τετρασυλλάβους·
λοιπόν σοι σαφηνίσωμεν τοὺς παιωνεπιτρίτους.
ὡς τοὺς συνθέτους τοὺς λοιποὺς καλῶς σαφηνισθέντας,
κἂν γὰρ ἀνάντης καὶ μακρὰ τῆς ἀρετῆς ἡ τρίβος,

κἂν περ κοπώδης καὶ σκληρὰ τυγχάνῃ κατὰ φύσιν,
ἀλλ' οὖν ἐπιτεχνήσεσι καὶ πόνοις τῶν Τζετζίων,
ὁδοιποιούντων τὰ δεινὰ τῆς δυσβατοτροπίας,
πανευμάρης τις γίνεται καὶ κατημαξευμένη·
καὶ δὴ λοιπὸν ἐκφράσωμεν τοὺς παιωνεπιτρίτους.
νόει τὸν πρωτεπίτριτον ἴαμβον καὶ σπονδεῖον·
καλεῖν δὲ τὸν ἐπίτριτον καὶ καρικόν μοι νόει·
τροχαϊκὴν ἑπτάσημον σὺν τούτοις κάλει τοῦτον.
τὸν δεύτερον ἐπίτριτον, τροχαῖον καὶ σπονδεῖον.
τὸν τρίτον τὸν ἐπίτριτον, σπονδεῖον σὺν ἰάμβῳ
τὸν τέταρτον ἐπίτριτον, σπονδεῖον καὶ τροχαῖον
καὶ τροχαιοπυῤῥίχιον, τὸν δεύτερον παιῶνα.
ὡς καὶ πυῤῥιχοτρόχαιον, τὸν τρίτον τῶν παιώνων.
ὥσπερ καὶ πυῤῥιχίαμβον, τὸν τέταρτον παιῶνα
ὥσπερ αὐτοὺς ὠνόμασεν ἕνεκα σαφηνείας,
ἔρνος τὸ βρύον ἄνθεσι τῶν ἁπάσων χαρίτων·
ἀστὴρ ἑῷος ὁ ἐμὸς ὁ φεραύγης φωσφόρος·
κἂν νῦν παρ' Ἅδην ἀτυχῶς ἕσπερος κεῖται νέκυς,
ἐν ἐκστρατίᾳ μιαρᾷ λυγρὸν ἰδὼν τὸν μόρον,
ὁ φίλος Ἰσαάκιος ἐμὸς τερπνὸς συναίμων·
ὁ χρόνῳ πάντη νεαρὸς κατὰ δὲ φρένας γέρων.
ἐμοὶ γὰρ διδασκομένῳ τοὺς πόδας τοὺς τῶν μέτρων,
συνθολουμένῳ τε πολλὰ τῇ δυσκαταληψίᾳ,
τὰς κλήσεις ταύτας τέθεικεν ἕνεκα σαφηνείας·
ὅπως καὶ παραδείγματος δίχα νοοῖντο μόνοι·
καὶ δὴ δοκῶ καὶ τοῖς πολλοῖς ὄφελος ἔσται τοῦτο.
εἰ δέ γε καὶ σαφέστερον τοὺς παιωνεπιτρίτους
χρήζεις μαθεῖν, ἐκμάνθανε σὰς ἀκοὰς πετάσας.
ὁ πᾶς ἐστὶν ἐπίτριτος, ὧν ἔφην, τῶν τεσσάρων,
ἀπὸ βραχείας καὶ μακρῶν τριῶν συντεθειμένος.
ἀλλ' ὁ μὲν πρῶτος συλλαβῶν τῇ πρώτῃ τὴν βραχεῖαν·
ὁ δεύτερος δὲ κέκτηται πάλιν ἐν τῇ δευτέρᾳ·
ὁ τρίτος ἐν τῇ τρίτῃ δέ, καὶ τέταρτος τετάρτῃ.

οἱ δὲ παιῶνες ἔμπαλιν εἰσὶ συντεθειμένοι·
ἀπὸ μιᾶς μὲν τῆς μακρᾶς τριῶν τῶν βραχειῶν δὲ,
ἀλλ' ὁ μὲν πρῶτος τὴν μακρὰν ἐν συλλαβῇ τῇ πρώτῃ·
ὁ δεύτερος δὲ κέκτηται πάλιν ἐν τῇ δευτέρᾳ·
ὁ τρίτος ἐν τῇ τρίτῃ δὲ, καὶ τέταρτος τετάρτῃ·
ἀντίθετοι καὶ γάρ εἰσι παιῶνες ἐπιτρίτοις·
τῷ πρώτῳ μὲν ὁ πρώτιστος· οἱ δὲ λοιποὶ τοῖς ἄλλοις·
οὗτοι τοῖς μετρικοῖς εἰσι γνώριμοι μόνοι πόδες,
εἴκοσι πάντες καὶ ὀκτώ· καὶ δὴ καὶ συλληπτέον
δισύλλαβοι μὲν τέσσαρες· ὀκτὼ τῶν τρισυλλάβων·
ἑκκαίδεκα δὲ σύνθετοι καὶ τῶν τετρασυλλάβων·
τοὺς δ' ἄλλους οὐκ ἐπίστανται τινὲς καὶ πῶς καλοῦνται·
πλὴν μόνον λόγοισι ποσὸν καὶ μόνον ἀριθμοῦσι.
κλῆσιν δὲ τούτων οὐδαμῶς ἐτόλμησέ τις φράσαι.
ὁ δὲ ῥηθείς μοι σύναιμος ἔφη καὶ περὶ τούτων,
ὧν περ βραχεῖς εἰπόντος μου, πάντες λοιπὸν δηλοῦνται·
πεντεσυλλάβους ἔφασκε τοὺς δακτυλοσπονδείους·
καὶ τὸν ἰαμβανάπαιστον, καὶ τροχαιοχορείους·
καὶ μολοσσοπυῤῥίχιον· καὶ τοὺς λοιποὺς ὁμοίως·
καὶ τοὺς ἑξασυλλάβους δὲ πάλιν ὁμοιοτρόπως·
φάσκων χορειοδάκτυλον, καὶ χορειοβακχεῖον,
ἀμφιμακροανάπαιστον, καὶ μολοσσοδακτύλους·
ἰαμβοτριτεπίτριτον, ἰωνικοσπονδεῖον,
τροχαιοπαιωνόπρωτον, καὶ καθεξῆς ὁμοίως·
οὕτως ἐκεῖνος Ἡρακλῆς ἐφάνη χρηστεργάτης·
τοὺς μὲν δυσκόλους τῶν ποδῶν ἐκφράσας σαφεστέρως·
ἀνερευνήσας καὶ συνθεὶς τοὺς παραλελυμένους·
κ' ἂν περ ἀσυντελεῖς ὦσιν οὗτοι τοῖς στιχογράφοις·
καθὼς οἱ τετρασύλλαβοι σύνθετοι πάντες ὄντες
ἀπὸ τῶν δώδεκα ποδῶν τῶν πρώτων πεπλεγμένα·
κ' ἂν ἀλαζόνες μετρικοὶ προσέθεντο καὶ τούτους,
ὡς θορυβεῖεν τοὺς πολλοὺς ποσὶ τοῖς ξενωνύμοις·
ἀλλ' ἐπειδὴ περὶ ποδῶν ἀρκούντως νῦν ἐῤῥέθη,
φέρε λοιπὸν ἀρξώμεθα καὶ περὶ μέτρων λέγειν.

Περὶ Μέτρων.

Εἴδη τῶν μέτρων ἀριθμῷ τυγχάνουσιν ἐννέα,
τὰ πρῶτα τὲ καὶ κύρια καὶ καθ' ὁλοκληρίαν·
ἀλλ' ἔχουσι καὶ τμήματα· λεκτέον δὲ τὰ πρῶτα
ἰαμβικόν· τροχαϊκόν· ἀνάπαιστον τὸ τρίτον·
χορίαμβον τέταρτον· πέμπτον ἐξ ἀντισπάστων·
ἰωνικὸν ἐκ μείζονος, ἕκτον τυγχάνει μέτρον·
ἕβδομος ἀπ' ἐλάσσονος ἰωνικὸν ὁμοίως·
παιωνικὸν τὸ ὄγδοον· ἔννατον τὸ ἡρῶον.
ταῦτα τὰ μέτρα σύμπαντα, τὰ καθ' ὁλοκληρίαν·
λοιπὸν πρῶτα διδάξωμεν περὶ τοῦ ἰαμβείου.

Περὶ τοῦ Ἰαμβικοῦ Μέτρου.

Τὸ μέτρον ἰαμβικὸν εἰς ἓξ μὲν διαιρεῖται*·
εἰς τραγικὸν, εἰς κωμικὸν, καὶ τρίτον τῶν σατύρων·
εἰς τὸ χωλὸν Ἱππώνακτος, καὶ τὸ τοῦ Ἀνανίου·
καὶ σὺν αὐτοῖς εἰς τὸ κοινὸν καὶ κατατετριμένον·
ὧν τὸ καθ' ἓν ἐξάχωρόν ἐστιν, ἀλλ' οὐχ ἑξάπουν·
καὶ τὸ κοινὸν μὲν δέχεται τούς δε τοὺς τρεῖς τοὺς πόδας·
σπονδεῖον καὶ τὸν ἴαμβον, μετὰ τοῦ πυῤῥιχίου.

* Τὸ μέτρον τὸ Δωρικὸν παρέλειψα λήθῃ· δέχεται δὲ πλεῖον τῶν ἄλλων ἰαμβικῶν μέτρων· κατὰ τὴν β' χώραν· ἢ καὶ δ' ἢ ϛ'· σπονδεῖον σπανιάκις καὶ δάκτυλον, ὡς ἰσόχρονον τῷ σπονδείῳ· Δωρικὸν Ἱππώνακτος·

καὶ τὴν ῥῖνα καὶ τὴν μύξαν ἐξαράξασα.

Σωφοκλέους·

πολλοὶ μὲν ἐχθροὶ, παῦροι δ' ὠφελήσιμοι. (Aj. v. 1022.)

Δέχονται καὶ τρισυλλάβους εἰς ϛ', πλὴν τοὺς ἀπὸ βραχείας ἀρχομένους, τὸν χορεῖον φημὶ, καὶ τὸν ἀνάπαιστον, ὡς ὁ Ἱππῶναξ·

οὔ μοι δικαίως μοιχὸς ἁλῶναι δοκέει.

Κριτίης ὁ Χῖος ἐν τῷ Κατωτικῷ δούλῳ[a]·

καὶ πᾶσι[b] κακοῖσι δώσω τὴν πολύστονον ψυχὴν,
ἢν μὴ[c] ἀποπέμψῃς ὡς τάχιστά μοι κριθέων
μέδιμνον, ὡς ἂν ἄλφιτον ποιήσωμαι
κυκεῶνα· πίνων φάρμακον πονηρίοις[d].

a ἐν τῷ κατῶξ δούλῳ Cod. Barocc. 194. f. 93. κατωξ Cod. A. ἐν ω κτῶξ δου. Cod. B. b πάσας κακοῖσι Barocc. πγ Cod. A. quod pro πατέρα habet Dubner. πᾶ κακοῖσι Cod. B. c ἤν μοι Barocc. ἢν μὴ A. ἢ μὴ B. d Sic Codd. f. leg. ποτηρίοις.

καὶ μόνος μὲν ὁ ἴαμβος εἰς πάσας πίπτει χώρας,
πρώτην, δευτέραν, τρίτην τε, τετάρτην, πέμπτην, ἕκτην·
ὁ δὲ σπονδεῖος εἰς τὰς τρεῖς· εἰς πρώτην, τρίτην, πέμπτην·
μόνος δ' αὖ ὁ πυῤῥίχιος εἰς ἕκτην πίπτει μόνην·
τοῦτο τὸ μέτρον τὸ κοινὸν καὶ κατημαξευμένον.
τὰ δ' ἄλλα πέντε δέχονται καὶ ταύτην τὴν συνθήκην·
ἤτοι σπονδεῖον, ἴαμβον, μετὰ τοῦ πυῤῥιχίου·
καὶ τούτων πλέον δέχονται καὶ πόδας τρισυλλάβους·
ἀνάπαιστον, καὶ δάκτυλον, καὶ σὺν αὐτοῖς χορεῖον·
ἀλλὰ τὸν μὲν ἀνάπαιστον μετὰ τοῦ χορείου
ἐν πάσαις ἐπιδέχονται ταῖς χώραις, πλὴν τῆς ἑκτῆς·
τὸν δάκτυλον δὲ δέχονται τοῖς τόποις τοῦ σπονδείου·
ἤγουν εἰς πρώτην, τρίτην τε, καὶ πέμπτην χώραν μόνον·
εἰς δὲ τὴν ἕκτην ἔχουσιν ἰαμβοπυῤῥιχίους.
γνώρισμα δὲ τοῦ τραγικοῦ τοῦτο τυγχάνει μέτρου,
τὸ μόνον ἕνα δέχεσθαι πόδα τῶν τρισυλλάβων·
εἰς χώραν τὴν ἁρμόζουσαν ἐκεῖνον παραπέμπειν·
τὸ τῶν σατύρων δέχεται δύο τῶν τρισυλλάβων.
τρεῖς δὲ καὶ πλείους δέχεται τὸ κωμικὸν τὸ μέτρον*.
Τὸ δὲ χωλὸν Ἱππώνακτος, καὶ τὸ τοῦ Ἀνανίου
κατὰ τὴν ἕκτην δέχεται πλέον τῶν μέτρων τούτων
καὶ δισυλλάβους ἐκ μακρῶν σπονδείους ἢ τροχαίους
Ὁ δ' Ἡφαιστίων τὸ χωλὸν τὸ μέτρον τῶν ἰάμβων
λέγει τοὺς παραλήγοντας μὴ φέρειν τρισυλλάβους·
ἀλλ' ἴσθι τοῦτον ψεύδεσθαι τούτου τοῦ λόγου χάριν·

* Σημείωσαι διαφορὰν στίχων τραγικῶν· σατυρικῶν καὶ κωμικῶν· καὶ ἡ μὲν διαφορὰ τῶν στίχων ἐν τῷ κειμένῳ ἐλέχθη, ἐννοίαις δὲ διαφέρουσα· ὅτι τὰ τραγικὰ θρηνητικὰ εἰσὶ, τὰ σατυρικὰ ἀπὸ λύπης εἰς χαρὰν καταντᾷ[d]· τὰ δὲ κωμικὰ γέλωτα περιέχουσι μετά τινων προσώπων κεκρυμμένῃ διαβολῇ[e]· Σχολ. τὰ σατυρικὰ ἀστεῖα εἰσὶ[f] γέλωτα μόνον περιέχοντα, ὡς τὰ περὶ τῶν θυμελῶν[g] λεγόμενα· τὸ δὲ ἀπὸ λύπης εἰς χαρὰν καταντᾷν, τισὶν ἀσκέπτοις τῶν παλαιῶν πειθόμενος εἶπον.

d κατὰ ταῦτα B. e κεκρυμμένον διαβολῆς B. f ἀστεῖα σὶ B. g θυμελικῶν A.

δείξει γὰρ ταῦτά σοι σαφῶς εἰ θέλεις ὁ Ἱππῶναξ*.
καὶ τὸν μὲν Ἱππωνάκτειον στίχον χωλὸν καλοῦσι·
τὸν ἕκτον πόδα σκάζει γὰρ σπονδείῳ ἢ τροχαίῳ.
ἰσχιοῤῥῶγα[h] δέ τινες φασὶ τὸν Ἀνανίου·
ἐκ τοῦ ἰσχίου φαίνεται καὶ γὰρ κατεῤῥηγμένος·
πέντε μακρὰς γὰρ συλλαβὰς ἑξῆς ἔχει κειμένας,
ἐκ τοῦ τετάρτου τοῦ ποδὸς μέχρι τοῦ τελευταίου.
ἀλλ᾽ ἐπειδὴ κατέλεξα περὶ τοῦ ἰαμβείου,
φέρε καὶ τὸ τροχαϊκὸν δεύτερόν σοι διδάξω.

Περὶ Τροχαϊκοῦ Μέτρου.

Τὸ μέτρον τὸ τροχαϊκὸν ἑξάχωρον τυγχάνει
καθάπερ δὴ καὶ τὰ λοιπὰ τῶν μὴ τετρασυλλάβων
καὶ πλὴν τῶν τρισυλλάβων δὲ τῶν κατὰ διποδίαν
ταῦτα γὰρ οὐκ ἀνέρχονται μέχρι τῶν ἑξαπόδων.
ὅπως μὴ παραδράμωσι τὸ μέτρον τὸ τῶν στίχων·

h Sic B. ἰσχυοῤῥῦγα C.

* Στίχοι Ἱππώνακτος τρισυλλάβους ἔχοντες τοὺς παραλήγοντας πόδας·

Ἀπό σ᾽ ὀλέσειεν Ἄρτεμις, σὲ δέ κ᾽ ὦ πόλλων

καὶ

πᾶσαν[i] τε ἀρεδεύει τὴν ἐπὶ Σμύρνης.
ἴθι διὰ[k] Λυδῶν παρὰ τὸν Ἀττάλεω τύμβον,
καὶ σῆμα Γύγεω[l]· καὶ Μεγάστρυ[m] στήλην,
καὶ μνῆμα τ.᾽ Ὦτος[n]. Μυτάλιδι[o] πάλμυ δος[p]
πρὸς ἥλιον δύνοντα[q] γαστέρα τρέψας·

καὶ

πᾶσα ἀθηνᾶ μαλὶς κονὶς κελαῖρε[r]
καὶ μεδεπότε ἀβεβρου λαχόντα[s]
λίσσομαί σε· μὴ ῥαπίζεσθαι.

i In Cod. A. Dubner. legit καὶ πατέρα ($\overset{\text{ᾱ}}{\text{πγ}}$) τίαρι (hic album spatium quinque literarum) διύιι τὴν ἰπὶ Σμύρνης. k δια sine acc. A. l γήγιω A. m μιγάστρυ A. n μνῆματ᾽ ὦτος A. o μυτάλιδι A. p πάλμυδος B. q δύνονται A. r Sic B. Dubner. in A. leg. πᾶσα ἀθηνᾶ μωλὶς (vel μαλὶς, sed potius ω) hic 6 litteræ erasæ, quarum hæc supersunt vestigia κο—σ (( ) χαιρι νισκι (sic sine acc. et superscr.) s Sic B. In A. Dubner. leg. καί μι δισπότια βίβρου with μα . . ιν [i. e. οῦ] superscr. [in superscripto duæ litteræ erasæ, quarum prior τ vel π fuisse videtur.]

τὸ γὰρ τριακοντάχρονον περίοδος καλεῖται·
καὶ τάξιν ὑπερβέβηκε, καὶ μέτρον τὸ τῶν στίχων·
κ'ἂν τινες ταῦτα γράφωσι μέχρι τῶν ἑξαπόδων,
τοὺς χρόνους τοὺς τριάκοντα πολὺ παραδραμόντες.
εἴπερ θέλεις ποίησον καὶ σὺ τῶν ἑξαμέτρων·
πλὴν συλλαβῇ λιπέσθωσαν ποδὸς τοῦ τελευταίου·
τὸ κάλλιστον δὲ γίνωσκε τῶν μέτρων σὺ προβαίνειν,
ὡς πρὸς εἰκοσιτέσσαρας χρόνους μὴ περαιτέρω.
δέχεσθαι πόδας πέντε δὲ τὸ μέτρον τοῦτο νόει·
ἀνάπαιστον καὶ δάκτυλον, χορεῖον καὶ σπονδεῖον.
καὶ τὸν ὁμώνυμον αὐτοῦ δέχεται τὸν τροχαῖον
τὸν μὲν χορειοδάκτυλον σὺν ἅμα τῷ τροχαίῳ,
ἀπὸ τοῦ πρώτου δέχεται μέχρι τῆς τελευταίας·
τὸν δ' ἀναπαιστοσπόνδειον εἰς μόνας τὰς ἀρτίους·
εἰς τὴν δευτέραν σοι φημί, τετάρτην, καὶ τὴν ἕκτην.
τὸ δὲ χωλὸν τροχαϊκὸν, πέμπτον σπονδεῖον φέρει.

Περὶ Ἀναπαιστικοῦ Μέτρου.

Τὸ δ' ἀναπαιστικὸν μέτρον ἐν πάσαις φέρει χώραις
ἀνάπαιστον, καὶ δάκτυλον· τετράβραχυν· σπονδεῖον·
καὶ σπανιάκις ἴαμβον εἰς πρώτην, τρίτην, πέμπτην.
τὸ σπονδειοπαράληκτον Λακωνικὸν καλεῖται.

Περὶ Χοριαμβικοῦ Μέτρου.

Τὸ μέτρον τὸ χορίαμβον τούσδε τοὺς πόδας ἔχει·
πρῶτον μὲν τὸν χορίαμβον, ἐξ οὗπερ καὶ τὸ μέτρον
διΐαμβον, δισπονδεῖον· διτρόχαιον σὺν τούτοις·
δέχεται καὶ τετράβραχυν πάσαις εἰ θέλεις χώραις·
τὸν πρῶτον τὸν ἐπίτριτον, ὁμοίως καὶ τὸν τρίτον·
καὶ τὸν τριβραχυίαμβον δέχεται σὺν ἐκείνῳ.
ἀλλ' εἴπερ βούλει καθαρὸν γράφειν τὸ μέτρον τόδε,
τῷ χοριάμβῳ τῷ ποδὶ, καὶ τῷ τριβραχιάμβῳ,
καὶ διϊάμβῳ σὺν αὐτοῖς χρῶ, τοῖς τρισὶ καὶ μόνοις·
καὶ τῷ τριβραχιάμβῳ δὲ μὴ καταχρῶ πολλάκις·

καὶ τοῦτο μὲν ὁλόκληρον μέτρου τοῦ χοριάμβου·
ἐν δὲ τοῖς τμήμασιν αὐτοῦ λέξω καὶ πλατυτέρως,
ὅπως τινὲς πλανώμενοι πόδας ἑτέρους εἶπον.

Περὶ τοῦ Ἀντισπαστοῦ.

Μέτρον εἰ θέλεις καθαρὸν ἀντίσπαστον ποιῆσαι,
ἐξ ἀντισπάστων τῶν ποδῶν τοῦτο συντίθει μόνων[k]·
καὶ κράτιστον καὶ κάλλιστον καὶ καθαρὸν ποιήσεις[l]·
ὥσπερ καὶ σύμπαν καθαρὸν μέτρον εἰ θέλεις γράφειν,
ἐξ ὁμωνύμων τῶν ποδῶν ἀπάρτιζε καὶ μόνων·
ἐπεὶ δὲ τοῦτον βίαιον καὶ δυσχερὲς τυγχάνει
εἰ μὲν τοῖς οἷς περ ἔλεξα τέτρασιν ἄνω μέτροις
ἰαμβικῷ, τροχαϊκῷ, φημὶ πρὸς ἀναπαίστῳ,
καὶ χοριάμβῳ σὺν αὐτοῖς τῷ μέτρῳ τῷ τετάρτῳ,
οὓς πόδας δὴ δεχόμεθα, πλείους τῶν ὁμωνύμων
κατέλεξα σαφέστατα διδάσκων περὶ τούτων.
τὸ νῦν δὲ μέτρον μάνθανε ποίους τοὺς πόδας ἔχει·
ἀντίσπαστον ὡς ἔφημεν εἰς πᾶσαν ἔχει χώραν,
ἢ τέταρτον ἐπίτριτον, ἢ τέταρτον παιῶνα·
εἴτε καὶ τὸν διτρόχαιον· τοὺς μέσους δ' ἔχει πόδας,
ἐξ ἀντισπάστων καὶ διπλῶν φημὶ τῶν δισυλλάβων·
σπονδείου, πυῤῥιχίου τε, τροχαίου καὶ ἰάμβου·
τὸν τελευταῖον ἔχει δὲ πάλιν ἐκ δισυλλάβων·
καὶ τὸν ἀνάπαιστον φασὶν ἔχειν καὶ τὸν χορεῖον·
ψεύδοντες δὲ συγχέοντες ἀπὸ τῆς ἀγνωσίας.
ἐγὼ δ' ὡς πρὶν κατέλεξα, καὶ πάλιν σαφηνίσω,
τούτους τοὺς πόδας ἅπαντας πρὸς πᾶσαν ἔχει χώραν·
μᾶλλον δὲ τὸν ἀνάπαιστον οὐκ ἔχει καὶ χορεῖον.
λέξω δὲ πάντα σαφηνῶς ἐν τμήμασι τῶν στίχων·
τοῦτο δὲ νῦν μοι μάνθανε, καὶ πρόσχες ὡς λέγω[m]·
τοὺς σύμπαντας ἑκκαίδεκα πόδας τετρασυλλάβους
ἐν πάσαις χώραις εὕρηκα, τῷ δὲ κειμένας μέτρῳ
πλὴν δὴ τοῦ τετραβράχεος, καὶ τοῦ παιῶνος πρώτου·

[k] Sic B. μόνον C. [l] Hunc v. om. C. [m] ὅσυλέγω B.

καὶ τούτους ἂν εὕρησεί τις εἴπερ ἀνερευνήσει·
λοιπὸν καὶ γραῦς[n], εἰ βουληθῇ, γράψειεν ἀντισπάστους·
ἀλλά μοι σὺ τὸ καθαρὸν ἐξ ἀντισπάστων γράφε·
μὴ καταχρῶ δὲ τοῖς λοιποῖς, εἰ μή που σπανιάκις,
μηδέ γε τετρασύλλαβον ἑξάμετρον ποιήσῃς·
μήδ' ἄλλο μέτρον ἕτερον, τῶν κατὰ διποδίαν·
εἰ μή που χάριν δοκιμῆς· ἔφην γὰρ περὶ τούτου,
ὡς τὸ τριακοντάχρονον περίοδος καλεῖται·
ἂν δ' ἔστι τετρασύλλαβον, ἑξάπουν[o] ὑπερβαίνει,
οὓς χρόνους τοὺς τριάκοντα καὶ στίχος οὐ καλεῖται·
καίπερ τινὲς ἑξάμετρα γράφωσι καὶ τοιαῦτα.
διὸ τούτους ἀνέρχου μοι μέχρι τοῦ τετραμέτρου·
παντὸς γὰρ μέτρου γίνωσκε τὸ κάλλιστον τυγχάνειν·
τὸ μέχρι χρόνων προσδραμὼν, εἴκοσι καὶ τεσσάρων.
εἴτε διπλομετρούμενον, ἢ τῶν τετρασυλλάβων.

Περὶ τοῦ Ἰωνικοῦ ἀπὸ μείζονος.

Τὸ μέτρον τὸ Ἰωνικὸν διπλοῦν ἐστὶ τὴν φύσιν·
τὸν μὲν γὰρ ἀπ' ἐλάττονος ἰωνικὸν καλεῖται·
τὸν δ' αὖ ἀπὸ τοῦ μείζονος, ὃ πρῶτον διδακτέον,
ἰωνικὸν ἐκ μείζονος πόδα τὸ μέτρον φέρει
καὶ καθαρὸν καὶ σύμμικτον, ἀλλ' εἶπόν σοι πολλάκις,
ὅτι τὸ καθαρόν ἐστι πάντοτε τιμητέον·
δέχεται καὶ διτρόχαιον, παιῶνάς τε δευτέρους,
καὶ τοὺς πρωτεπιτρίτους τε, καὶ δευτερεπιτρίτους·
καὶ χοριάμβους, μολόσσους ἐν χώραις ταῖς ἀρτίαις,
ἀναπαιστοπυῤῥίχιον, διχόρειον σὺν τούτοις,
καὶ χορειοδακτύλους τε, καὶ χορειαναπαίστους,
καὶ ἰαμβοπυῤῥίχιον διχόρειον σὺν τούτοις.

Περὶ τοῦ Ἰωνικοῦ ἀπ' ἐλάσσονος.

Μέτρον ἀπ' ἐλάττονος Ἰωνικόν μοι μάθε[p]·
συντίθεται καὶ καθαρὸν, ὡς ἔφην σοι πολλάκις,

[n] Sic D. γραυ B. [o] Sic D. ἐξάπτουν B. [p] In marg. ὅλως Ἑρμου δέσποτα τὸν ἁπάντων δός μοι νόεισι ἐπινοεῖ τοὺς λόγους.

ἰωνικὸν ἐλάττονα[q] δεχόμενον διόλου·
δέχεται καὶ τὸν μολοσσὸν εἰς πρώτην, τρίτην, πέμπτην·
καὶ τὸν πυῤῥιχοτρόχαιον, ἤγουν παιῶνα τρίτον·
καὶ τὸν δευτερεπίτριτον εἰς πᾶσαν φέρει χώραν.
ἔσθ' ὅτε συναιροῦσι δὲ τὸν τρίτον τὸν παιῶνα·
εἰς πόδα παλιμβάκχειον, ἀπὸ τριτοπαιῶνος·
δέχεται καὶ διτρόχαιον ὁμοίως ὅπη βούλει·
καὶ τὸν τροχαῖον λύουσιν, εἰς τριβραχὺν χορεῖον.
καλεῖται δὲ τὸ σύμμικτον τοῦ δὲ τοῦ μέτρου μέτρον,
μητρωακὸν γαλλίαμβον * σὺν τῷ ἀνακλωμένῳ.

Περὶ τοῦ Παιωνικοῦ.

Τὸ μέτρον τὸ παιωνικὸν εἰς τρία διαιρεῖται·
εἰς κρητικὸν, βακχειακὸν, παλιμβακχειακόν τε,
ὅπερ ἀνεπιτήδειον ἐστὶ μελοποιΐαις·
τὸ κρητικὸν δὲ κάλλιστον ἐν ταῖς μελοποιίαις.
πάσαις δὲ χώραις δέχεται τούς τε τέσσαρας παιῶνας·
κἂν τινες ὀβελίζωσι τὸν δεύτερον καὶ τρίτον·
καὶ σὺν αὐτοῖς τοὺς τέσσαρας ὁμοίους ἐπιτρίτους.
καὶ κρητικὸν, ἀμφίμακρον πάσαις ὁμοίως φέρει,
διΐαμβον, διτρόχαιον, ἐν χώραις ταῖς ἁπάσαις,
ἰωνικὸν ἐκ μείζονος, ἀντισπαστὸν ὁμοίως
δέχεται, καὶ πεντάβραχυν, πλὴν μόνης τῆς ὑστέρας.

Περὶ τοῦ Ἡρωϊκοῦ μέτρου.

Τὸ μέτρον τὸ δακτυλικὸν, ὅπερ ἐστὶν ἡρῷον,
τρεὶς ἔχει τὰς διαφοράς· τρισσῶς[r] γὰρ καὶ καλεῖται·
δακτυλικὸν, αἰολικὸν, καὶ λογαοιδικόν τε·
ἀφ' ὧνπερ τὸ δακτυλικὸν πρὸς πᾶσαν χώραν ἔχει
δάκτυλον, παλιμβάκχειον, ἀμφίμακρον, σπονδεῖον.

[q] ἐλαττῶνα B. [r] Sic C.D. τρισσὸς B.

* Τὸ μὴ καθαρόν· ὅτι τὴν μητέρα τῶν θεῶν Ῥέαν τοιούτῳ μέτρῳ ἐτίμων οἱ διὰ[s] τὸν Ἄττιν γινόμενοι Γάλλοι· τουτέστιν ἀπόκοποι· ἤγουν μήτε ὄρχεις[t], μήτε αὐλὸν ἔχοντες.

[s] Sic Cod. Barocc. ἰδιὰ Cod. B. [t] ὄρχης B.

εἰς δὲ τὴν ἕκτην δέχεται μόνην καὶ τὸν τροχαῖον·
ἀλλὰ τὸν παλιμβάχειον μετὰ τοῦ ἀμφιμάκρου·
ὀφείλεις σύ μοι καθαροὺς [u] δακτυλικοὺς λαμβάνειν,
εἰς μέρη καὶ φωνήεντα τὰς λέξεις κεκτημένους·
καὶ τὰς ἑξῆς δὲ συλλαβὰς ἐμφώνους κεκτημένους.
οὕτω γὰρ τότε τὸ μακρὸν βραχύνεται φωνῆεν,
ὡς ἔστι τὸ Ὁμήρειον τὸ, " οὔτι μοι αἰτίη"
ἐπὶ παλιμβακχείου δὲ τὸ " πλάγχθη [v] ἐπεὶ Τροίης."
τοιούτους τούτους καθαροὺς δέχου μοι τῷ ἡρώῳ·
ἐν δὲ τοῖς μέτροις τοῖς λοιποῖς [w], ὁποίους βούλει δέχου.
τοῦτο δακτυλικόν ἐστι, τὸ μέτρον τοῦ ἡρώου.

Περὶ τοῦ Αἰολικοῦ Ἡρωϊκοῦ μέτρου.

Τὸ δ' αὖ αἰολικὸν μέτρον * τὸν πρῶτον πόδα φέρει,
ἴαμβον ἢ πυῤῥίχιον, σπονδεῖον ἢ τροχαῖον,
εἴτέ μην καὶ ἀνάπαιστον, εἴτε καὶ τὸ χορεῖον.
τοὺς καθεξῆς δὲ σύμπαντας μέχρι τοῦ τελευταίου,
δακτύλους μόνους κέκτηται· πρὸς δὲ τὴν ἕκτην μόνην
τροχαῖον ἢ καὶ δάκτυλον, εἴτε καὶ τὸν σπονδεῖον,
ἢ καθαρὸν ἀμφίμακρον, ὡς εὕρης [x] ἐν Ὁμήρῳ.

Περὶ τοῦ Λογαοιδικοῦ μέτρου.

Τὸ λογαοιδικὸν μέτρον ἑξάμετρον, ὡς τ' ἄλλα·
διαφορὰν δὲ κέκτηται ταύτην, ὡς πρὸς τὰ δύο·
τοὺς τελευταίους ἔχει γὰρ δύο τροχαίους πόδας·
εἴτε σπονδειοτρόχαιον, εἴτέ μην ἀντιστρόφως·
εἴτε καὶ τὸν δισπόνδειον, εἴτ' ἄλλους δισυλλάβους·

[u] male καθορὸς B. [v] πλάγην B. [w] λυποῖς B. [x] Sic D. εὕροις B.

* Στίχοι Θεοκρίτου παιδικοὶ καὶ αἰολικοὶ [y] οὐχ' ἕνα μόνον τῶν ἰαμβικῶν ποδῶν ἔχοντες, οὐδὲ μόνων ἐν τῇ ἀρχῇ, ἀλλ' ὅπη τύχῃ·

χ' ὤταν μὲν σὺ θέλῃς, μάκ' ἀρσῦνίτης [z] ἄγω
ἁμέρας· ὅκα δ' οὐ θέλεις τὺ, μαλ' ἐν σκότῳ. (Id. XXIX. 7.)

καὶ οὐ θέλεις, τὸ θε... καὶ ἐν σκότῳ, τὸ σκο... ἤτοι τροχαίους δύο ἔχει καὶ ἴαμβον, ὁ εἷς μόνος στίχος.

[y] ὀλικοὶ B. [z] Sic B.

τοὺς ἀπ' ἀρχῆς δακτύλους δὲ, μέχρι καὶ τῆς τετάρτης·
ταῦτα τὰ μέτρα σύμπαντα, τὰ καθ' ὁλοκληρίαν.
φράζειν δ' ἐπείπερ μέλλομεν καὶ περὶ τῶν τμημάτων·
ἐκ συλλαβῆς ἀρχόμεθα πάντα σοι σαφηνίζειν
κόμματα, κῶλα, στίχους τε, καὶ μέτρων ἀποθέσεις,
ἐπιπλοκὰς, συστήματα, καὶ πάντα τὰ τῶν μέτρων.

Περὶ κώλου καὶ τῶν λοιπῶν τῶν ἐν τοῖς στίχοις.

Καὶ δὴ πρῶτά μοι μάνθανε τί κόμμα τε καὶ κῶλον·
ἐκ ταύτων γὰρ καὶ τὰ λοιπὰ μαθήσῃ σαφεστάτως·
ὁ ῥήτωρ Ἑρμογένης[y] μὲν φησὶν εἰς τὰς εὑρέσεις[z],
λόγον τὸν τετρασύλλαβον μέχρις ἑξασυλλάβου,
κόμμα γινώσκειν καὶ λαλεῖν, τὸν δ' ἀφ' ἑπτασυλλάβου,
καὶ μέχρι μέτρου σύμπαντος ἡρωϊκοῦ δραμόντα,
κῶλον ἐθεσμοθέτησε, τοῖς ῥήτορσι καλεῖσθαι·
λόγον δὲ τὸν ἐκτρέχοντα καὶ στίχον τὸν ἡρῷον,
σχοινοτενὲς ἐκάλεσε καὶ παρατεταμένον.
πνεύματα δὲ, τὴν συνέχειαν κώλων τῶν ἁπλουστάτων.
τὰ δέ γε κατὰ σύνταξιν συνεστραμμένα κῶλα,
περίοδον ἐκάλεσεν ὁ ῥήτωρ, ὅν περ εἶπον·
εἶθ' ὥσπερ ἐκλαθόμενος τῶν πρὶν αὐτῷ λεχθέντων,
πάσχει γὰρ τοῦτο συνεχῶς, τίνι δ' οὐκ οἶδα τρόπῳ,
καὶ κόμμα μοι δισύλλαβον παρέδωκε τυγχάνειν.
ἀλλ' ἴσθι τοῦτον ψεύδεσθαι τοῖς κόμμασι καὶ κώλοις.
τὸ δὲ σχοινοτενές φησι κάλλιστα καὶ τὸ πνεῦμα.
ἀρέσκει δέ μοι σὺν αὐτοῖς καὶ κλῆσις περιόδου.
ἀλλ' ἄλλως τὴν περίοδον τοῖς μετρικοῖς νῦν μάθοις
καὶ ταῦτα μὲν ἐδίδαξεν ὁ ῥήτωρ Ἑρμογένης.
ὁ τοῦ Κελλέρου[a] δὲ υἱὸς, ἐν μέτροις, Ἡφαιστίων,
κόμμα καὶ κῶλον τὰ ἐντὸς διδάσκει τοῦ διμέτρου·
τὸ δ' ὑπερβὰν τὸ σύμμετρον στίχον κατονομάζει·

[y] Sic B.C. ὁ ῥήτωρ μέν φησιν εἰς τ. εὑρ. ἑρμογ. D.
[z] In marg. Cod. B. ἐν τῷ τετάρτῳ τῶν εὑρέσεων τόμῳ εἰς τῷ περὶ πνεύματος.
[a] Sic B. et Cod. Barocc. κελώρου C. κεχέρου D.

ταῦτα μὲν οὗτοι φάσκουσι, σὺ δὲ καλῶς μοι πρόσχες,
καὶ μάθῃς ἅπαν ἀκριβῶς ἄγαν καὶ σαφεστάτως,
ὅσον ἁρμόζει μετρικοῖς πᾶσι καὶ στιχογράφοις·
τὸν Τζέτζην[b] *σχὼν διδάσκαλον, οὐχὶ τοὺς λελεγμένους.*
καὶ δὴ λοιπὸν ἐκ τῆς ἀρχῆς ἀρκτέον, διδακτέον.
ἡ μὲν φωνὴ τοῦ κόμματος ὁμοίως καὶ τοῦ κώλου
τῶν ὁμωνύμων πέφυκεν οὐτῶν[c] *μονοσημάτων·*
λέγεται κόμμα γὰρ ποδὸς καὶ στίχου πληρεστάτου,
ὥσπερ καὶ κῶλον συλλαβῶν, καὶ κῶλον ὅλον στίχου·
ὅπερ δὲ κῶλον πέφυκε, τοῦτο καὶ κόμμα πάντως.
κόμμα γάρ ἐστιν ἢ ποδὸς ἢ στίχου τοῦ τελείου·
καὶ κωλικόν τις λέξειε τοῦτο θελήσας κόμμα.
τὸ κόμμα δ' οὐ καλέσει τις κῶλον ἐξ ἀντιστρόφου,
ἀλλὰ περιττοσύλλαβον, ἢ περισσόπουν κόμμα·
τούτοις γὰρ διαφέρουσι τὸ κόμμα καὶ τὸ κῶλον.
τὸ μὲν γὰρ ἔχει περιττὰς, ἢ συλλαβὰς, ἢ πόδας·
τὸ κῶλον δ' ἐκληρώσατο τὸ τῶν ἀρτιωτάτων.
ἐκ συλλαβῶν γὰρ ἢ ποδῶν σύγκειται τῶν ἀρτίων.
οὐ λέγω δισυλλάβων τε, καὶ τῶν τετρασυλλάβων.
τὴν συζυγίαν τῶν ποδῶν, κῶλον νοεῖν σοι λέγω·
κ'ἂν περισσοὶ, κ'ἂν ἄρτιοι, κ'ἂν τῶν περισσαρτίων,
κ'ἄνπερ ἀρτιοπέρισσοι τυγχάνωσιν οἱ πόδες,
τουτέστι κ'ἂν δισύλλαβοι, κ'ἄντε τῶν τρισυλλάβων·
κ'ἄν περ ὁ μὲν δισύλλαβος, ὁ δὲ τῶν τρισυλλάβων·
εἴτε καὶ τὸ ἀνάπαλιν, κῶλόν μοι τοῦτο νόει.
καὶ τοῦτο μέν μοι γίνωσκε τὸ στιχικὸν τοῦ κώλου[d]*,*
ἐκ συλλαβῶν τε καὶ ποδῶν τῶν περισσῶν τυγχάνειν.
ὁ δ' Ἡφαιστίων οὐδαμοῦ, ταῦτα προδιαστείλας,
κόμμα καὶ κῶλόν μοι ἁπλῶς διδάσκει τὸ τῶν στίχων·
καὶ περὶ τούτων δὲ σαθρῶς καὶ φαύλως ἐκδιδάσκει·
τὸ δέγε[e] *ὑπὲρ δίμετρον* * *στίχον κακῶς εἰρήκει·*

[b] *τζέτζη* B. *τζέτζιν* D. [c] *αὐτῶν* B. [d] *τὸ κῶλον* B. [e] *καὶ τάγε* B.

* Τὸ *ὑπερδίμετρον γὰρ ὑπερκατάλεκτον διποδίας ἐστὶ μέτρου, οὐ μὲν τὸ ὑπερδίμετρον· ἅπερ εἴτε μονοποδία μέτρον, εἴτε καὶ διποδία· εἰ μὴ ὑποδράξειεν τὴν διποδίαν τὴν ὑπερκατάλεκτον.*

οὐδέ γε περὶ λέξεων λέγει μονοσυλλάβων·
οὔτε τῶν δισυλλάβων δὲ τῶν βραχειῶν σοι λέγει,
ἅπερ τοῖς στίχοις ἔγκεινται· σὺ δ' ἐξ ἐμοῦ νῦν μάθε.
τινὰ τῶν προῤῥηθέντων μοι τῶν μέτρων τῶν ἐννέα,
ἀπὸ βραχείας συλλαβῆς ἀρχόμενα προβαίνειν,
ἀχρὶ τινὸς προβαίνουσι καὶ μεχρὶ βραχυτάτου·
τὸ δὲ περιμηκέστερον καὶ πάντων ὑπερέχον
ἄχρι τριῶν καὶ εἴκοσι συλλαβῶν προβαίνει,
τριάκοντα καὶ τέσσαρας τοὺς χρόνους κεκτημένον·
τὸ δ' ὑπὲρ τούτων Γάδειρα καὶ ὑπὲρ Γαδείρων·
ταῦτα γοῦν πάντα φράσωμεν, τίνα καὶ πῶς[f] καλοῦνται.
Ἀπὸ τῆς πρώτης συλλαβῆς μέχρι τῆς τελευταίας
καλοῦνται μὲν κουκούλια, καὶ κόμματα, καὶ κῶλα·
μονόμετρα· καὶ δίμετρα· καὶ τρίμετρα· καὶ στίχοι·
περίοδοι τὰ μείζονα· τὸ δ' ὑπερέχον πάντων,
σχοινοτενές· ὑπέρμετρον καὶ παρατεταμένον·
καὶ τυραννίδα μετρικὴν ἐγὼ κατονομάζω·
τούτων τῶν μέτρων τοιγαροῦν πάντων τῶν προῤῥηθέντων·
τὰ μὲν μετροῦνται μοναπλῶς κατὰ μονοποδίαν·
τὰ δὲ καὶ κατὰ πόδα μὲν, καὶ κατὰ διποδίαν·
ποιοῦντα τὰ μονόμετρα, καὶ δίμετρα, καὶ τ' ἄλλα·
ἀνέρχονται δ' αὐξόμενα μέχρις ἑξαμετρίας·
εἰ τριακοντα τέσσαρας χρόνους οὐχ ὑπερβαίνει·
τὰ πέντε τετρασύλλαβα μέτρα καὶ τὸ ἡρῷον
μετροῦνται κατὰ πόδα μὲν, οὐ κατὰ διποδίαν *.
ἐκ μονομέτρων δ' αὔξουσι μέχρις ἑξαμετρίας·
ἐκ τούτων δὲ μονόμετρον οὐκ ἔχει τὸ ἡρῷον,

[f] πᾶς B.

* Τὰ τετρασύλλαβα μέτρα καὶ τὸ ἡρῷον μονοποδίᾳ διποδίᾳ μετροῦνται παρὰ τὸν Ἡφαιστίωνα· ἰαμβικὸς Ἡσιόδου διὰ τὰς κοινὰς δὲ εὕρηται καὶ ἡρῷος·

πίσσης τε δνοφερῆς καὶ κέδρου νηλέϊ καπνῷ.

hunc versum etiam profert Schol. Hephæst. Cod. Bodl. Auct. T. iv. 9. olim Saibant. f. 8. r. οὗτος ὁ στίχος ἐστὶ μὲν Ἡσιόδου· λαμβάνεται δὲ καὶ δακτυλικὸς καὶ ἴαμβος, ὅπως τίς θέλει, διὰ τὰς κοινάς.

ἵνα μὴ συνεμπέσειε φασὶ τοῖς ἀναπαίστοις·
ἀλλ' ἐκ διμέτρου προχωρεῖ μέχρις ἑξαμετρίας.
ταῦτα δ' εἰσὶ ληρήματα· καὶ γὰρ τὸ ἀναπαίστου
ἰαμβικῷ συνέπεσε· καὶ πάλιν ἄλλοις ἄλλα.
τὰ πέντε τετρασύλλαβα σκοπῶν γὰρ εὕροις μέτρα,
ὀνόματα μὲν ἔχοντα μέτρων παρηλλαγμένων,
ἀλλ' ἀναπαιστικὸν μέτρον φέροντα καὶ τροχαίου.
σὺ δ' εἰ κελεύεις ποίησον μονόμετρον ἡρῷον·
καὶ ταῦτα μὲν μεμέτρηται κατὰ μονοποδίαν·
τὸ δ' ἀναπαιστικὸν μέτρον ἰάμβου καὶ τροχαίου,
μετροῦντας καὶ μονόποδα καὶ κατὰ διποδίαν,
ἄχρις ἂν προσεγγίσωσι τῷ παρατεταμένῳ·
τὸ δὲ διπλομετρούμενον μέτρον τῶν ἀναπαίστων
τὸ μέτρον τὸ τετράμετρον οὐδ' ὅλως ὑπερβαίνει.
εἴπερ δὲ θέλεις ποίησον καὶ τοῦτο περαιτέρω·
ἂν δ' ἰάμβων σύγκειται ποδῶν καὶ τῶν χορείων·
ἂν δ' ἐκ σπονδείων βέβηκε, δακτύλων, ἀναπαίστων,
τοῦ τετραμέτρου μηδαμῶς ἐπέκεινα ποιήσῃς·
τοὺς τριακοντατέσσαρας γὰρ ὑπερδράμῃς χρόνους,
οὕς περ ἐθέμην ὁρισμὸν στίχων ὑπερμετρίας.
τὸ πάντων δὲ γλυκύτατον καὶ κάλλιστον τῶν μέτρων,
ἀπὸ τῶν ἑπτακαίδεκα προβαῖνον χρόνων τρέχον,
εἰς τοὺς εἰκοσιτέσσαρας τὸν δρόμον καταπαύει.
καὶ ταῦτα μὲν εἰρήσθω μοι περὶ ποδῶν τῶν στίχων,
μέχρι περ οὗ προβαίνουσι, καὶ τί τὸ τούτων τέρμα.
περὶ δὲ καταλήξεων νῦν τούτων διδακτέον.
ἃς ἀλαζόνες μετρικοὶ καλοῦσιν ἀποθέσεις·
ὡς ἂν δοκοῖεν πάνσοφοι, λέξεις καινὰς ληροῦντες·
ὡς ἂν δοκοῖεν Ἀττικοί, βάρβαροι Θρᾷκες ὄντες.
σὺ δ' ἐξ ἐμοῦ νῦν μάνθανε λέξεσι τετριμμέναις.

Τὰ μέτρα τὰ δισύλλαβα, τὰ μονοποδιαῖα,
μόνας μοι δύο γίνωσκε φέρειν τὰς καταλήξεις·
πρώτην τὴν καταληκτικὴν εἰς μονοσυλλαβίαν,
καί γε τὴν ἀκατάληκτον, καὶ πλέον οὐδὲν ἄλλο·

τῶν τρισυλλάβων δὲ ποδῶν τῶν μονοποδιαίων,
εἴτουν ἡρωϊκῶν εἴποις, εἴτε καὶ τῶν ἑτέρων·
τρεῖς τὰς ἁπάσας γίνωσκε τυγχάνειν καταλήξεις.
πρώτην τὴν καταληκτικὴν εἰς μονοσυλλαβίαν·
δευτέραν καταληκτικὴν εἰς τὴν δισυλλαβίαν·
τρίτην τὴν ἀκατάληκτον· οὐδὲν δὲ περαιτέρω.
τὴν γὰρ βραχυκατάληκτον κατάληξιν οὐκ ἔχει,
οὐ τὴν ὑπερκατάληκτον· ἄλλων εἰσὶ γὰρ μέτρων,
ἰαμβικῶν, τροχαϊκῶν, ναὶ μὴν καὶ ἀναπαίστων.
τῶν κατὰ διποδίαν δὲ φημὶ μεμετρημένων,
τῶν δισυλλάβων μέτρων δὲ τῶν κατὰ διποδίαν·
τέσσαρας εἶναι γίνωσκε πάσας τὰς καταλήξεις.
τήν τε βραχυκατάληκτον, τὴν καταληκτικήν τε·
καί γε τὴν ἀκατάληκτον σὺν ὑπερκαταλήκτῳ,
καὶ τῶν τετρασυλλάβων δὲ τέσσαρας καταλήξεις·
τρεῖς πρῶτον μὲν ὑπάρχουσιν αἱ τῶν ληκτικωτάτων·
εἰς συλλαβὴν τρισύλλαβον τὴν τρισυλλαβίαν·
τετάρτη δ' ἀκατάληκτος κατάληξις ὑπάρχει.
τῶν τρισυλλάβων μέτρων δὲ τῶν διπλομετρουμένων,
ἓξ ἀποθέσεις γίνωσκε, τουτέστι καταλήξεις.
τήν τε βραχυκατάληκτον, τὴν καὶ τῶν ἄλλων πρώτην,
τὴν λήγουσαν εἰς συλλαβὰς, τὴν πρὸς δισυλλαβίαν,
πρὸς ταύταις ἀκατάληκτον· καὶ μετὰ ταύτην πάλιν
ἔστιν ὑπερκατάληκτος εἰς μονοσυλλαβίαν·
σὺν αἷς ὑπερκατάληκτος δισύλλαβος ὑπάρχει.
τοσαύτας μέτρων γίνωσκε τυγχάνειν καταλήξεις.
φέρε καὶ τὰς ἐπιπλοκὰς τούτων ἀριθμητέον·
μετὰ μικρὸν δὲ πάντως σοι σαφῶς ἑρμηνευτέον,
ἐκ τῶν τριχρόνων τῶν ποδῶν πλέκοντας δύο μέτρα·
ἰαμβικὸν, τροχαϊκόν· ἐκ δὲ τῶν τετραχρόνων
τὸ ἀναπαιστικὸν μέτρον, ναὶ μὴν καὶ τὸ ἡρῷον.
ἐκ τῶν τετρασυλλάβων δὲ ποδῶν τῶν ἑξαχρόνων
τέσσαρα τετρασύλλαβα πλέκεσθαι νόει μέτρα·
ἰωνικὸν ἐκ μείζονος, καὶ τὸ τοῦ χοριάμβου,

ἰωνικὸν τὸ ἔλαττον, καὶ τὸ τοῦ ἀναπαίστου
κατ' ἀφαιρέσεις συλλαβῶν, καὶ κατὰ τὰς προσθηκάς.
ἂν γὰρ ἀφέλης συλλαβὴν ἐξ ἰαμβείου στίχου,
στίχον ποιεῖς τροχαϊκὸν, καὶ πάλιν ἀντιστρόφως
κἄνπερ προσθήσεις συλλαβὴν μακρὰν τῷ ἰαμβείῳ,
τροχαϊκὸν ποιησείας καὶ πάλιν τότε στίχον·
καὶ τῷ τροχαίῳ συλλαβὴν εἰ πάλιν μοι προσθήσεις,
ἰαμβικὸν εὑρήσειας τὸν στίχον τὸν τροχαῖον·
ἐξ ἀναπαίστου δ' ἀφελὼν τὰς δύο τὰς βραχείας,
ἡρωϊκὸν ποιησείας· καὶ πάλιν ἐξ ἡρώου
μίαν μακρὰν παρεξελὼν ἀνάπαιστον ποιήσεις·
καὶ πάλιν εἰ προσθείης δὲ μακρὰν τῷ ἀναπαίστῳ,
ἡρωϊκὸν ἐποίησας ἐξ ἀναπαίστου μέτρον·
δύο βραχείας καταρχὰς αὐξήσας τῷ ἡρώῳ,
ἀνάπαιστον εὑρήσειας τὸν στίχον τὸν ἡρῶον·
ἰωνικοῦ δ' ἐκ μείζονος τὴν πρώτην ἂν ἐξέλῃς,
στίχον ποιεῖς χοριάμβον· ἐκ δὲ τοῦ χοριάμβου
ἄνπερ τὴν πρώτην συλλαβὴν ὡς εἶπον παρεξέλῃς,
στίχον τὸν ἐξ ἐλάττονος ἰωνικὸν ποιήσεις·
ἂν δ' ἀπὸ τούτου συλλαβὴν ἐξέλῃ μοι τοῦ στίχου,
στίχον ποιεῖς ἀντίσπαστον· καὶ πάλιν εἰ προσθήσεις
τοῖς τέσσαρσι, τὰς τέσσαρας εὕρῃς ἐπιμιξίας,
ἐκ μονομέτρου δέ φημι μέχρις ἑξαμετρίας.
ἐπιπλοκαὶ γὰρ γίνονται πρὸς ἄλληλα τῶν μέτρων·
κατὰφαιρέσεις[g] συλλαβῶν, καὶ κατὰ τὰς προσθήκας.
ἀλλὰ ταυτὶ μὲν περισσὰ καὶ πάρεργα τυγχάνει·
καὶ γὰρ πᾶν μὲν ἰαμβικὸν τροχαϊκὸν ποιήσει·
καὶ πάλιν πᾶν δακτυλικὸν ἀνάπαιστον ποιήσει·
οὐ μὴν καὶ πᾶν τροχαϊκὸν ἰαμβικὸν ποιήσει,
ἀλλ' οὐδὲ πᾶν ἀνάπαιστον δακτυλικὸν ποιήσει
καὶ τὰ λοιπὰ δὲ καθεξῆς· τὰ καθαρὰ δὲ μόνα
ἐπιμιξίας ἔχουσι πρὸς ἄλληλα τοιαύτας.
τὰ πέντε τετρασύλλαβα, καθώσπερ πρώην ἔφην,

[g] κατ' ἀφερεῖς εἰς συλλαβὴν C.

εὑρήσεις ἀναπαιστικὰ μέτρα καὶ τῶν τροχαίων·
διὸ ταυτὶ μὲν περισσὰ καὶ πάρεργα τυγχάνει.
ἀρξώμεθα δ' ἐκ συλλαβῆς πάντα σοι σαφηνίζειν.
καὶ πρότερον εἰρήκειν σοι καὶ πάλιν φράζειν θέλω,
τὰς συλλαβὰς, τοὺς πόδας, καὶ κόμματα, καὶ κῶλα·
ἐξ ὧνπερ τὰ μονόμετρα καὶ δίμετρα, καὶ τ' ἄλλα.
τὰ καταληκτικὰ φημὶ, καὶ τῶν ἀκαταλήκτων,
καὶ τὰ βραχυκατάληκτα, καὶ πάσας καταλήξεις·
ὅσα περ ἔνδον πέφυκεν ἁπλῆς ἑξαποδίας,
τῶν δισυλλάβων τῶν ποδῶν φημὶ, καὶ τρισυλλάβων·
ἢ καὶ τριῶν ἐνδότερον ποδῶν τετρασυλλάβων·
ἢ δισυλλάβων τῶν ποδῶν, ἢ καὶ τῶν τρισυλλάβων·
ὅσαπερ ἔνδον πέφυκε τῆς διπλοτριποδίας,
κόμματα πάντα γίνωσκε καὶ τμήματα τῶν στίχων.
στίχους δὲ πάλιν γίνωσκε τῶν ὄντως καὶ κυρίων,
ὅσα περ ὅλα φέρουσιν ἁπλῆν ἑξαποδίαν·
τῶν δισυλλάβων τῶν ποδῶν, ἢ καὶ τῶν τρισυλλάβων·
εἴτε καὶ τρεῖς ἂν κέκτηται πόδας τετρασυλλάβους,
ἀνελλιπεῖς, πανεντελεῖς, καὶ καθ' ὁλοκληρίαν·
τὸ μέτρον γὰρ τὸ κάλλιστον, ὡς ἔφην καὶ πρὸ τούτου,
ἀπὸ τῶν ἑπτακαίδεκα προβαῖνον χρόνων τρέχον,
εἰς τοὺς εἰκοσιτέσσαρας τὸν δρόμον καταπαύει.
τοδ' ὑπὲρ τὸ ποσὸν χρόνων τῶν εἰκοσιτεσσάρων
μέχρις καὶ τῶν τριάκοντα, περίοδος καλεῖται.
τὰ κόμματα καὶ κῶλα γὰρ κυκλεύσαντα πολλάκις
περίοδον ἐποίησε ταύτην λαχεῖν τὴν κλῆσιν.
τὸ δὲ καὶ τοὺς τριάκοντα χρόνους παρεξέλασαν,
εἰς τριακοντατέσσαρας χρόνους παρεκταθὲν δὲ,
σχοινοτενὲς, ὑπέρμηκες, καὶ παρατεταμένον,
οὗπερ ὑπερμηκέστερον οὐδόλως εὕρῃς μέτρον,
ἅπαντα καταχρηστικῶς ὅμως καλοῦμεν στίχους·
ἅπερ καὶ μέλλω σοι σαφῶς λέγειν καὶ λεπτολόγως.
καὶ συλλαβῆς ἀπάρχομαι· σύ δε καλῶς μοι πρόσχες.
Ἄνπερ βραχεῖαν συλλαβὴν εὕρῃς ἐν στίχῳ μίαν,

ὥσπερ τὸ ἓ ἀντὶ αὐτὸν, εἴτε βραχεῖαν ἄλλην,
κόμμα μοι ταύτην γίνωσκε ποδὸς τοῦ ἁρμοδίου·
ἰάμβου, πυῤῥιχίου τε, χορείου, ἀναπαίστου,
ἰωνικοῦ, ἐλάττονος, εἴτ' ἄλλου τῶν προσφόρων·
καὶ λέγε βραχυσύλλαβον κουκούλιον τὸ κόμμα.
καὶ πόδα καταληκτικὸν εἰς μονοσυλλαβίαν
ἐκ τῶν προσφόρων τῶν ποδῶν, ὧν εἶπον ἀνωτέρω.
ποῦς δ' ἔστι καταληκτικὸς, ὁ μὴ ἀπηρτισμένος,
ἀλλ' ἐλλιπὴς ὢν, ἢ ἑνὸς, ἢ δύο, ἢ τριῶν τε.
καὶ συλλαβῆς μὲν ἐλλιπὴς ἐπὶ τῶν δισυλλάβων·
καὶ στίχος καταληκτικὸς ἐστὶν ὁ κολοβόπους·
οὗπερ ὁ ποὺς ὁ ὕστερος ὁλόκληρος οὐκ ἔστιν·
εἴτε καὶ λείπει παντελῶς, ὡς ἐν τοῖς διπλομέτροις·
ὃς καὶ βραχυκατάληκτος τοῖς μετρικοῖς καλεῖται.
ποὺς δ' ἔστιν ἀκατάληκτος, ὃ ὢν ἀπηρτισμένος·
καὶ στίχος ἀκατάληκτος ἐστὶν ὁ ἀρτιόπους,
ὁ περισσὸν ἢ κολοβὸν πόδα μὴ κεκτημένος.
ἔγνως τὸ βραχυσύλλαβον πῶς μέλλεις καλεῖν κόμμα.
ἂν δ' ἔστι κακοσύλλαβον, ὥσπερ τὸ φεῦ πολλάκις,
κάλει μοι κακοσύλλαβον κουκούλιον τὸ κόμμα·
καὶ πόδα καταληκτικὸν εἰς μονοσυλλαβίαν,
σπονδεῖον ἢ καὶ δάκτυλον, ἢ τ' ἄλλων τῶν προσφόρων,
τῶν ἐκ μακρᾶς τῆς συλλαβῆς φημὶ καταρχομένων.
ἂν δέ γε καὶ δισύλλαβον λέξιν ἐν στίχοις εὕρῃς
ἐκ βραχείων τῶν συλλαβῶν, εἴτε καὶ βραχυμάκρων,
εἴτε μὴν τὸ ἀνάπαλιν μακρᾶς τε καὶ βραχείας,
εἴτε καὶ δύο τῶν μακρῶν, πρόσχες πῶς δεῖ καλεῖν σε·
ἢ τρισυλλάβων μὲν ποδῶν, ἢ τῶν τετρασυλλάβων
νοήσεις ταῦτα τμήματα καὶ κόμματα τυγχάνειν·
κῶλόν μοι κατονόμαζε ταῦτα συλλαβιαῖον,
ἀποτμηθὲν ἐκ τῶν ποδῶν τῶν τούτοις ἁρμοδίων·
καὶ πόδα καταληκτικὸν ὡς πρὸς δισυλλαβίαν,
ἐκ τῶν προσφόρων τῶν ποδῶν τῶν ὧνπερ φέρει τμῆμα.
εἰ πόδα δὲ δισύλλαβον δόξεις τὴν λέξιν εἶναι,

ὡς λέξιν μὲν δισύλλαβον ταύτην ὀνόμαζέ μοι·
κῶλον καθάπερ ἔλεξα καὶ πρὶν συλλαβιαῖον,
ὡς πόδα δὲ πληρέστατον πλὴν ἕνα πεφυκότα,
κόμμα μοι ταύτην κάλεσον ἀπὸ τῶν ποδιαίων.
ἔφην γάρ σοι καὶ πρότερον τί κόμμα τὲ καὶ κῶλον
καὶ συλλάβων καὶ τῶν ποδῶν, καὶ στρέψας ταῦτα μάθε·
καὶ μέτρον δὲ μονόμετρον κατὰ μονοποδίαν,
ταύτην τὴν λέξιν κάλεσον τὴν δισυλλαβιαίαν·
εἴτε βραχυκατάληκτον μονόμετρον εἰ θέλεις,
εἰ κατὰ πόδα μὴ μετρεῖς, κατὰ δὲ διπόδιαν.
τὸ γὰρ βραχυκατάληκτον σὺν ὑπερκαταλήκτῳ,
τῶν διπλοπόδων πέφυκεν, οὐχὶ τῶν μονοπόδων.
πάντα γὰρ καὶ μονόποδα, τουτέστι κατὰ κόμμα,
καὶ δίποδα μεμέτρηνται, τουτέστι κατὰ κῶλον·
πλὴν τῶν τετρασυλλάβων τὲ καὶ μόνου τοῦ ἡρώου·
ἐκεῖνα γὰρ μονόποδα μόνως μετρεῖσθαι θέλει·
ὅθεν βραχυκατάληκτον κατάληξιν οὐκ ἔχει·
οὔτ' οὖν ὑπερκατάληκτον, ὡς ἔφην σοι πολλάκις,
ἐκ πάντων καὶ μονόμετρον οὐκ ἔχει τὸ ἡρῷον·
ἀλλ' ἐκ διμέτρου προχωρεῖ μέχρις ἑξαμετρίας.
τὸ δ' ἀναπαιστικὸν μέτρον ἰάμβου καὶ τροχαίου
μετροῦνται, καὶ μονόποδα καὶ κατὰ διποδίαν,
ποιοῦντα τὰ μονόμετρα καὶ δίμετρα καὶ τ' ἄλλα·
τὰ κατὰ διποδίαν τε φημὶ, καὶ κατὰ πόδα·
ἄχρις ἂν καταντήσωσιν εἰς τὴν ὑπερμετρίαν.
τὸ δὲ βραχυκατάληκτον ἄρτι σαφηνιστέον.
πούς ἐστι καταληκτικὸς, ὁ μὴ ἀπηρτισμένος,
ἀλλ' ἐλλιπὴς ὢν συλλαβῆς, ἢ δύο ἢ τριῶν τε.
καὶ πάλιν ἀκατάληκτος, ὁ ὢν ἀπηρτισμένος·
βραχυκατάληκτος δ' ἐστὶν ὅταν διπλομετρῆται,
ἂν ὁλοκλήρῳ λίπηται ποδὶ τῆς διποδίας.
πάλιν ὑπερκατάληκτον ἐστὶν ἐν διπλομέτροις,
εἰς συλλαβὴν δισύλλαβον· καὶ πλέον οὐδὲν ἄλλο.
καὶ ταῦτα μὲν εἰρήκειμεν περὶ δισυλλαβίας.

ἂν τρεῖς δ' ἐφεύροις συλλαβὰς τοῖς στίχοις ἐγκειμένας,
εἴτε βραχείας, ἢ μακρὰς, εἴτε καὶ μεμιγμένας·
τετρασυλλάβων μὲν ποδῶν τμῆμα νοήσεις ταύτας·
κόμμα δὲ ταύτας γίνωσκε συλλαβιαῖον εἶναι,
ἀποκοπὲν ἐκ τοῦ ποδὸς, οὗπερ συνθήκην φέρει·
καὶ πόδα καταληκτικὸν ὡς πρὸς δισυλλαβίαν.
εἰ πόδα δὲ δισύλλαβον δόξεις τὴν λέξιν εἶναι,
εἴτε χορεῖον, τρίβραχυν, ἢ μολοσσὸν, εἴτ' ἄλλον,
κόμμα καὶ κατ' ἀμφότερον ἡ λέξις ἔστω τότε·
κόμμα φημὶ, καὶ συλλαβὴν, καὶ κόμμα ποδιαῖον·
ἔχει γὰρ πόδα περιττὸν καὶ συλλαβὰς ὁμοίως.
καὶ πόδα δὲ μονόμετρον κατὰ μονοποδίαν,
ταύτην τὴν λέξιν κάλεσον τὴν τρισυλλαβιαίαν·
κἂν τρίχρονον, τετράχρονον, κἂν μέχρις ἑξαχρόνου·
ἂν δέ γε τοὺς τέσσαρας χρόνους οὐχ ὑπερβαίνῃ,
καί γε βραχυκατάληκτον μονόμετρον καλέσεις.
εἰ δὲ τοὺς χρόνους ὑπερβῇ τοὺς τέσσαρας, οὐκ ἔτι·
πούς γάρ τις ὑπερβιβασθεὶς τοὺς τέσσαρας τοὺς χρόνους,
οὐκ οἶδε τὸ διπλόμετρον ἀλλὰ μονομετρίαν.
τὸ δὲ βραχυκατάληκτον ἐστὶ τῆς διμετρίας.
φασὶ καὶ τὸν τετράχρονον σπονδεῖον μὴ διπλοῦσθαι·
σὺ δ' ἔα τούτους φληναφεῖν· δίπλου δ' εἰ θέλεις τοῦτον.
ἀλλά μοι τὸ τετράμετρον διπλῶν μὴ παραδράμῃς,
μή πως παρεξελάσειας καὶ τὴν ὑπερμετρίαν.
ἂν δέ γε τὸ τρισύλλαβον ἀπότμημα τῶν στίχων
πόδα νοεῖς ὁλόκληρον ἀπὸ τῶν δισυλλάβων,
καὶ συλλαβὴν ἐπέκεινα τότε μοι τοῦτο κάλει,
ἢ κατὰ πόδα δίμετρον, εἰς συλλαβὴν δὲ λῆγον,
εἴτε διπλοῦν μονόμετρον εἰς συλλαβὴν ὁμοίως.
καὶ ταῦτα μὲν ἐκμάνθανε περὶ τῶν τρισυλλάβων.
ἂν δ' ἐκ τεσσάρων συλλαβῶν λέξιν ἢ λέξεις εὕρῃς,
ἀπαρτιζούσας οἱανοῦν συνθήκην ποδιαίαν·
εἰ πόδα τετρασύλλαβον νοήσεις ταύτας εἶναι,
ὡς συλλαβὰς μὲν τέσσαρας, δύο μοι νόει κῶλα·

κῶλα φημὶ τῶν συλλαβῶν, οὐ μὴν δὲ ποδιαῖα·
ὡς ἕνα μόνον πόδα δὲ τοῦτόν μοι νόει κόμμα·
καὶ κάλει μοι μονόμετρον τὴν τετρασυλλαβίαν,
καὶ πόδα τετρασύλλαβον ἐκ τῶν ἀκαταλήκτων,
ἰωνικὸν, ἀντίσπαστον, εἴτ' ἄλλον τῶν προσφόρων.
εἰ δύο δὲ νοήσειας πόδας τῶν δισυλλάβων,
δίμετρον τοῦτο κάλεσον, εἰ θέλεις, κατὰ πόδα·
εἴτε διπλοῦν μονόμετρον ἐκ τῶν ἀκαταλήκτων·
ὑπάρχει πάντως τοῦτο δὲ καὶ κῶλον ποδιαῖον.
εἰ τρισυλλάβων δὲ ποδῶν ἕνα νοήσεις τοῦτο,
καὶ συλλαβὴν ἐπέκεινα τότε μοι κάλει λέγων,
ἢ δίμετρον μονόπουν μὲν εἰς συλλαβὴν δὲ λῆγον·
εἴτε διπλοῦν μονόμετρον εἰς συλλαβὴν καὶ τοῦτο·
ἂν τέως πέφυκεν ὁ πους διπλούμενος μετρεῖσθαι,
ἤτοι μὴ ὑπερβέβηκε τοὺς τέσσαρας τοὺς χρόνους·
ταῦτα περὶ τῶν συλλαβῶν τῶν στίχοις εὑρημένων,
τῶν ἐκ βραχείας συλλαβῆς μέχρι τετρασυλλάβου,
ἄχρις ἂν ἀπαρτίσειας πόδας τετρασυλλάβους·
καὶ τῶν λοιπῶν ἐλέχθησαν τῶν χρειωδῶν ἐν στίχοις.
Ἄρτι δὲ τὰ μονόμετρα καὶ δίμετρά μοι πρόσχες,
καὶ καθεξῆς τὰ σύμπαντα μέχρι τῶν ἑξαμέτρων.
καὶ δή σοι πάντα δείξομεν ἐξ ἰαμβείου στίχου.
κατάρχομαι νῦν πενθικῶν οἰμωγμάτων·
δαίμων γὰρ οἰκτρὸς, δακρύων (λείπει τὸ χοροστάτε)[h]
τοῦτο τὸ μέτρον, τὸ τεθὲν ὡς πρὸς παράδειγμά σοι,
μονόπουν μὲν μετρούμενον, οὐ κατὰ διποδίαν,
στίχος ἐστὶν ἰαμβικὸς ὁλόκληρος ἑξάπους.
καὶ πόδες ἄλλοι τέσσαρες ἀπὸ δευτέρου στίχου.
νῦν δὲ διπλομετρούμενος, πεντάμετρος ὑπάρχει,
ἰαμβικὸς πεντάμετρος ἐκ τῶν ἀκαταλήκτων·
τριάκοντα καὶ τέσσαρας τοὺς χρόνους κεκτημένος·
ὃ καὶ σχοινοτενὲς[i] εἶπον καὶ παρατεταμένον·
ὃ καὶ λεπτολογήσομεν ἐκ συλλαβῶν εἰς τέλος·

h Hæc om. C. i σχοινοτελὲς B.

πλὴν σοι διπλοῦν μετρήσομεν, τουτέστι κατὰ κῶλον.
τὸ γὰρ κατὰ μονόποδα, τουτέστι κατὰ κόμμα,
τοῖς σύμπασι κατάδηλον· διὸ διπλῶς φραστέον.
ἀπὸ τῆς κα τῆς συλλαβῆς μεχρὶ τῆς τελευταίας
ὁλόκληρον ὑπέρμετρον γινώσκεις στίχον εἶναι.
ἄρτι δὲ πρόσχες τὰ λοιπὰ τὸ πῶς καλεῖν σε δέον.
κα τὴν προτέραν συλλαβὴν οὖσάν μοι μόνον κάλει
κουκούλιον, ὡς ἔφημεν ἐκ τῶν βραχυσυλλάβων.
καταρ δὲ σὺ δισύλλαβον μόνον εὑρὼν ὡς στίχον
κάλει βραχυκατάληκτον μονόμετρον ἰάμβου.
καταρχο δὲ τρισύλλαβον πάλιν εὑρών μοι λέγε
ἰαμβικὸν μονόμετρον ἐκ τῶν καταληγόντων·
ὃ καὶ δοκεῖ τοῖς μετρικοῖς ἀμφίβραχυς τυγχάνειν,
ὡς ἐν ἑτέροις ληκτικοῖς ἕτεροι πάλιν πόδες·
ἀλλ' οὗτοι λεληρήκασιν ἐν πᾶσι τοῖς τοιούτοις.
σὺ δέ μοι τοῦτο γίνωσκε τομὴν ἐκ διϊάμβου·
ἀμφίβραχυν οὐκ ἔχει γὰρ τὸ μέτρον τῶν ἰάμβων·
οὔτε μὴν παλιμβάκχειον, ὡς νομισθῇ τοιῶσδε,
εἴπερ σπονδεῖον κέκτηται τὸν πρότερον τὸν πόδα.
καὶ ταῦτα μὲν τοῖς μετρικοῖς κακῶς προσεδοκήθη,
ἐν πᾶσι μέτρων τμήμασι τοιαῦτα ληρῳδοῦσι.
πῶς γὰρ ὁ πίπτων ἔν τισι τμήμασι τοῖς τῶν στίχων,
οὗτος ἂν πάντως πέσειε κ'ἂν ὁλοκλήρῳ στίχῳ·
τούτους δ' οὐκ ἂν εὑρήσει τις ἐν στίχοις τοῖς ἰάμβοις,
ὡς οὐδ' ἐν ἄλλοις τοὺς λοιποὺς οὓς ληροῦσιν οὗτοι.
ἀλλ' ἐατέον μοι ταυτὶ τὰ τμήματα λεκτέον.
κα τὴν προτέραν συλλαβὴν κουκούλιον πρὶν ἔφην·
καταρ δὲ ἔφην μονόμετρον τῶν βραχυκαταλήκτων·
καταρχο τὸ τρισύλλαβον εἶπον, ὡς δεῖ καλεῖν σε
ἰαμβικὸν μονόμετρον ἐκ τῶν καταληγόντων.
κατάρχομαι μονόμετρον ἐκ τῶν ἀκαταλήκτων.
κατάρχομαι νῦν κάλεσον εὑρὼν πεντασυλλάβως
ἰαμβικὸν μονόμετρον τῶν ὑπερκαταλήκτων.
κατάρχομαι νῦν πεν· πρόσχες ὅπερ καλέσεις πάλιν·

*τοῦτο βραχυκατάληκτον δίμετρον μέτρον λέγε.
κατάρχομαι νῦν πενθι· σὺ τήν δ' ἑπτασυλλαβίαν
δίμετρον καταληκτικὸν ὀνόμαζε τοῖς μέτροις.
κατάρχομαι νῦν πενθικῶν εὑρὼν ὀκτασυλλάβως,
δίμετρον ἀκατάληκτον τότε μοι τοῦτο κάλει.
κατάρχομαι νῦν πενθικῶν οἰ· δίμετρον καὶ τόδε·
ἔστι δ' ὑπερκατάληκτον κἂν δίμετρον τυγχάνῃ.
κατάρχομαι νῦν πενθικῶν οἰμωγ· φράζε μοι πάλιν
τρίμετρον μέτρον μὲν, ἀλλὰ τῶν βραχυκαταλήκτων.
κατάρχομαι νῦν πενθικῶν οἰμωγμα· φράζε πάλιν
τρίμετρον καταληκτικὸν, ταύτην γὰρ φέρει κλῆσιν·
καὶ ἴαμβον δὲ μείουρον εἰ θέλεις λέγε τοῦτον·
πάντες γὰρ στίχοι φέρουσι πᾶν πάθος τοῦ ἡρώου.
κατάρχομαι νῦν πενθικῶν οἰμωγμάτων εὑρίσκων,
τρίμετρον ἀκατάληκτον κάλεσον τότε τοῦτο·
καὶ στίχον πάνυ τέλειον μέτρου τοῦ ἰαμβείου.
εἰ δὲ προσλάβῃς συλλαβὴν κἀκ τοῦ δευτέρου στίχου·
κατάρχομαι νῦν πενθικῶν οἰμωγμάτων δαι· νόει,
ἰαμβικὴν περίοδον τοῦτο κατονομάζειν·
καὶ τρίμετρον, ὡς ἔμαθες, ἐξ ὑπερκαταλήκτων.
κατάρχομαι νῦν πενθικῶν οἰμωγμάτων δαιμὼν, σὺ
τότε βραχυκατάληκτον τετράμετρόν μοι κάλει.
κατάρχομαι νῦν πενθικῶν οἰμωγμάτων δαίμων γὰρ,
τοῦτο δὲ καταληκτικὸν τετράμετρόν μοι κάλει.
κατάρχομαι νῦν πενθικῶν οἰμωγμάτων δαίμων γὰρ οἰ,
τοῦτο πάλιν τετράμετρον ἐκ τῶν ἀκαταλήκτων.
κατάρχομαι νῦν πενθικῶν οἰμωγμάτων· δαίμων γὰρ οἰκτρὸς,
οὗτος ὑπερκατάληκτος τετράμετρος ὑπάρχει.
κατάρχομαι νῦν πενθικῶν οἰμωγμάτων· δαίμων γὰρ οἰκτὸς δα·
οὗτος βραχυκατάληκτος πεντάμετρος ὑπάρχει·
καὶ στίχος δὲ σχοινοτενὴς ἀπήρξατο καλεῖσθαι.
τὸ γὰρ τριακοντάχρονον ἀρτίως ὑπερέβη.
κατάρχομαι νῦν πενθικῶν οἰμωγμάτων· δαίμων γὰρ οἰκτρὸς δακρυ·
οὗτος δὲ καταληκτικὸς πεντάμετρος καλεῖται*

κατάρχομαι νῦν πενθικῶν οἰμωγμάτων· δαίμων γὰρ οἰκτρὸς δακρύων·
οὗτος δ' ἐστὶ πεντάμετρος ἐκ τῶν ἀκαταλήκτων·
πάντα τὸν ὅρον ὑπερβὰς αὐξήσεως τῶν στίχων·
εἰς τριακοντατέσσαρας γὰρ χρόνους παρετάθη.
λοιπὸν καὶ πρὸς ἑξάμετρον οὐκ ἐπαυξήσεις τοῦτον·
τοῦτο γὰρ στίχων Γάδειρα καὶ τυραννὶς τῶν μέτρων.
εἰ δ' ἦν ὁ στίχος καθαρὸς ἐκ μόνων τῶν ἰάμβων,
σπονδεῖον δὲ τὸ σύνολον ἐγκείμενον οὐκ εἶχε,
μᾶλλον δ' ἂν ἐν τοῖς τέλεσιν εἶχεν καὶ πυῤῥιχίους,
εὗρες ὑπερκατάληκτον πεντάμετρον ἐν τούτῳ·
καί γε βραχυκατάληκτον ἑξάμετρον ἐμέτροις[k]
ἑξάμετρόν τε ληκτικὸν καὶ τῶν ἀκαταλήκτων·
οὐκ ἂν γὰρ ὑπερβέβηκεν οὔτε συντεθειμένος
τοὺς τριακοντατέσσαρας χρόνους τοὺς προῤῥηθέντας.
καὶ ταῦτα μὲν εἰρήκειμεν περὶ τοῦ ἰαμβείου.

Καὶ τὸ τροχαϊκὸν μέτρον καὶ τὸ τοῦ ἀναπαίστου,
οὕτω μοι μέτρει καὶ διπλῶς καὶ μονοποδιαίως·
τέμνων· αὐξάνων· παραιρῶν· μέχρις ἑξαμετρίας
τὰ πέντε τετρασύλλαβα· καὶ πάλιν τὸ ἡρῷον
μονοποδία μέτρει μοι, μὴ δὲ διπλοποδία.
μονόμετρα καὶ δίμετρα, καὶ τρίμετρα καλῶν μοι,
τετράμετρα, πεντάμετρα μέχρις ἑξαμετρίας·
εἰ μή που παρεκτρέχουσι τὸ παρατεταμένον.
τὸ δὲ ἡρῷον ὥς φασι, μονόμετρον οὐκ ἔχει,
ἀλλ' ἐκ διμέτρου προχωρεῖ μέχρις ἑξαμετρίας.
ἐγὼ δέ σοι προέγραψα πρώην καὶ περὶ τούτου.
οὕτω τὰ πάντα μέτρει μοι, καὶ τέμνε, καὶ συντίθει·
ἀπὸ τοῦ παραδείγματος πάντα καλῶς νόησας·
κατὰ τὸ τμῆμα τοῦτο γὰρ γίνονται τοῦ ἰάμβου.
οὕτω καλῶς μοι γίνωσκε τὰ τμήματα τῶν μέτρων·
τοὺς στίχους· τὴν περίοδον· μέχρις ὑπερμετρίας.

[k] Sic B.C. ἐμέτρεις Barocc.

Καλοῦνται δὲ τὰ τμήματα μέχρι τῶν ἑξαμέτρων
Ἀλκαϊκά· Φαλαίκεια· Πραξίλλεια· Σαπφῶα·
ἄλλας τε χρήσεις περισσὰς ἀπὸ τῶν χρησαμένων·
ἀπὸ πατρίδων τὲ τινῶν, καὶ τῶν συμβεβηκότων.
Αἰολικὸν καὶ Κρητικὸν ἀπὸ πατρίδων λέγω·
ἀπὸ συμβεβηκότων δέ φημι τὸ ἐλεγεῖον·
ἐν τεθνηκόσι γὰρ τὸ πρὶν ἔγραφον ἐλεγεῖα.
ἀλλὰ ταυτὰ μὲν περισσὰ, σύ δε καλῶς γινώσκων
ἐκ μονομέτρων σύμπαντα μέχρις ἑξαμετρίας,
ἔγνως καὶ τὰ Φαλαίκεια, καὶ τὰ τοῦ Ἀρχιλόχου,
καὶ πάντων τὰ ἐπώνυμα τῶν καταχρησαμένων·
ὁ μὲν ἐκ τούτων γὰρ τυχὸν ἐχρήσατο διμέτρῳ·
ἄλλος τριμέτροις ἔγραψεν· ἄλλο ἐν τετραμέτροις·
καὶ καθεξῆς οἱ σύμπαντες μέχρις ἑξαμετρίας.
οὕτω μὲν ταῦτά σοι σαφῶς ἐγνώρισα συντόμως.
Ἄρτι δὲ δέον σε μαθεῖν περὶ συνθέτων μέτρων·
ἀσυναρτήτων τέ φημι, καὶ πολυσχηματίστων.
καὶ τὸ μὲν ἀσυνάρτητον τμήματα δύο νόει·
ἐξ ἀπροσφόρων μέτρων μὲν ἀποσπασθέντων δύο,
ἕνα δ᾽ ἀπεργαζόμενον στίχον ἐν τῇ συμμίξει·
τρίμετρον ἢ τετράμετρον, ἢ καὶ τῶν ἑξαμέτρων.
τὸ δὲ πολυσχημάτιστον τοιοῦτον εἶναι νόει·
δεύτερον τρόπον γίνωσκε τῶν πολυσχηματίστων·
ὅταν ἐν πρώτῳ στίχῳ σου τυχὸν τῷ μεμιγμένῳ
ἰαμβικοῖς, τροχαικοῖς τμήμασι κεχρημένοις,
ἐν τῷ δευτέρῳ τμήματι πάλιν ἑτέροις χρήσῃ·
δακτυλικῷ, ἰωνικῷ, εἴτε μὴν ἀναπαίστῳ·
καὶ καθεξῆς ἐν τοῖς ἑξῆς ἄν περ μὴ παραλλάσσῃς,
καὶ τὴν συνθήκην οὐ τηρεῖς, ἀλλ᾽ ἐναλλάγδην γράφῃς,
τοὺς στίχους τούτους κάλει μοι τῶν πολυσχηματίστων.
τρίτον πολυσχημάτιστον πάλιν μοι μέτρον νόει·
ἂν πόδας μὲν τοὺς πρέποντας ἑκάστῳ μέτρῳ δέχῃ·
ἀλλ᾽ ἐν τῷ πρώτῳ στίχῳ σου, οἷον ἐπὶ ἡρώου·

ἐν μὲν τῇ πρώτῃ θείης μοι χώρᾳ τυχὸν σπονδεῖον·
ἐν τῇ δευτέρᾳ δάκτυλον· ἀμφίμακρον τῇ τρίτῃ·
τετάρτῃ παλιμβάκχειον· σπονδεῖον πάλιν πέμπτῃ[l]·
εἰς δὲ τὴν ἕκτην θείης μοι τὸν πόδα τὸν τροχαῖον·
εἴτε καὶ παραλλάξειας τοὺς στίχους ἀλληνάλλως,
τοὺς μὲν δακτυλικοὺς τυχὸν, τοὺς δὲ ποδῶν ἑτέρων,
καὶ τὰ λοιπὰ τῶν μέτρων δὲ ποιῶν τοιουτοτρόπως·
πάντα πολυσχημάτιστα καλεῖν μοι τότε νόει.
ταῦτα μὲν πάντα γίνωσκε τῶν μέτρων τῶν ἐννέα,
τὰ μέρη τε καὶ τμήματα, καὶ καθ' ὁλοκληρίαν,
μέχρι τῆς περιόδου τὲ καὶ τῆς ὑπερμετρίας·
ἐξ ὀνομάτων τέ φημι τῶν καταχρησαμένων,
κ'ἀκ τῆς συνθήκης τῆς αὐτῶν τὴν κλῆσιν εἰληχότα·
ἅπερ καὶ δείξω σοι σαφῶς ὕστερον γράψας πάντα·
εἰς ἀκριβὲς παράδειγμα πάσῃ τῇ στιχουργίᾳ,
τὸν ἀδελφὸν τὸν φίλτατον πᾶσι θρηνῶν τοῖς μέτροις·
εἴπερ μὴ μόρος με δεινὸς ἐξαφαρπάσῃ βίου·
ἀλλὰ ταυτὶ μὲν ὕστερον μέτροις θρηνῶν ἐγγράψω·
νῦν δέ μοι τοῦτο μάνθανε χρειῶδες ὂν σοι λίαν.

Τὰ πάντα μέτρα δέχονται τὰ πάθη τοῦ ἡρώου·
τὰς συνιζήσεις, τὰς κοινὰς, τὰς διαλύσεις ἅμα·
τὸ διαλύειν τὴν μακρὰν δύο βραχείαις λέγω·
καὶ πᾶν εἴτι που πέφυκε πάθος ἐν τοῖς ἡρώοις·
ταχύτε καὶ κακόφωνον, λογοειδὲς καὶ τἄλλα·
ἀκέφαλον, προκέφαλον, μεσόκλαστον, σφιγκῶδες[m],
μείουρον, δολιχόουρον, καὶ πᾶν τοιοῦτον πάθος·
καὶ σύμπας στίχος δέχεται καὶ πᾶν τὸ στίχων τμῆμα·
τὰ δὲ μικρὰ τῶν μέτρων μὲν, ὅσα τὲ κατὰ στίχον,
καὶ ποῖα κατὰ σύστημα, καὶ ποῖα τῶν ἀτάκτων,
μακρόν ἐστι καὶ λέγειν με· γνώριμα γὰρ τοῖς πᾶσιν.

[l] Sic B. πέμπτην C. [m] σφικῶδες C.

ἐπίληπτα δὲ γίνωσκε ταῦτα τυγχάνειν μέτρα,
ὅσα μὴ ἀπαρτίζουσιν εἴς τινα μέρη λόγου·
εἰ μή που κατὰ μίμησιν ὑπάρχει λελεγμένα.
καὶ τότε μὲν ἐπίληπτα πλὴν τῶν ἐπαινουμένων,
ὡς Ὅμηρος πεποίηκε γράφων ἐν Ἰλιάδι[m]·
"εἴπερ γάρ κ' ἐθέλοιμεν[n] ὅσοι[o] Δαναοῖσιν ἀρωγοὶ,"
"Τρῶας ἀπώσασθαι καὶ ἐρυκέμεν εὐρυόπα Ζεὺς,
"αὐτοῦ κ' ἔνθ' ἀκάχοιτο καθήμενος οἶος ἐν Ἴδῃ."
Τὸν ἐπῳδὸν δὲ νόει μοι μὴ τμῆμα στίχων εἶναι,
ἀλλ' εἶδος εἶναι στιχικὸν ἐκ στίχων διαφόρων.
ἐν ταῖς ᾠδαῖς καὶ ταῖς στροφαῖς κείμενα ἁρμοδίως·
ἢ μᾶλλον πρὸς θεούς ἐστιν ᾠδή τις λελεγμένη·
καὶ τοῦτο γινώσκειν σε μετὰ τῶν ἄλλων δέον·
ὅτι τυγχάνει σύμπαντα μέτρα τῶν στίχων δέκα·
τῶν πρώτων δώδεκα ποδῶν τὴν κλῆσιν εἰληχότα·
πλὴν μόνου δὴ τοῦ μολόσσου σὺν τούτῳ καὶ χορείου.
οἱ δ' ἀλαζόνες μετρικοὶ καὶ ψευδοσυγγραφέες
ἐννέα κατωνόμασαν συνθέντες ἄλλην κάλως,
τὰ πέντε τετρασύλλαβου ψευδῶς μὲν τὴν τελείαν·
τὰ τέσσαρα δ' ὡς ἔχουσι, σιγήσω, σιωπήσω·
μήπως σου συνταράξωμεν τὰς ἀκοὰς τοῖς λόγοις·
καὶ θόρυβον ποιήσωμεν καινὰ δοκοῦντες γράφειν.
νικᾷ γὰρ ἡ συνήθεια πολλάκις καὶ τὴν φύσιν·
τοῖς ἀνηκόοις δὲ σοφά τις πάλιν τότε λέγων,
ἄπωθεν δόξει τῶν φρενῶν καὶ παρατεταμένον·
διά τοι τοῦτο σιωπῶ τοῦτο μόνον σοι φράσας,
ὡς ἀλαζόσι μετρικοῖς τὰ μέτρα μετετράπη.
ὅσον δ' ἐχρῆν τοῖς μετρικοῖς γινώσκειν στιχουργίαις,
ἔγραψα, παρεθέμην σοι στενῶς, πεπλατυσμένως·
εἰ μή που τί διέφυγεν ἐξαποδρᾶν τῇ μνήμῃ·
Ἑρμῆς γὰρ ὁ χρυσόρραπις[p] οὐ μάχεται τῇ λήθῃ.

[m] Θ. 205. [n] κεβέλοιμεν B. [o] ὅσα C. [p] χρυσάρραπις C.

Στίχοι ἡρωϊκοὶ καθαροὶ μηδὲν πάθος ἔχοντες· δακτυλικοὶ γὰρ πάντες εἰσὶ, τοὺς δὲ τελευταίους μόνους ἔχουσι δισυλλάβους· οἳ καὶ κυρίως καλοῦνται ἔπη[q].

Γραμματικοῖς ποθέουσι τὰ μέτρεα πάντα δαῆναι,
ταῦτά τοι ἐξερέειν καὶ ἐς τέλος ἐκτολόπευσα,
μέτρεα φραδμοσύνῃσι περιστολάδην ἀγορεύσας.
ὑμέες αὖτε ἕκαστος ἐν οὔασι ταῦτα βαλόντες,
οὔασι καὶ πραπίδεσσι καὶ ἀτρεκέως δεδαῶτες,
μνημοσύνην φορέοιτε καὶ ἀμφοτέρων κασιγνήτων·
τοῦτε προοιχομένοιο, καὶ ὃς τάδε μέτρεα τεῦξεν.

q Hæc habent C. et Cod. Barocc.

Τέλος τοῦ περὶ Μέτρων τοῦ σοφωτάτου Τζέτζου.

ΤΟΥ ΑΥΤΟΥ

ΙΩΑΝΝΟΥ ΤΟΥ ΤΖΕΤΖΟΥ

Στίχοι περὶ διαφορᾶς ποιητῶν· λογιζέσθωσαν δὲ μὴ ὡς στίχοι, ἀλλ' ὥσπερ συντάγματα καταλογάδην γραφόμενα.

ΠΟΙΗΤΙΚΩΝ μέλλουσιν ἄρχεσθαι λόγων,
χρεὼν διδάσκειν πρῶτα τὰς διαιρέσεις·
οὕτω γὰρ εὐσύνοπτον ἔσται τοῖς νέοις·
καὶ δὴ τὸ λοιπὸν[a] ἐγκαταρκτέον λέγειν.
ποιητικὸν γίνωσκε σὺ, γένος, νέε,
πολλὰς τομὰς φέρον[b] τε καὶ διαιρέσεις·
τὸ μὲν γὰρ αὐτῶν λυρικὴν κλῆσιν φέρει·
ἄλλο τραγικὴν, κωμικὴν, μονῳδίαν,
καὶ σατυρικὸν καὶ διθύραμβον πάλιν·
ἰαμβογραφία τε τούτοις συντρέχει,
ποιητικόν τε πανανώνυμον γένος.
καὶ δὴ τὸ πᾶν γνώρισμα σαφηνιστέον.
τῶν λυρικῶν γνώρισμα πρῶτον ἡ λύρα·
πρὸς γὰρ λύραν ἔμελπον αὐτοὶ τὰ μέλη·
εἶχον δὲ πεντήκοντα τοὺς χοροστάτας,
καὶ βοῦς τὸ δῶρον κυκλικῶς ἑστηκότων·
ὅθεν παρ' αὐτούς τις καλεῖ ταυροσφάγους·
τοῦ λυρικοῦ κύκλου δὲ δὲ σύστημα τόδε·
Κόριννα, Σάπφω, Πίνδαρος, Βακχυλίδης,
Ἀνακρέων, Ἴβυκος, Ἀλκμὰν, Ἀλκαῖος,
Στησίχορός τε καὶ Σιμωνίδης ἅμα·
δεκὰς ἀρίστη παντελὴς πληρεστάτη.
τὴν τραγικὴν μάνθανε καὶ κωμῳδίαν.
ἄμφω πρὸς ὠφέλειαν εὕρηνται βίου·

[a] τὸ λοιπὸν οἱ λοιποὶ ἄνευ βαρείας γράφουσι· Τζέτζης δὲ αὐτὸ τανῦν καὶ πᾶν ὁμοίως τὰ μάλιστα βαρύνει. [b] φέρων Barocc.

τὴν δ' εὕρεσιν μάνθανε πῶς ἐφευρέθη.
πένητες ἄνδρες Ἀττικοὶ γῆς ἐργάται,
ἀδικίας πάσχοντες ἐν γεωργίαις,
ἐξ Ἀττικῶν μὲν εὐγενῶν δὲ τῷ γένει·
ἀντιλέγειν δὲ μὴ σθένοντες μηδόλως,
συνεργὸν ἐξεύραντο τὸν νυκτὸς χρόνον.
κώμαις γὰρ αὐτοὶ ταῖς στενωπαῖς, τριόδοις,
κῶμα κατ' αὐτὸ καὶ γλυκὺν ὕπνου χρόνον,
περιτρέχοντες καὶ λέγοντες τὰς βλάβας,
θόρυβον εἰργάσαντο τοῖς πέριξ μέγαν,
ὡς ἡλίου τρέχοντος ἡμέρας δρόμον
ζητεῖν, ἐρευνᾶν πανταχοῦ τοὺς αἰτίους,
καὶ τοὺς γεωργοὺς τοὺς παθόντας τὰς βλάβας.
ἐπεὶ δ' ἐφευρέθησαν οἱ γῆς ἐργάται,
ᾔτησεν αὐτοὺς Ἀττικὴ γερουσία
κώμοις παρ' αὐτοῖς, καὶ πρὸ τοῖς Διονύσου
τελουμένοις κώμαις τε καὶ τοῖς χωρίοις,
βλάβας κατειπεῖν ἃς ἔλεξαν ἐννυχῶς.
οἳ δ' αὖ θέλοντες ἅμα καὶ δεδοικότες,
τρυγὶ καταχρίσαντες αὐτῶν τὰς θέας,
ἀγνωστοφανῶς εἶπον ὡς πρὶν τὰς βλάβας.
ἐπεὶ δ' ἐσωφρόνισε τὸ πρᾶγμα πόσους[c],
ἔδοξε πᾶσι τοῖς σοφοῖς βουληφόροις,
πρὸς σωφρονισμὸν τοῦτο παντὸς τοῦ βίου,
ἀεὶ τελεῖσθαι τοῖς ἐτησίοις κύκλοις
ἐαρινῷ μάλιστα καιρῷ δὲ πλέον.
καὶ πρῶτον αὐτὰ πῶς μετῆλθον ἀγρόται·
κωμῳδίαν δή φημι, καὶ τραγῳδίαν,
καὶ σατυρικὴν τῶνδε τὴν μεσαιτάτην.
ἄνδρας μετ' αὐτοὺς ἀξιοῦσι πανσόφους,
ἅπαντα πράττειν εὐγενῶς καὶ κοσμίως·
οὕσπερ τὸ λοιπὸν καὶ διδασκάλους ἔφαν·

[c] Sic Barocc. πόσις B.

κλῆσις δὲ τοῖς σύμπασιν ἦν τρυγῳδία·
χρόνῳ διηρέθη δὲ κλῆσις εἰς τρία·
κωμῳδίαν ἅμα τε καὶ τραγῳδίαν,
καὶ σατυρικὴν τῶνδε τὴν μεσαιτάτην.
Ὅσον μὲν οὖν ἔσχηκε τὴν θρηνῳδίαν,
τραγῳδίαν ἔφασαν οἱ κριταὶ τότε·
ὅσον δὲ τοῦ γέλωτος ἦν καὶ σκωμμάτων,
κωμῳδίαν ἔθεντο τὴν κλῆσιν φέρειν·
ἄμφω δὲ πρὸς σύστασιν ἦσαν τοῦ βίου·
ὁ γὰρ τραγικὸς τῶν πάλαι πάθη λέγων,
Ῥήσους, Ὀρέστας, Φοινίκας, Παλαμήδεις,
τοὺς ζῶντας ἐξέλαυνεν ἀγερωχίας.
κωμικός δε πῶς γελῶν κωμῳδίαις,
ἅρπαγα τινὰ, καὶ κακοῦργον καὶ φθόρον,
τὸ λοιπὸν ἡδραίωσεν εἰς εὐκοσμίαν.
οὕτω λύει μὲν ἡ τραγῳδία βίον,
βαθροῖ[d] δὲ καὶ πήγνυσιν ἡ κωμῳδία,
ὁμοῦ σκυθρωποῖς τῇ χαρᾷ μεμιγμένῃ·
διαφορὰν ἔφημεν αὐτῶν ἀρτίως,
τοὺς εὑρετὰς δὲ τοιγαροῦν νῦν λεκτέον.
Τριττὴν νόει δὲ πρῶτον τὴν κωμῳδίαν·
πρώτην, μέσην, ἔπειτα καὶ τὴν ὑστέραν.
πρώτης μὲν ἦν ἴδιον ἐμφανὴς ψόγος·
ἧς ἦν κατάρξας εὑρετὴς Σουσαρίων[e].
τῆς δευτέρας ἦν ὁ ψόγος κεκρυμμένος·
ἧς ἦν Κρατῖνος, Εὔπολις, Φερεκράτης,

[d] βαθροὶ B.

[e] ὁ Σουσαρίων οὗτος ὁ κωμικὸς, φαύλης τῆς γυναικὸς τούτου φανείσης, καὶ τοῦτον ἀπολειπούσης, εἰσελθὼν ἐν τῷ θεάτρῳ ἀνεφθέγξατο ταδί·

ἀκούετε λεώ· Σουσαρίων λέγει τάδε,
υἱὸς Φιλίνου, Μεγαρόθεν Τριποδίσκιος,
κακὸν[f] γυναῖκες· ἀλλ' ὁμῶς, ὦ δημόται,
οὐκ ἔστιν εὑρεῖν οἰκίαν ἄνευ κακοῦ.

Ἰστέον δὲ ὡς τῶν Σουσαρίωνος τούτου ποιημάτων, μόνα ταῦτα κατελείφθη τὰ τέσσαρα ἰαμβεῖα· ἡ δὲ λέξις ἡ λέγουσα Τριποδισκίου, τοῦ φησὶν ἀπὸ πόλεως Τριποδίσκης, μιᾶς τῶν Μεγαρικῶν πόλεων.

[f] κακῶν B.

Ἀριστοφάνης, Ἕρμιππός τε καὶ Πλάτων·
καὶ τῆς τρίτης ἦν ὁ ψόγος κεκρυμμένος,
πλὴν κατὰ δούλων καὶ ξένων καὶ βαρβάρων·
ἧς ἦν Μένανδρος ἐργάτης καὶ Φιλήμων.
Τραγῳδίας μάνθανε τοὺς διδασκάλους·
Θέσπιν, Φρυνίχον, Αἰσχύλον, Σοφοκλέα·
ὕστατος αὐτὸς Εὐριπίδης Μνησάρχου,
κἄνπερ κατεῖδε τὸν σοφὸν Σοφοκλέα.
σατυρικὸν δὲ Πραττίναν οἶδα μόνον·
ἄλλους δ' ἐφευρὼν εἰ θέλεις τέκνον γράφε[f].
Εἰ δ' ἀκριβῶς ἅπαντα μανθάνειν θέλεις,
Ὅμηρός ἐστι καὶ πατὴρ κωμῳδίας,
καὶ σατυρικῆς ὅμου καὶ τραγῳδίας,
ἄλλης τε πάσης ἐν λόγοις εὐτεχνίας.
τούτοις δὲ κοινὸν τοῖς τρισὶ χοροστάταις
ἐν τετραγώνῳ τῇ στάσει καθεστάναι·
τράγον τε πρὸς δώρημα τῆς νίκης φέρειν,
καὶ δημοσίαν τὴν τροφὴν ἐσχηκέναι·
μιμητικῶς τε πάντα δρᾶν τῇ θυμέλῃ.
ὅθεν παρεσχήκασι κλῆσιν δραμάτων·
μίμους γὰρ ἐκτρέφοντες ἄνδρας θυμέλης,
μιμητικοῖς ἔπραττον ἅπαντα τρόποις·
ἀνδρῶν, γυναικῶν ἐκμιμούμενοι θέας.
ταῦτα τὰ κοινὰ τῶνδε καὶ μεμιγμένα.
διαφορὰν μάνθανε τῆς κωμῳδίας·
ἧς εἰκόσι τέσσαρες οἱ χορεργάται,

[f] τοῦτο εἶπον ἠπατημένος τοῖς ἐξηγουμένοις Εὐριπίδην καὶ Σοφοκλέα γράψασι οὕτω· τὸ δράμα τὸ τῆς Ἀλκήστιδος Εὐριπίδου, καὶ ὁ Ὀρέστης, καὶ ἡ Σοφοκλέους Ἠλέκτρα, καὶ ὅσα τοιαῦτα, σατυρικά εἰσι καὶ οὐ τραγικά· ἀπὸ συμφορῶν γὰρ καὶ δακρύων εἰς χαρὰν καταντῶσι· οὕτω μὲν οὖν ἔγραψα περὶ τῶν σατύρων τούτοις ἠπατημένος, ἐντυχὼν δὲ σατυρικοῖς δράμασιν Εὐριπίδου, αὐτὸς μόνος ἐπέγνων ἐκ τούτων σατυρικῆς ποιήσεως καὶ κωμῳδίας διαφοράν· ἡ μὲν οὖν κωμῳδία δριμέως τινῶν καθαπτομένη διαβολαῖς, ἐπιλοιδορίαις κινεῖ γέλωτα· ἡ δὲ σατυρικὴ ποίησις ἄκρατον καὶ ἀμιγῆ λοιδορίας (λοιδορὰς Barocc.) ἔχει τὸν γέλωτα· πάνυ ἡδύτατον, οἷον τὸν ἐν θυμέλαις.

ἑκκαίδεκα[f] δὲ σατύρων, τραγῳδίας·
κωμῳδίας ἔφημεν εἶναι τὸν γέλων·
τραγῳδίας πάλιν δὲ τὴν θρηνῳδίαν·
τῶν σατύρων γέλων δὲ καὶ θρηνῳδίαν.
κλῆσιν δὲ νῦν μάνθανε τῆς κωμῳδίας·
κώμαις στενωποῖς, κώματος πρὶν ἐν χρόνῳ,
ἐφευρέθη μὲν, ὡς ἔφην ἀνωτέρω·
ἀγρῶν δὲ κώμαις ἐκτελουμένη τότε,
κώμοις παρ' αὐτοῖς καὶ πότοις Διονύσου,
κωμῳδίας ἔσχηκε κλῆσιν εὐλόγως·
τραγῳδία δὲ παρὰ τὴν οἴνου τρύγα,
ἐν ἧπερ ἐξέχρισαν τὰς αὐτῶν θέας·
ἢ παρὰ τὴν τρύγα δὲ τὴν δωρουμένην,
ἤτοι τὸν οἶνον Ἀττικῷ πάντως λόγῳ·
ἢ τὸν τράγον δὲ καὶ τετράγωνον στάσιν·
ἢ τὴν τραχῳδίαν τὲ καὶ θρηνῳδίαν.
τὸ σατυρικὸν ἐκ σατύρων εὑρέθη·
τοὺς ἀγρότας δὲ πρὶν ἐκάλουν σατύρους·
ἐκ τῶνδε γοῦν εὕρηκε τὴν κλῆσιν τόδε·
ἔσχηκε καὶ κλῆσιν δὲ ταῦτα δραμάτων,
οὐ μὴν δὲ λοιπὸν ὡς τὰ λοιπὰ γραμμάτων·
ἐδρῶντο καὶ γὰρ ἐν μίμοις πρὶν ἀνδράσιν,
εἰς Τηλέφου μίμημα καὶ Φιλοκτήτου·
οὐδ' ἐν μόνοις γράμμασιν[g] εἶχε τὴν στάσιν.
Μονῳδία[h] μάνθανε, σὺν αὐτοῖς τέκνον,
γίνωσκε κυρίως δὲ τὴν μονῳδίαν·
ὅταν μόνος λέγει τις ἐν θρηνῳδίαις,
κατὰ δὲ παράχρησιν, ἂν λέγῃ μόνος·
ὥσπερ Λυκόφρων εἰς Ἀλεξάνδραν γράφει·
ἄλλοις γάρ ἐστι τραγικὸς χορεργάτης,
πολλὰς γεγραφὼς καὶ σοφὰς τραγῳδίας·

[f] ἑκκέδεκα B qui solus hunc et quatuor seq. habet versus.
[g] γράμμας B. [h] Μονοδία B.

ἔφην τὸ λοιπὸν καὶ μονῳδούς σοι τέκνον·
τοὺς διθυράμβους τοιγαροῦν μοι λεκτέον.
οὗτοι λυρικὸν καὶ χορὸν καὶ τὴν στάσιν,
καὶ δῶρον εἶχον, τὰ δὲ λοιπά μοι μάθε·
οἱ πρὸς τὸν Διόνυσον γράφοντες λόγους,
παμπλειστοσυστρόβητον ἔγραφον μέλος·
οἷόνπερ αὐτὸς στίχον ἀρτίως[i] ἔφην·
ἀσματοκαμπῶν πλειστοποικίλῳ τρόπῳ.
Ταῦτα δ' ἐποίουν ἐκμιμούμενοι τρόπους
τοὺς βακχικούς τε, καὶ στροφὰς πολυστρόφους·
κλῆσιν δὲ διθύραμβον ἔσχον, ὦ τέκνον,
ἐκ Διονύσου βακχικοῦ χοροστάτου·
ὅς τίς περ ἐξέδραμε θύρας τὰς δύο,
μηρὸν Διός τε καὶ Σεμέλης γαστέρα·
Φιλόξενον[k] δὲ τὸν Κυθήριον λέγε
τῶν διθυράμβων εὑρετὴν συγγραμμάτων.
ἰαμβογράφους γλωττοτοξότας νόει·
Πάριον Ἀρχίλοχον αἰσχρὸν ἐν λόγοις,
καὶ δεινὸν Ἱππώνακτα πικρίας πλέων·
οὗπερ παρεισέγραψέ τις τύμβῳ τάδε·
οὐ βότρυν ἀλλ' ἄχερδον ἐν τάφῳ φέρει,
στύφοντα, πικραίνοντα πικρίᾳ λόγων·
ἀλλά τις Ἱππώνακτος ἐλθὼν εἰς τάφον,
τὸν ἄνδρα κνώσσειν εὐμενῶς εὔχου κάτω·
ἰὸν δέ πως βάζοντες ἐμπικρῶς λόγοις,
κλῆσιν κατεπλούτησαν ἰαμβογράφων.
ποιητικὸν δὲ πᾶν ἀνωνύμως λέγε·
ὅπου περ εὑρήσειας, αὐτός μοι τέκνον,
ἡρωϊκὸν μέτρον τε καὶ μύθους ἅμα·
λέξιν τε ποιάν, ἱστορικήν τε φράσιν.
πεντάς δε τούτων ἐστὶν ἐξηρημένη·

[i] Schol. ἀρτίως ἐπὶ τοῦ ὑγιῶς λέγεται, ἄρτι δὲ ἀντὶ τοῦ νῦν·
νῦν δὲ ἀρτίως εἶπον ἀντὶ τοῦ ἄρτι, ὡς Σοφοκλῆς καὶ ἕτεροι.

[k] φιλόξενος δὲ τὸν κιθύριον B.

Ὅμηρος, Ἡσίοδος, Πανύασις[l] τρίτος,
Πείσανδρος, Ἀντίμαχος, οἱ δ' ἄλλοι νέοι·
ὧν περ τὸν ἑσμὸν τίς διαγράψοι λόγος;
οὕτω τὰ πάντα συ μαθὼν[m] κατ' ἀξίαν
γίνωσκε καλῶς, καὶ διακρίνων βίβλους.
ὡς τεχνικῶς βαδίζε πρὸς λόγων τρίβους.

Τοῦ αὐτοῦ ἴαμβοι τεχνικοὶ περὶ Κωμῳδίας.

Ἐπείπερ ἡμῶν τοῖς ἀτέχνοις πρὶν στίχοις
τριπλῆν τελεῖν εἴρηκα τὴν κωμῳδίαν·
πρώτην ὅμου, μέσην τε καὶ τὴν ὑστέραν·
ἔφην δὲ καὶ γνωρισμάτων τριῶν τότε·
οὐκ ἀκριβῶς ἔφην δὲ πᾶν μέχρι τέλους·
τὰ νῦν φέρε γράψωμεν ἠκριβωμένως,
πόσα μέρη τε τυγχάνει κωμῳδίας·
καὶ τῆς παραβάσεως ὁπόσα δὲ τὰ μέρη·
τίνα δὲ ταῦτα τεχνικῶς τε πῶς πρέπει
κωμῳδίας γράφειν τε καὶ τραγῳδίας.
μέρη μέν εἰσι τέσσαρα κωμῳδίας·
πρῶτον πρόλογος, τὸ μέχρι χοροῦ τῆς εἰσόδου·
τὸ τοῦ χόρου μέλος δὲ δεύτερον λέγω·
ἐπείσοδος τρίτον δὲ τί δε τυγχάνει
λόγος μεταξὺ πλὴν μελῶν χορῶν δύο·
τέταρτον ἐστὶν ἔξοδος ταύτης μέρος·
λόγος χοροῦ τις τῷ τέλει λελεγμένος.
τόσα μέρη μέν εἰσι τῆς κωμῳδίας.
ἑπτὰ δὲ παραβάσεως εἰσὶ μέρη·
ἃ νῦν σαφῶς ἄκουε λεπτῷ τῷ λόγῳ·
κωμικὸς χόρος μὲν ὀρχήστρας τόποις,
τὴν ἣν λογεῖον νῦν καλοῦμεν, ἡγμένος[n],
ὑποκριταῖς μὲν προσλαλῶν ἄλλοις μέτροις,
σκηνὴν πρὸς αὐτὴν ἣν ὁρῶν κωμῳδίας,

[l] πάνυσις B. πάνῦσις Barocc. [m] συμπαθὼν B. [n] ἡμεγμ^ᾶ B.

αὐτῶν ἀπελθόντων πρὸς δῆμον βλέπων,
ὃ καὶ στροφὴν ἔσχηκε τὴν κλῆσιν φέρων·
ἐκ τετραμέτρων ἕξ τε καὶ δέκα στίχους,
ἀναπαιστικοὺς δὲ τοῖς μέτροις ἐφθέγγετο·
ἀντίστροφος ἔφασκεν εἶτα δευτέρως,
τοιῷ δὲ μέτρῳ καὶ πόσῳ τόσων στίχων·
τοὺς δ' αὖ στροφῆς λόγους τε σὺν ἀντιστρόφῳ,
ἅπας παλαιὸς πῶς ἐπίῤῥημα λέγει.
ἡ πάροδος ὅλη χοροῦ δὲ παράβασις[o].
ἂν οὖν ἐπιθέατρον ἐκ πολισμάτων
ἐδείκνυ δῆθε τὴν ὁδὸν ποιούμενος,
ἀριστερᾶς ἔβαινεν ἀψίδος τόπων·
εἶδ' ὡς ἀπ' ἀγροῦ, δεξιᾶς διὰ τόπων·
ἐν τετραγωνίζοντι τοῦ χοροῦ τύπῳ
ὑποκριταῖς τὸ βλέμμα δεικνύων μόνοις·
ὧν ἐκδραμόντων, ἑπτάκις ἐστραμμένος
χορὸς καθόρα πρὸς διπλὴν δήμου στάσιν·
τὸ δ' ἑπτασυστρόβητον ὄρχημα τόδε
παράβασιν ἔσχε τῷ γένει τὴν κλῆσιν φέρειν·
ὄρχησις ἡ πρώτη τε τὴν κλῆσιν γένους·
μακρὸν δὲ δὴ πνῖγος τε τὸ τρίτον πάλιν·
τέταρτον ᾠδὴ καὶ στροφὴ κλῆσιν φέρει·
τὸ πέμπτον αὖτε τίς ἐπίῤῥημα λέγει·
τὸ δ' ἕκτον ἔσχε κλῆσιν ἀντῳδῆς φέρειν·
ἀντιστροφῆς ἅμα τε σὺν αὐτῇ λέγω.
τό δ' ἕβδομόν τις ἀντεπίῤῥημα λέγει·
Τζέτζῃ δ' ἀρεστὸν οὐδαμῶς ἐστι τόδε·
οὐδ' αὖ τὸ πέμπτον, ἀλλά σοι ταῦτα λέγει·
τὰς πρακτικὰς μὲν συστροφὰς χοροῦ δύο,
σκηνὴν πρὸς αὐτὴν πρός τε τὸν δῆμον, νόει
στροφὰς καλεῖσθαι· σὺν δὲ μὴν ἀντιστρόφους,
τοῦ τετραμετροῦς[p] οὓς ἔφη δὲ τῶν στίχων,

[o] ὦ παραβ. B. [p] τετραμετροὶς B.

τρανῶς ἐπιῤῥήματι τοὺς πρώτους λέγει·
τοὺς δευτέρους αὖ ἀντεπίῤῥημα πάλιν·
Τζέτζης μὲν αὐτὰ τῶν μερῶν τῆς ἑπτάδος
παρεξελῶν τε καὶ διώξας μακρόθεν,
ᾠδὴν διαιρεῖν καὶ στροφὴν ὡς πρὸς δύο,
ἀντιστροφὴν αὐτήν τε κ᾽ ἀντωδὴν ἅμα·
οὕτω τε πληροῖ σοὶ πάλιν τὴν ἑπτάδα·
ᾠδὴν καλεῖ δὲ πρὸς θεοὺς [q] *τινὰς λόγους·*
στροφὴν πάλιν δὲ τοὺς πρὸς ἄνθρωπον [r] *λογους.*
τὴν δ᾽ ἀντοωδὴν [s] *εἰς θεοὺς πάλιν λέγει·*
ἀντιστροφὴν δὲ πρὸς γονὰς ἐτησίους.
ταῦτα μὲν οὕτω καὶ ταδὶ δέ μοι μάθε·
ὡς ἡ παλαιὰ συγγραφὴ κωμῳδίας
ἦρτο πρὸς ὄγκον Ἀττικῆς γλώττης λόγοις·
ἐχρῆτο καὶ μέτροις δὲ ποικίλοις στίχων·
χορῶν τε χρείαν εἶχεν· ἡ νέα δέ γε
γλώττης σαφοῦς πρῶτα μὲν ἥρμοστο λόγοις·
πλείστῳ δὲ χρῆται τῶν ἰάμβων τῷ μέτρῳ·
καὶ δὴ σὺν αὐτοῖς καὶ χορῶν ἀποτρέχει.
τὸ τοῦ σκοποῦ δὲ πλάσμα καὶ λέξις ἅμα
παρεισφοροῦσιν ἡδονὴν κωμῳδίαις [t]*.*
καὶ τὸν γέλωτα τοῖς ὁμωνύμοις πλέον·
ἐσχηματισμένα τε καὶ παρῳδίαι,
καὶ κλήσεων πλάσεις δὲ καὶ μεταπλάσεις·
σὺν οἷς κορισμοὶ καὶ καταχρήσεις ἅμα.
σκαμβῶν μετ᾽ αὐτὰ νῦν μελῶν κλῆσιν μάθε.
λέγοντες ἦσαν ταῦτα καιροῖς τῶν πότων·
σκαμβά δ᾽ ἔφασκον ὡς ἁπλᾶ μᾶλλον τάδε·
ἄλλοι δὲ φασὶν, ὡς ἀναγκαῖον πότοις
ᾄδειν ὑπῆρχε πρὸς ψαλάγματα λύρας·
ὅσοις ἐνῆν δὲ μηδαμῶς λύρας τέχνη,
δάφνης λαβόντες, εἴτε μυρσίνης κλάδους,

[q] *προσθετοὺς* Barocc. [r] *ἀνθρώπων* B. [s] Sic Codd. [t] *κωμωδίας* [αις] Barocc.

ᾖδον καλοῦντες σκαμβὰ τὰ λύρας μέλη·
ἄλλοι δὲ τοὺς ᾄδοντας εἶπον τὴν λύραν,
οὐχὶ κατ' εὐθὺ συστροφῶν δὲ λαμβάνειν·
οὕτω τὸ λοιπὸν κλῆσιν ἔσχε τὰ μέλη.

Περὶ Τραγικῆς Ποιήσεως.

Ἄκουε λοιπὸν καὶ τὰ τῆς τραγῳδίας
πόνοις περισσοῖς πρὶν ἐμοὶ συνηγμένα·
ἐξ ὧν ὁ Εὐκλείδης τε καὶ λοιποὶ πόσοι
ἔγραψαν, ἄνδρες ἐν λόγοις διηρμένοι.
τραγῳδία τίς ἐστι πρὶν μαθὼν ἔγνως,
καὶ πῶς ἐφευρέθη δὲ, καὶ διδασκάλους,
κλῆσιν ὁμοῦ, πράξεις τε πῶς λύει βίων[u].
νόει διαιρέσεις δὲ νῦν τραγῳδίας.
κατὰ τύπον πρῶτον μὲν εἰς μέρη δύο,
εἰς σκηνικόν τε καὶ χοροῦ[v] δὲ τὸν τρόπον·
ἕκαστον αὐτῶν αὖ διαιρεῖσθαι νόει,
ᾠδὴν πρὸς αὐτὴν ἀλλὰ καὶ λέξιν λέγω·
ὑποκριτὴς ᾄδει γὰρ ἐν τινὶ χρόνῳ,
χοροῦ λαλοῦντος ἃ λαλεῖν θέλει τότε·
ἡ λέξις αὖ δίχασμα διπλοῦν λαμβάνει,
ὡς πρὸς μέτρον τε καὶ σὺν αὐτῷ περίοδον·
μέτρον τροχαίους σὺν ἰάμβοις μοι νόει·
ἰαμβικοὺς δὲ καὶ ἀναπαίστους ἄθρει·
τομὴν τὸ μέτρον καὶ διαίρεσιν φέρει,
προλόγους[w], ἐπεισόδια, καὶ ἔξοδόν γε.
πρόλογός ἐστι μέχρι χοροῦ εἰσόδου.
ἐπεισόδιός ἐστιν, ὡς καὶ προέφην,
λόγος μεταξὺ πλὴν μελῶν χορῶν δύο.
ἡδ' ἔξοδός τις τυγχάνει χοροῦ λόγος,
μεθ' ὃν χοροῖς οὐκ ἔστι τί λέγειν μέρος·
ἡ λέξις οὕτω τὴν διαίρεσιν φέρει,
τὰ ἃ διηρέθη τε λέξεως λέγω.

[u] βίων B. βίον Barocc. [v] χωροῦ Barocc. [w] πρὸς λόγους Codd.

τὴν σκηνικὴν ἄτμητον ᾠδήν μοι νόει·
τὴν τοῦ χοροῦ δὲ πενταχῇ τετμημένην·
τῶν τμημάτων κλήσεις, πάροδος, στάσιμον,
ἦτ' ἐμμέλεια, κόμμος, ἔξοδος μετά·
ἐπὶ τὸ πλεῖστον εἶχε μὲν οὕτως τάδε·
καιροῖς μετετρέποντο δ' αἱ τάξεις πότε.
ἕκαστον αὐτῶν ἀκριβῶς δέ μοι μάθε.
ἡ πάροδος μὲν τοῖς θεαταῖς δεικνύει,
δι' ἣν ἀφορμὴν ἡ χοροῦ κοινωνία
ἐγγίνεται πῶς εἰς τὸ δράματος πάθος·
ἄλλου χοροῦ λέξις τε πρώτη τυγχάνει.
ᾠδὴν ὁ Εὐκλείδης δὲ λέξιν οὐ λέγει·
ᾠδὴν χοροῦ πρώτιστον αὐταῖς εἰσόδοις·
ὡς "σίγα, σίγα, λευκὸν ἴχνος ἀρβύλης,"
ταυτὸν τάχα λέγοντες ἐν πολλοῖς λόγοις.
μετὰ πάροδον Εὐκλείδης[w] ἐπιπάροδον λέγει·
ἀλλ' οὐ χοροῦ δ' ἔλευσιν αὐτήν μοι λέγει,
χοροῦ μετ' ἐξέλευσιν ὃς πρὶν ἣν λέγων.
ἔγνως μὲν αὐτὰ, στάσιμον[x] δέ μοι μάθε·
μετ' εἴσοδον μὲν ἔσχε τὴν τάξιν φέρειν,
ὅταν τὸ πρῶτον ἐπεισόδιον μὲν γίνεται[y]·
τῷ δράματι δ' οὔπω τι τῶν σκυλμῶν μέρος[z],
εἴτουν ἀξιόχρεων μετ' αὐτῶν πάθος.
τὸ στάσιμον δέ φασι χοροῦ μέρος,
πλὴν ἀναπαίστου καὶ τροχαίου τῶν μέτρων.
πάλιν ὁ Εὐκλείδης δέ φησιν ὧδέ πως·
ὅταν χορὸς στάς τι κατάρχεται λέγειν,
ὡς δράματι μὲν υἱοῦ Θησέως γράφει·
"Ὠκεανοῦ τίς ὕδωρ στάζουσα πέτρα[a]"
καὶ ταῦτα πολλοῖς ἐντελοῦσι τοῖς λόγοις.
τὴν ἐμμέλειαν τοιγαροῦν μοι λεκτέον·

[w] Εὐκλείδης om. Barocc. [x] τὸ στασ. B. [y] ἐπεισ. δρᾶται Barocc. [z] σκύλ\ (με superscr.) B. [a] Hunc Hippolyti prim. Chor. vers. om. B.

ἤδη προκοπτούσης δὲ τῆς τραγῳδίας,
τὴν ἐμμέλειαν ᾖδον ᾠδῆς τι μέλος,
τὴν ἣν ὁ Εὐκλείδης μὲν οὐδαμῶς γράφει·
μετ' ἐμμέλειαν κομμὸς ἦν λελεγμένος,
ἀκμὴν πρὸς αὐτὴν ἠρμένης τραγῳδίας·
οὗτος δ' ὁ κομμὸς τοῦ χοροῦ τελῶν μέρος,
ὑποκριταῖς ἦν ὡς πολὺ συνηγμένος·
κομμὸς δὲ θρήνου πενθικώτερον πλέον·
ὁ θρῆνος δ' ἐστὶν ἠρεμέστερον μέρος·
κομμὸν πάλιν ἄλλος δέ τις θρῆνον λέγει,
κοινὸν χοροῦ σκηνῆς τε τυγχάνειν λέγων·
καὶ τ' ἄλλα ταῦτα τί πλατύνομεν λόγους;
τὰ τέσσαρα νῦν τοῦ χοροῦ μαθὼν μέρη,
τὴν ἔξοδον τὸ πέμπτον ἀκροῶ μέρος,
ὅπερ μετ' ἐμμέλειαν ἐστὶν εἰς τέλος·
τραγῳδίας δ' ὄρχησις αὐτὴ τυγχάνει·
μέρη τὰ πρῶτα τῆς τραγῳδίας ἔγνως,
τὸν σκηνικόν τε καὶ χοροῦ λέγω τρόπον·
ἄμφω τε τούτων τὴν διπλὴν τόμην πάλιν
ᾠδὴν πρὸς αὐτὴν, ἀλλὰ καὶ λέξιν λέγω,
καὶ τῆς λέξεως μέτρα περίοδόν τε·
καὶ τὴν τόμην μέτρου δὲ τὴν τρισσουμένην,
εἰς πρόλογον, ἐπεισόδιον, ἔξοδον·
ἐπείπερ ἔγνως ἀκριβῶς πάντα τάδε·
ᾠδῆς, χοροῦ τε πενταπλᾶς διαιρέσεις·
ἅπερ μέν εἰσι, πάροδος, στάσιμόν τε,
ἧτ' ἐμμέλεια, κομμὸς, ἐξόδου μέτα·
ἡ σκηνικὴ γὰρ οὐ διαίρεσιν φέρει·
ἐπείπερ ἔγνως ἀκριβῶς πάντα τάδε,
ἄκουε πάντα νῦν μέρη τραγῳδίας,
ἃ πρὶν ὁ Εὐκλείδης τε καὶ λοιποὶ πόσοι
γράψαντες, ὡς γράφουσι συμπεφυρμένως,
καὶ συνθολοῦσι πάντας ἠκροαμένους,
μέρη λέγοντες ἐννέα πεφυκέναι,

ἄλλα μὲν ἄλλος, ἃ τῶν νῦν μοι λεκτέον·
καὶ δὴ κατ' Εὐκλείδην μὲν ἀκροῶ τίνα·
πρόλογος, ὁ ἄγγελος, ἐξάγγελός τε·
πάροδος, ἐπιπάροδος, καὶ στάσιμον·
ἕβδομον ὑπορχηματικὸν σὺν ταύτοις·
ἀμοιβαῖον ἔπειτα· ταῦτα μὲν οὕτως·
τὸ σκηνικὸν τάττει δὲ πάντων ἐσχάτως.
πρῶτον λόγον δέ τυγχάνειν γίνωσκέ μοι,
τῶν ὧν θέλει λέγειν τις ἐκθέσεις λόγων·
ὃς δ' ἂν τὰ ἔξω τοῖς ἔσωθι μηνύει,
εἴληχεν οὗτος ἀγγέλου κλῆσιν φέρειν·
ἐκ δεξιῶν βαίνει δὲ πρὸς λαλὸν μέρος.
ἐξάγγελος πάλιν δὲ τὴν κλῆσιν φέρει,
τοῖς ἐκτὸς ὅς τις μηνύει τὰ τῶν ἔσω·
διὰ στοᾶς δ' ἔβαινε τῆς λαιᾶς τότε.
πάροδος ᾠδὴ χοροῦ ἅμα εἰσόδῳ·
ὥσπερ τὸ " σίγα λευκὸν εἶδος ἀρβύλης."
ἐπιπάροδος χοροῦ ἔλευσις ἄλλου,
μετ' ἐξέλευσιν τοῦ χοροῦ τοῦ πρὶν λέγω.
ὅταν χορὸς στάς δ' ἐμπαρᾴδῃ τι μέλος,
ὡς " Ὠκεανοῦ τὶς ὕδωρ λέγεται στάζειν,"
στάσιμον μέρος εἴληχε κλῆσιν φέρειν.
ἐμμέλειαν δ' οὗτος ὑπόρχησιν λέγει,
ᾠδὴν χόρου τελοῦσαν ὀρχησμοῦ μέτα·
ἡ μᾶλλον πρέπουσα δράμασι τῶν σατύρων·
αὐτοὶ σὺν ὀρχήσει γὰρ ᾖδον τῷ πάλαι·
ἡ δ' ἐξ ἀμοιβῆς πρὸς λόγους ἐστὶ λόγος·
τὸ σκηνικὸν δὲ τυγχάνειν εἶναι νόει·
ὑποκριτοῦ πρόσωπον ἂν ᾠδὴν λέγῃ·
τραγῳδίας μέρη μὲν Εὐκλείδης [b] τάδε.
ἄλλοι δέκα λέγουσι τῇ κλήσει τάδε,
πρόλογον, ῥῆσιν, ἀμοιβὴν, καὶ ἄγγελον,
ἐξάγγελόν τε, σκηνικὴν ᾠδὴν ἅμα·

[b] Εὐκλείδη Barocc.

πρὸς οἷσπερ ἄλλη τῶν μερῶν τετρασμέτρῳ[c],
κούρισμα, σάλπιγξ καὶ σκόπος χοροῦ μέτα·
ἃ πέντε πρὶν ἔγνωκας Εὐκλείδου λόγοις·
πρῶτον λόγον μὲν, ἀγγέλους, ἐξαγγέλους·
πρὸς οἷς ἀμοιβὴν σκηνικῆς ᾠδῆς τρόπον.
τὰ πέντε λοιπόν σοι κατ' αὐτοὺς λεκτέον,
τί ῥῆσις ἐστὶ καὶ τὰ λοιπὰ δ' αὖ μέρη·
κούρισμα, σάλπιγξ καὶ σκοπὸς χόρου μέτα,
ἅπερ παρειέθησαν Εὐκλείδῃ λόγοις·
καθὼς τὰ Εὐκλείδου μὲν αὐτῶν τοῖς λόγοις,
ἄκουε λοιπὸν τῶν μερῶν τὴν πεντάδα·
ῥῆσις λόγος τίς ἐστιν ἐξηγημάτων,
ὑποκριτοῦ λέγοντος ὡς πρὸς τοὺς ὄχλους·
ὡς ἔστι τοῦτο τοῖς Εὐριπίδου λόγοις·
"τὰ μὲν πυλωρῶν κλεῖθρα μ' εἰσεδέξατο[d]."
κούρισμα δ' ᾠδὴ συμφορᾶς πληρεστάτη,
ταύτην ᾀδόντων τὰς τρίχας κεκαρμένων.
σάλπιγξ λόγος δὲ συμβολὰς μαχῶν λέγων·
σκόπος δ' ὁ δηλῶν ἐκ ξένης παρουσίαν,
πόῤῥωθεν αὐτοὺς εἰσορῶν καὶ προβλέπων.
χορός δέ τι[e] σύστημα πρὸς μέλος λέγων.
οὕτω μὲν οὗτοι φασὶ συμπεφυρμένως.
ὅταν ὁ Εὐκλείδης δὲ καὶ Κράτης γράφων[f],
ἄλλοι τε πολλοὶ τῶν λόγων διηρμένων,
ἄνθρωπε κἂν κράζωσι τοῖς στροφοῖς λόγων,
τὰ σκηνικὰ γράφοντες ἐμπεφυρμένως[g]·
μάθῃς δὲ μηδὲν ἐξ ἐκείνων ὧν θέλεις·
Τζέτζῃ προσελθὼν ἀκριβῶς ἅπαν μάθε,
λόγῳ διαυγεῖ καὶ σαφεῖ καὶ συντόμῳ.
καὶ δὴ τὸ πᾶν ἄκουε λεπτῷ τῷ τρόπῳ.
κατὰ τύπον πρῶτον μὲν εἰς μέρη δύο,

[c] Sic Codd. [d] Phœn. 268. [e] τις Barocc. [f] Hoc et tribus seq. verss. caret Barocc. [g] In marg. Cod. B. Διονύσιος ὁ Ἁλικαρνασεὺς καὶ ἕτερος κατὰ τὸν Τζέτζῃ.

εἴστε πρόσωπα, καὶ σὺν αὐτοῖς εἰς λόγους,
τέχνην διαιρεῖ κωμικὴν, τραγῳδίαν,
καὶ τὴν τρίτην ποίησιν, ἡ τούτων μέση.
τὰ δ' αὖ πρόσωπα δευτέρᾳ διαιρέσει,
εἰς σκηνικόν τε καὶ χορὸν τέμνει πάλιν·
ὑποκριτὴν ἕνα τε καὶ πολλοὺς λέγω.
τὸ σκηνικὸν πρόσωπον αὖ τέμνει πάλιν,
εἴστε σκόπους, σάλπιγγας, εἰς τοὺς ἀγγέλους,
ἐξαγγέλους τε, πρὸς τρισὶν οἷσπερ λέγω·
τὰ τοῦ χοροῦ δ' ἄτμητα παντελῶς λέγει·
τὰ τῶν προσώπων ταῦτα· τοὺς λόγους πάλιν
ἑξῆς διαιρεῖ· πρὸς μέτρα, περιόδους·
μέτρα τροχαίους σὺν ἰάμβοις μοι νόει·
ἰάμβους περίοδον σὺν ἀναπαίστοις·
τὰ μέτρα ταῦτα συμπεριδρόμοις ἅμα
πάλιν διαιρεῖ πρὸς τὰ τέσσαρα μέρη·
λόγους, ἐπεισόδιον, ἔξοδον, ῥῆσιν·
εἰς τὰς ἀμοιβὰς, εἰς λόγους κουρισμάτων·
εἰς σκηνικήν τ' ᾠδήν τε καὶ χορευμάτων·
τὴν σκηνὴν ᾠδὴν ἄτμητον αὖ λέγει·
τὴν τοῦ χοροῦ δὲ τετραχῇ τετμημένην·
εἴστε πάροδον, ἐπιπάροδον ἅμα·
στάσιμον γὰρ συνορχηματικόν τε,
ἅπερ φέρει σύμπαντα· καὶ κωμῳδία
καὶ παράβασιν ἐς πλέον τούτων φέρει.
μέρη παραβάσεως ἑπτὰ τελοῦσι·
ἃ πρὶν σαφῶς ἤκουσας ἐν λεπτῷ λόγῳ,
ὡς πάντα τ' ἄλλα· καὶ στραφεὶς βλέπων μάθε·
ἐπεὶ δὲ καλῶς πάντα σοί περ ἐγράφη,
ἄκουε λοιπόν τι τέλος τραγῳδίας.
μίμησις ἠθῶν, πράξεων, παθημάτων·
ἡρωϊκοῦ τρόπου τε τῆς τραγῳδίας,
σεμνοπρεπῶς λέξις τε καὶ διηρμένη·
χρῶντας δέκα μέτροις δὲ ταῖς τραγῳδίαις,

διπλοῖς ἰάμβοις, καὶ διπλοῖς τοῖς δοχμίοις,
καὶ τοῖς τροχαίοις, κρητικοῖς, καὶ δακτύλοις,
βακχειακοῖς ἁπλοῖς τε καὶ διπλοῖς λέγω·
καὶ χορείοις προσοδιακοῖς τε μέτροις·
προκελευσματικοῖς ἐπόλιζον αὖθις,
ἰωνικοῖς τε τοῖς ἐλάττοσι λέγω·
ἀντιστροφαῖς μὲν καὶ μελῶν χρῆται στάσει·
τοῖς οἷς δεκαπλοῖς νῦν ἐγράψαμεν μέτροις·
τοῖς [g] δ' αὖ τροχαίοις, κρητικοῖς, καὶ δοχμίοις,
ἄλλοις τε μέτροις, οἵπερ εὔδρομοι φύσιν,
χοριομίκτοις σὺν ἰαμβίῳ μέτροις,
χρῶνται πρὸς αὐτὰς συγγραφὰς τῶν κομμάτων.
ἐπεὶ δὲ πάντα σοι σαφῶς νῦν ἐῤῥέθη,
καὶ τερματούσθω τοιγαροῦν τὸ βιβλίον.

[g] ταῖς Barocc.

SCHOLIA AD TZETZIS CHILIADAS

ET ALIA OPUSCULA.

CHIL. I. 8. Δαϊφάντου] Δαϊφανθυρα καθ' ἑτέρους.

12. Κόθορνος εἶδος ὑποδήματος προσφυὴς ἀριστερῷ καὶ δεξιῷ ποδὶ, καὶ γυναιξὶν καὶ ἀνδράσιν.

19. Ἡρόδοτος] Ὁ τῇ Ἥρᾳ δοτὸς, ὄνομα κύριον, δασύνεται· ἠρόδοτος δὲ ὀπώρα, ἡ ἠρόδοτον[a] ἄνθος, τὸ ἐν ἔαρι[b] διδόμενον, ψιλοῦται, ὅτι οὐκ ἔχει τὸ η μετὰ φυσικῆς μακρότητος[c].

Ib. Ὀξύλου] Ξύλου παῖς Ἡρόδοτος· Ὀξύλου παῖς Ἡρόδοτος γεγραμμένον εὑρίσκων ἀμφέβαλον ὁπότερον δεῖ γράφειν· Λουκιανῷ δὲ καίπερ ὀρθῶς καὶ ἀναμφ......[d] γράφοντι οὐκ ἐπειθόμην· φησὶ γάρ[e], Ἡρόδοτον Ξύλου τὸν Ἁλικαρνασσόθεν· ὅτι πολλαχοῦ ψευδογραφεῖ· ἐπείσθην δὲ ὡς Ξύλου δεῖ γράφειν, ἐντυχὼν τούτῳ[f] ἐπιγράμματι, οὗ Ζήνων ἐν . . τετάρτῃ[g] τῶν εὐθυνῶν μνημονεύει·

Ἡρόδοτον Ξύλεω[h] κρύπτει κόνις ἧδε θανόντα,
 Ἰάδος ἀρχαίης ἱστορίης πρύτανιν[i]·
Δωρίδος ἐκ πάτρας βλαστῶν τ' ἀπὸ τῶς γὰρ ἄτλητον[k]
 μῶμον ὑπεκπροφυγὼν[l] Θούριον ἔσχε ν**ν[m].

ἐκ τούτου δῆλον ὅτι Ξύλου δεῖ γράφειν καὶ οὐκ Ὀξύλου.

80. Σάρδεις] Ὅτι Κροῖσος στρατηγὸς ἦν τοῦ παντὸς τῶν Ἀσσυρίων στρατεύματος.

83. Κνιδου] Περὶ Κῶς[n] ἡ Κνίδος· τὸ παλαιὸν δὲ μέχρι καὶ περαιτέρω ἦν ἡ τῆς Κύπρου[o] ἀρχή.

84. Τῷ Κύρῳ τῷ μικρῷ τῷ υἱῷ Δαρείου καὶ Παρυσάτιδος.

[a] ἠρώδοτον B. [b] ἔνεδρι B. [c] μακ... Codd. [d] ἀναμφισβήτως Dubner. λου... καίπερ ὄ?θως καὶ ἀ... γράφοντι B. [e] κὼς B. [f] τούτ Codd. [g] ἐνοῖν τετ^τι^αρ B. [h] Ξύλ ω A. [i] πρίτανιν B. [k] ἀπασο γὰρ ἄτλ^τ^η. B. [l] ὑπ**προφυγὼν A. [m] Sic A. προφυγὼς Θούριον δ' ἄστριν B. [n] κῶν A. [o] κύποου B.

131. Τὴν ἄγκυραν γίνωσκε τοῦ πλοίου λέγειν
τὴν κυ βραχύνων, τὴν δὲ ρα μακρὰν γράφων.
Ἄγκυραν εἰ γράφεις δὲ τὴν πόλιν πάλιν,
μήκυνε τὴν κυ, τὴν δὲ ρα βράχυνέ μοι.

144. Κανδαύλην]
Μυρτίλος ὁ Κανδαύλης δὲ τὴν κλῆσιν ἐκαλεῖτο·
τὸ δὲ Κανδαύλης Λυδικῶς τὸν σκυλλοπνίκτην λέγει[p]·
ὥσπερ Ἱππῶναξ δείκνυσι γράφων ἰάμβῳ πρώτῳ[pp]·

Ἑρμῆ κυνάγχα, Μῃονιστὶ Κανδαῦλα,
φωρῶν ἑταῖρε, δεῦρο τί μοι σκαπαρδεῦσαι[q]·

Ἡ τοῦ Μυρτίλου τούτου δὲ γυνὴ, τοῦ καὶ Κανδαύλου,
παρὰ Αἰνείᾳ φέρεται Σαμιακοῖς[r] ἐν λόγοις
Νυσσία κλῆσιν ἔχουσα, πρὸς Τερτύλλαν ὡς γράφει
τις Πτολεμαῖος ἅμα τε καὶ Ἡφαιστίων κλῆσιν.

201. Κοισύρας] Ἡ Κοισύρα γυνὴ Πεισιστράτου[s]· γένους Ἐρετρικοῦ· εὐγενεστέρα πο...[t] ὧν μήτηρ[u] κατά τινας ... τοῦδε τοῦ μυρακλέους[v] καθ' ἑτέρους[w] δεσπότις.

233. Κόσσυβος ἡ ὤα, ἤτοι τὸ μαργέλλιον τῶν ἐνδυμάτων· ὤα δὲ ἐλέγετο, ὅτι ἐκ δερμάτων οἰῶν ἐρυθρῶν ἢ ἑτεροχρόων τὰ μαργέλλια ἐγίνοντο.

Κρώβυλλος δὲ ἐστὶ μιτρῶδες τί πλέγμα τὰς τῆς κεφαλῆς τρίχας ἀναδέον· ὃ πλέκτην καλοῦσιν ὁ δημώδης λεώς· τὸ παλαιὸν δὲ Λακώνων παῖδες καὶ Ἀθηναίων πλοκαμίδας ἐφόρουν· οἱ δὲ τῶν Ἀθηναίων ἐπὶ ταῖς πλοκαμίσι καὶ τέττιγας χρυσᾶς[x] εἶχον· δεικνύντες ὅτι τελοῦσιν ἐγχώριοι καὶ οὐ μέτοικοι· καὶ γὰρ ὡς φασὶ καὶ ὁ τέττιξ γῆς παῖς.

300. Στίχοι Νικάνδρου πέντε, τὸ δὲ σχῆμα τοῦτο κατὰ μὲν ποιητὰς, ἐπένθεσις, κατὰ δὲ ῥήτορας κόλλησις καλεῖται· οἶδα δὲ τούτων διαφορὰν, ἀλλ' οὐ ῥητορικὴν νῦν τέχνωσιν γράφω, ὡς ἀκριβῶς ταῦτα διδάσκειν.

p λέγειν B. pp Cf. Welcker. Hippon. Fr. Choliamb. XVIII. pp. 46, 47. q σκαπαρδεῦσαι Codd. (συμμαχῆσαι) r Σακιακοῖς A. s π . . ιστράτου B. γυνὴ τ..... A. t Sic B. ἐρετρι.... γενεστέρα πο. A. u Sic A. ὧν μης κατάτικας B. v τοῦ μι .... A. w καθ' ἑτέροι A. καθ' ἑτέρος B. x χρυσοὺς B.

303. Ὀδρυσσῶν] Σημείωσον τρία γένη Θρᾳκῶν· Ὀδρυσσοὶ, Μελινοφάγοι, καὶ οἱ Σκύθαι· ὁ δὲ Ξενοφῶν ὑπὲρ Βιθυνίαν ἑτέρους Θρᾷκας φησί.

337. Ἀγλαοφήμην, Ἀγλανόην, καὶ Θελξιέπειαν.

385. Μηθυμναῖος] Οἳ δ' ἀκριβέστεροι Ἀντισσαῖον τοῦτον φασίν.

393. Τὸν ἐπὶ δελφῖνος[y] σωτηρίαν Ἀρίονος[z] πάντων πραγματικῶς[a] λέγο... γεγονέναι, ο..., τὸ μόνος ἠλλοιόρησα[b]. ἔστι δὲ πραγματικῶς γεγονυῖα, ὡς οἱ πάντες διατείνονται· καὶ τῷ ἐπὶ Ταινάρῳ ἐν χαλκῷ δελφῖνι Ἀρίονος αὐτοῦ ἐπίγραμμα δηλοῖ, καὶ ὁ εἰς Ποσειδῶνα ὕμνος τοῦ ἀνδρός· ὃ ἐπίγραμμα καὶ σημείωσαι, ἵνα ἐξ αὐτοῦ γινώσκοις[c], ὅτι Ἀρίονος τὸ ο μικρὸν δεῖ γράφειν, ὡς τὸ Πανδίονος, Ἰξίονος, καὶ τὰ ὅμοια, καὶ οὐχ ὡς οἱ βούβαλοι σχεδεκδόται μέγα· εἰ μήπου Ἀρίων ὁ πρῶτος ἁπάντων τῶν τραγικῶν αὐτὸς ἑαυτὸν οὐκ ἐγίνωσκε, πῶς δεῖ γράφειν.

Ἀθανάτων πομπαῖσιν Ἀρίωνος Κύκλονος υἱὸν
ἐκ Σικελοῦ πελάγους σῶσεν ὄχημα τόδε.

τοῦ ὕμνου δὲ ἡ ἀρχὴ δὲ αὕτη·

Ὕψιστε θεῶν,
πόντιε, χρυσοτρίαινε[d]
Πόσιδον, γαιήοχε,
ἐγκύμου ἁλμὰς βράγχια
περὶ δέ σε πλωτοὶ
θῆρες χορεύουσι κύκλῳ,
κούφοισι ποδῶν ῥιπάσμασιν[e]
ἐλαφρὰ ἀναπαλλόμενοι.

609. Εἶπον "με ἀπείργοντα" νῦν δὲ "καθείργεις·" τοῖς ἀμαθεστέροις τῶν νέων λυσιτελέστατος γίνομαι, ἐκ τούτων πάντων δεικνὺς ὅτι τὸ εἵργω καὶ ψιλοῦται καὶ δασύνεται, τῶν Ἀττικῶν μὲν αὐτὸ δασυνόντων, τῶν δ' ἄλλων πάντων ψιλούντων.

[y] δελφῆδος B. [z] . . ιονος A. . . . ονος B. [a] π . . γματικῶς A. πι . . . . ματικῶς B. [b] Sic B. ἠλλ . . ό . ρησα A. Leg. ἠλληγόρησα. [c] γινώσκεις B. [d] χρυσοτρίμινε Cod. B. [e] ῥιάσμμασιν B.

619. *Λυρικὸς γὰρ ὢν ποιητὴς οὗτος ὁ Σιμωνίδης ἐκ νεότητος μέχρις ὀγδοήκοντα ἐτῶν, ἐνίκα ἐν τοῖς ἀγῶσιν Ἀθήνῃσιν, ὡς καὶ τὸ ἐπίγραμμα δηλοῖ·*

Ἦρχεν Ἀδείμαντος μὲν Ἀθηναίοις, ὅτ' ἐνίκα
φυλὴ Ἀντιοχὶς δαιδάλεον τρίποδα.
Ξεινοφίλου δέ τις υἱὸς Ἀριστείδης[f] ἐχορήγει
πεντήκοντα ἀνδρῶν καλὰ μεθόντι χορῷ·
ἀμφὶ διδασκαλίῃ δὲ Σιμωνίδῃ ἕσπετο κῦδος
ὀγδωκονταετεῖ παιδὶ Λεωπρέπεος.

φασὶ δὲ αὐτὸν μετὰ τὴν νίκην πλεῦσαι πρὸς Ἱέρωνα ἐν Σικελίᾳ, καὶ μετ' ὀλίγον ἐκεῖ τελευτῆσαι.

682. Στησιχόρου μέλος] Τινὲς Φρυνίχου τοῦτο φασὶν, ἕτεροι δὲ Λαμπροκλέους.

Ἀννίβας] Τῆς Ἀφρικῆς ἦν στρατηγός· ἐπεκτήσατο δὲ καὶ Σικελίαν.

704. Ἰβήρων] Τῶν Ἰσπανῶν Ἰβήρων· τῶν Ἑσπερίων δὲ λέγω, τῶν ἔγγιστα Κολχικῆς, οἵπερ τῶν Ἰσπανῶν[g] Ἑσπερίων Ἰβήρων εἰσὶν ἄποικοι.

760. Ἀργυρίππαν] Ἀγρίππα νῦν Βενβεντὸς καλεῖται.

765. Λογκιβάρβων· βάρβους γένειον, λόγκι μακρὸν τυγχάνει.

793. Τοῖς Σικελοῖς] Γρ. καὶ τοῖς Ἀφρικοῖς.

799. Πρός τι χωρίον Λίβυσσαν· τὸ νῦν καλούμενον τὰ Βουτίου, ὡς Ἀῤῥιανὸς ἐν Βιθυνιακοῖς γράφει.

876. Ὦ νῆες στρατιώτιδες ἦσαν] Αἰσχύλος ἐν δράματι Πέρσαις χιλίας διακοσίας ἑπτὰ φησὶν εἶναι τὰς Περσικὰς ναῦς· τὰς δὲ Ἑλλήνων τριακοσίας δέκα.

890. Διακοσίας μὲν πληγὰς] Γράφε καὶ οὕτως,

"διακοσίαις μὲν πληγαῖς πλήττει θαλάσσης ὕδωρ."

892. Πρὸς πέλαγος θαλάττιον] Τὸ σχῆμα πρὸς τὸ σημαινόμενον καλεῖται· τὸ γὰρ θαλάττιον πέλαγος τὴν θάλασσαν δηλοῖ.

[f] Ἀριστείδοις B. [g] σπανῶν B.

CHIL. II. 34, 35. Τραϊανὸς οὐκ Ἰταλός] Ἰταλοὶ καὶ Σικελοὶ καὶ τὰ ὅμοια, οἱ φύσει τοῦ ἔθνους ἐκείνου ὑπάρχοντες· Ἰταλῶται δὲ καὶ Σικελιῶται, οἱ πρὸς αὐτοὺς ἐξ ἀλλοεθνῶν μετοικήσαντες.

76. In marg. leg. καὶ θύων ἐπινίκια. Ed. Kiessl. καὶ τούτων ἐπιν.

78. Ἀδριανός] Πολλὰς βίβλους Ἀδριανὸς αὐτοκράτωρ συνεγράψατο· ὧν τί λέγειν ἐατέον· ῥητέον δὲ δι' ἐπῶν αὐτοῦ εἰς τὸν Ἕκτορα ἐπιτάφιον.

Ἕκτορ, ἀρήϊον (Cod. ἀῤῥήιον) αἷμα, κατὰ χθονὸς εἴπου ἀκούεις,
στῆθι, καὶ ἄμπνευσον βαιὸν ὑπὲρ πατρίδος.
Ἴλιον οἰκεῖται κλεινὴ πόλις, ἄνδρας ἔχουσα
σοῦ μὲν ἀφανωτέρους, ἀλλ' ἔτι ἀρηϊφίλους.
Μυρμιδόνες δ' ἀπόλοντο· παρίστασο, καὶ λέγ' Ἀχιλλεῖ·
Φαρσὰ[λος] κεῖται χερσὶν ἐπ' Αἰνεάδη.

265. Ἔλαφον τὴν χρυσοκέρων] Οἱ ἄρσενες τῶν ἐλάφων, οὐ μὴν αἱ θήλειαι, κέρατα φέρουσιν· ἡ δὲ τῆς Ταϋγέτης ἔλαφος αὕτη τερατώδης ἦν κέρατα ἔχουσα.

299. Ἵππους τοῦ Διομήδους] Διομήδης οὗτος υἱὸς ἦν Κυρήνης καὶ Ἄρεος, βασιλεὺς Βιστόνων Θρᾳκῶν, ἤγουν τῶν Βισαλτίων, οὓς οἱ ἄγαν ἀμαθεῖς καὶ σύρφακες Ζαβαλτίους καλοῦσιν.

307. Πρὸς Εὐρυσθέα τὸ λοιπὸν] Τολοιπὸν οἱ νῦν σοφοὶ, ὡς καὶ τὰ ὅμοια τούτῳ, οὐ βαρύνουσι· ἐγὼ δὲ οὐδέποτε ἐφευρὼν τὸ τολοιπὸν, τοῦ τολοιποῦ, τὸ λοιπὸν βαρύνω καὶ τὰ ὅμοια τούτῳ.

317. Ὁ δ' Ἡρακλῆς] Γράφε καὶ οὕτως·

ὁ δ' Ἡρακλῆς ὡς πρὸς αὐτὴν Θεμίσκυραν ἐκπλεύσας.

560. Ὁ Μίλων] Τέθνηκε λύκοις βρωθείς· δρῦν γὰρ ἐσφηνωμένην[h] εὑρὼν ἐν ὄρει, ἀποσχίσαι[i] χερσὶ ταύτην μέλλων, τοῦ σφηνὸς πεσόντος, καὶ κρατηθεισῶν τῶν χειρῶν, κατεβρώθη.

598. Κανθηλίους] Τινὲς τοὺς ὄνους φασίν· εἰσὶ δὲ οἱ παρὰ[k] τῶν ἡμιόνων· ἢ καὶ ὄνων φερόμενοι μείζους κόφινοι.

[h] σφηνωμένην B. ἐσφηκωμένην A. [i] ἀπαισχίσαι B. [k] παρδαὶ A.

648. Ἐκ τοῦ θυμοῦ τοῦ πρέποντος] Ἀπὸ μεταφορᾶς τῆς θαλάσσης, ἥτις οὐκ ἀεὶ κυματοῦται, ἀλλ' ὅταν αὐτῇ προσβάλλουσιν ἄνεμοι.

716. Ἱππόδαμον] Ἱπποδάμος ἐνεργητικῶς, ὁ ἱππικὸς καὶ δαμάζων ἵππους· ἱππόδαμος δὲ παθητικῶς, ἢ ὁ δαμασθεὶς, ἢ δαμαζόμενος ὑφ' ἵππων.

811. Ἀρτίως] Καταχρηστικῶς εἶπεν ἀρτίως ἀντὶ τοῦ ἄρτι· τὸ μὲν γὰρ ἄρτι ἐπὶ τοῦ νῦν λαμβάνεται, τὸ δὲ ἀρτίως τὸ ὁλοκλήρως καὶ ὑγιῶς σημαίνει.

870. Ἀσσυρίου] Ἀσσύριοι οἱ Χαλδαῖοι, ἤτοι οἱ Μῆδοι λέγονται· νῦν δὲ καταχρηστικῶς Ἀσσυρίου ἀντὶ τοῦ Σύρου.

901. Μελιτῶνος] Σημείωσον· οἱ δὲ Μέτωνος φασί.

CHIL. III. 11. Ἀρτάβη] Μέτρον[l] τέσσαρας δυνάμενον μεδίμνους.

35. Πύθιος—Διόδωρος δὲ Λυσιθείδη τοῦτον φησί.

58. Στίχοι ἐμοί· ὅτε ταῦτα ἔγραφον, ἔτι κατεχρώμην τοῖς διχρόνοις ὡς οἱ βούβαλοι· κατ' ἔκθλιψιν δὲ αἱ ἓξ ἀπὸ τρις πάτω ὡς τὸν φάρυγγα φάρυγα.

83. Ὁ Ἀσσυρίων βασιλεὺς—μᾶλλον δὲ Αἰγύπτιον.

103. Ὁ Κάτων—ἐν τῇ κοσμικῇ αὐτοῦ ἱστορίᾳ.

125. Παρθένον Ἑστιάδα] Αἱ Ἑστιάδες ἱέρειαι τῆς Ἑστίας ἦσαν παρὰ Ῥωμαίοις παρθένοι· ὧν ἐνώπιον οὐδεὶς ἐτόλμησε πώποτε αἰσχρορημοσύνην εἰπεῖν· ταῖς ἱερείαις γοῦν ταύταις ἀνδρωθείσαις, ἤτοι φθαρείσαις, ἐπιτίμιον τῆς φθορᾶς ὑπῆρχε θάνατος.

186. Καὶ τῷ φιλοκερδέστατος] Ἀφιλοχρηματώτατον[m] τὸν ἄνδρα εἰδὼς ἐκ τῶν σταλέντων ἐκ Βρεττανίας χρημάτων αὐτῷ, ἐπείσθην τοῖς ἀσκόπως ληροῦσι, φιλοχρήματον τοῦτον εἰπεῖν· οἰκονομικῶς τοὺς γεγηρακότας τῶν αὐτοῦ ἀπεμπολοῦντα βοῶν.

[l] μέτρων B. [m] ἀφιλοχρημώτατος A.

Τὸ νῦν· τὸ ἤδη· καὶ τὸ ἄρτι ἐπὶ τῶν τριῶν χρόνων λαμβάνονται, ὡς τὸ

νῦν ὤλετο πᾶσα κατ' ἄκρας
Ἴλιος αἰπεινὴ

καὶ

νῦν γὰρ δὴ γένος ἐστὶ σιδήρεον·

καὶ ἐπὶ μέλλοντος·

νῦν δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει.

Σταλεὶς ἐκ Μαυρικίου] Ἐκ Πρίσκου τοῦ στρατηγοῦ τοῦ Μαυρικίου.

266. Τὸ Ἀχιλεὺς αὐτὸς δι' ἑνὸς λ γράφω.

319. Ἱπποδρομίας] Ἐν τῷ ἱππικῷ μὲν ὁ δῆμος ἐπεβόησε πρὸς τὸν ὠθήσαντα τὸν Βενέτων δήμαρχον καὶ ῥίψαντα· Ὕπατε μάθε τὴν κατάστασιν· ὁ Μαυρίκιος ζῇ· καὶ θυμωθεὶς ὁ Φωκᾶς, πέμψας ἀπέκτεινεν αὐτὸν ἐν τῷ τόπῳ οὗ διῆγεν.

360. Στενώτατος, ξενώτατος, κενώτατος καὶ τὰ ὅμοια μέγαλα γράφε, Αἰολικῶς δὲ μικρὰ, ὅτι διὰ δύο νν γράφεται στεννότατος, ξεννότατος κεννότατος· οἱ δὲ μικρὰ ταῦτα γράφοντες ἄλλως φλυαροῦσιν.

431. Τὸν Νεῖλον]

ἀντ' Εὐφράτου Νεῖλον μὲν ἐκ λήθης ἔφην,
Νεῖλον νοῶν ἅπας δὲ τῶν Αἰγυπτίων.
τὸν Εὐφράτην γίνωσκε, Μηδίας ὁρῶν
πρὸς τὴν πόλιν ῥέοντα τὴν Βαβυλῶνα μέσην.

537. Σοῦσα] Πόλις Περσική· δηλοῖ δὲ τὰ λείρια, τὰ κρίνα.

614. οὐχ ὡς] Οὐκ ἔστι καὶ οὐχ' ὡς καὶ οὐχ' οὕτως· ἀπόστροφον οὐ δεῖ γράφειν· χάριν γὰρ εὐφωνίας περισσῶς ἐτέθη τό τε κ καὶ τὸ χ· καὶ ἀντί τινος πεσεῖται ἡ ἀπόστροφος· κἂν τις βούβαλος ἐν τῇ Διονυσίου γραμματικῇ προσέθετο φλυαρῶς· ὡς τὸ

οὐχ' οὕτως οἱ ἀσεβεῖς, οὐχ' οὕτως,

ὅσα τε ληρεῖ.

624. Εἶπεν ἐκτομίαν πεποιηκέναι, δηλονότι ὡς πειράσαντα τὴν παλλακίδα.

Θιγῶν περισπωμένως νῦν Ἀττικωτέρῳ τρόπῳ.

832. Καπετώλιον] Σημείωσαι[n] τὴν ἀκρόπολιν· τὸ κουλὰ καπὶτ δὲ οἱ Ῥωμαῖοι τὴν κεφαλὴν[o] καλοῦσιν· ἐκρωμένη[p] γὰρ ἔκειτο καπὶτ, ἤγουν ἡ κεφαλὴ Ὤλου τοῦ τυράννου.

862. Κορβῖνος] Τὸν κόρακα κορβίνον καλοῦσι Ῥωμαῖοι.

871. Ἐν χρόνοις Ἀντωνίου] Ἢ Ἀδριανοῦ τοῖς χρόνοις γράφε, Ῥωμ. ἡττηθ.

941. Τὸν Ἰνδόν] Ἕτερος Ἰνδὸς ἑβδομηκοντάπηχυν ὄφιν εἶχεν· οὗ τὸν ὀφθαλμὸν[q] εἶδεν Ἀλέξανδρος· τὸν[r] δὲ τοῦ Ἀποσισάρους οὐκ εἶδεν, ἀλλ' ἐπιθύμει ἰδεῖν.

950. Ὄνομα κύριον λέγεται Ζειποίτης, καὶ ὁ περιχύτης, ὡς τὸ ζέον ποιῶν.

954. Λέοντα] Τὸ ἐκ περιουσίας ὅμοια ἐπάγειν παραδείγματα, χωρίων ἐπαγωγὴ καλεῖται.

Chil. IV. 92. Περὶ Ἐλεφάντων. **Deest. hist. in Cod. sed ad marg. hæc adscripta sunt:** οὓς ἐπὶ τῶν ἐλεφάντων, οὐκ ὀδόντας ἀλλὰ κέρατα καλοῦσιν· οὕτως οὐδ' ἐλέφας[s] θῆλυς Ἰνδὸς ὀδοντοκέρατα ἔχει, ὥς φησιν Ἀμυντιανὸς[t] ἐν τῷ[u] περὶ ἐλεφάντων· "Αἰθιόπων δὲ καὶ Λιβύων ἐλέφαντες "ἄῤῥενες τὲ καὶ θήλεις[v] πάντες ὀδοντοκέρατα ἔχουσιν."

175. Σημείωσον· ὅτι Ὀρφεὺς ἀκρόδρυα πᾶσαν ὀπῶραν καλεῖ· Γαληνὸς δὲ καὶ οἱ τὰ φυτουργικὰ συνταξάμενοι ἀκρόδρυα φασὶ τὰ σκέπην ἔχοντα, οἷον, ῥοιάς, κάρυα, ἀμυγδάλας, καὶ εἴτι ὅμοιον· ὀπώρας δὲ τὰ ἀσκεπῆ, ὡς μῆλα, ἀπίους[w], καὶ τὰ ὅμοια, ἀμυγδαλᾶς δὲ τὰ δένδρα.

245. Αὐγείας ὁ κύων ἐκαλεῖτο, ὅτι Αὐγείας αὐτὸν ἐδωρήσατο Εὐπόλιδι.

333. Τῷ Μακεδόνι Πίνδος παῖς] Ἕτεροι[x] δὲ ἐκ Μακε-

[n] om. A. [o] καὶ κεφ. B. [p] ἐκ Ῥώμης Dubn. [q] τοὺς ὀφθαλμοὺς B. [r] τοὺς B. [s] οὐδὲ ἐλέφας A. [t] ἀμηντιανὸς B. [u] τὸ B. [v] θείλεις B. [w] ἀπίθους B. [x] ἕτερος B.

δόνος, υἱοῦ Ὀσίριδος, φασὶ Μακεδονίαν κληθῆναι· ἄμεινον δὲ τοῦτο.

344. Ἦ καὶ πάρνοπα] Πάρνοψ εἶδος μυώδους ζωϋφίου[x] μέσῳ τῆς ῥάχεως ἔχον λευκὴν ζώνην.

SCHOLIA AD EPISTOLAS.

EPIST. AD LACHANAM. 526. Ἐμπεδοκλῆς Μελιτῶνος] Οἱ μὲν Μέτωνος, οἱ δὲ Μελιτῶνος φασί.

Τῷ εὐλαβεστάτῳ Διακόνῳ Κυρίῳ Ἐπιφανίῳ τῷ ἀνεψιῷ τουσίδης.

Βεκκεσέληνοί τινες·

Βέκος, τέκος, πέκος τε σὺν τούτοις ἅμα,
ἐν κάππα σε χρὴ τεχνικῷ λόγῳ γράφειν·
Αἰολεῖς γράφουσι κάππα δ' αὖ δύο.

Ἀσμένως] Ἥδω ἥσω, ἥσμενος καὶ ἄσμενος· τὸ δὲ
οὐκ ἀσμένη τὸν ἐξ ἐμοῦ δέχῃ λόγον.
Ἰώνων καὶ Αἰολέων.

Περιτιάρα] Περιτιάρα, κίδαρις, περικεφαλαία λευκή, περιτιάριον.

(TZETZ. VERS.)

Οὐ γὰρ ἐμὸς πέφυκε ταρβήμων νόος
οὐδ' ἀχαριτόγλωττος εἰμὶ πρὸς λόγους·
ἀλλ' οἶδα νωμᾶν εὐφυῶς τὴν ἀσπίδα·
οἶδα κραδαίνειν δεξιῶς ἄγαν δόρυ·
ἐλῶ τὸν ἵππον, οὐ πέφρικα τὸν κτύπον·
τῇ συστάδην γέγηθα τῶν ἄλλων πλέον·
καὶ τόξα τείνων, οὐ πτοοῦμαι τὰς μάχας.

Ἀχαριτόγλωττος—καὶ ἐν[y] τῶν δασέων ἐκτείνει ὡς παρ' Ἱππώνακτι[z] τόδε,

ἥν αὐτὸν ὄφις τὠντικνήμιον δάκοι[a]

[x] ζωιφίου B. [y] ἧν B. [z] ἱππόνακτι Codd. ἱππόνακτιτο. B. (δ over το)
[a] Cf. Welcker Fr. Hippon. Choliamb. VII. p. 30.

καὶ παρ' Αἰσχύλῳ· (Choeph. 1046.)

φαιοχίτωνες[b], καὶ πεπλεκτανημέναι
δεινοῖς δράκουσιν· οὐκ ἔτ' ἂν μείναιμ' ἐγώ.

οὕτως ἔχεται τοῦτο καὶ κανόνος· τὸ δὲ πλέον ὅτι τότε καὶ διχρόνοις κατεχρώμην, ὡς οἱ βούβαλοι· ὅθεν ἀβοήθητον δίχρονον ἐστὶν ἐν αὐτοῖς· τὸ ἀχαριτόγλωττος τὸ ρι.

Chil. IV. 788. Ψαμμήτιχος—

Ψαμμέτιχος[c] λέγουσιν Αἰγύπτου γόνος·
Ψαμμήτιχος δι' ἦτα λοιπὸν γραπτέον,
καθὼς ἔχει πᾶν τῶν[d] παλαιῶν βιβλίων.
ἰῶτα δ' οἳ γράφουσιν Ἑλλήνων λόγοις,
κακῶς γράφουσιν· οἷς ἐπείσθην εἰς μάτην.

883. Ἐπενδύτην] Νῦν τὸ ἐπανωφόριον[e]· ὃν δὲ ὁ Πέτρος ἐπενδύτην διεζώσατο τὸ ὑποκάμισον (ἐπι) ἐστί.

890. Ἀκανθίδων] Ἀκανθὶς ὁ στραγαλῖνος, παρὰ τὸ ἐν ἀκάνθαις διάγειν· λέγεται δὲ καὶ ἄκανθος.

893. Ἀνδρείᾳ] Ἀνδρία δὲ γυνὴ ἡ ἀπὸ τῆς Ἄνδρου νήσου, ὡς ὁ Ἄνδριος, ἰῶτα· τοῖς μώροις δὲ μὴ πείθου.

912. Τίς ἀλληγορικῶς ὁ Ἅδης καὶ ὁ Κέρβερος· καὶ ἡ Κόρη, ἣν ὁ Πειρίθους τε καὶ Θησεὺς ἁρπάζειν μέλλοντες συνεσχέθησαν· καὶ Πειρίθους μὲν κατεβρώθη, ὁ δὲ Θησεὺς ἐσώθη παρ' Ἡρακλέους· κατ' Εὐριπίδην σώζονται καὶ οἱ δύο.

Chil. V. 89. Θάλπει ἀναξύριδος] Ἄνευ βράκκου· οὕτω γάρ φησιν ὁ Ξενοφῶν ἐν τῇ Κύρου Ἀναβάσει· "ἀναξύριδας, "οὓς καλοῦσι βράκκας."

111. Δωδεκετῶς] Καθ' ἑτέρους, ἐνιαυτοῖς καὶ μησὶν ὀκτὼ Ἡρακλῆς ἐξετέλεσε τοὺς ἄθλους.

178. οὗτος ὁ Διονύσιος] Οὐκ οὗτος ὁ βασιλεὺς ἀνεγίνωσκε ταύτας ἐν Ἀθήναις, ἀλλ' ἕτερός τις.

[b] φαινοχίτωνες B. [c] Sic Codd. [d] πάντων B. [e] ἐπανοφόριον B.

SCHOL. AD EPIST. UNIV.

Epist. III. *Χάριν καταχρηστικῶς ἀντὶ τοῦ ἕνεκα.*

Epist. IV. *Τῆς παρούσης ἐπιστολῆς ἡ ἰδέα σεμνότης γλυκύτητι διόλου συγκεκραμμένη.*

Τὰ διθυραμβώδη ταῦτα μόνοις τοῖς ἀστεΐμασι εἰσὶ προσφυῆ· καὶ κωμῳδίων τοῖς συγγράμμασι, καὶ εἴτις οἶδε τὰ νῦν λυρικὰ γράφειν ποιήματα· ἀπρόσφορα[f] *καὶ γελοῖα ταῖς λοιπαῖς συγγραφαῖς.*

Τ' ἄλλα—

Ὄξυνε τ' ἄλλα, μὴ περίσπα δυστέχνως·
ἐκ γὰρ βαρείας πρῶτον ὀξείας μετὰ[g]
τὴν σύνθεσιν εἴληχεν· οὐ τοὐναντίον.
ἅπαν δ' ὅπερ σχῇ σύνθεσιν τοίαν φέρειν,
εἴτ' ἐκ βαρειῶν σύνθεσιν ἔχει, δύο,
ὀξὺν, βαρὺν φέρουσιν ἐντέχνως τόνον.
τ' ἄλλα μὲν αὐτὸ καὶ βεβὼς, ἑστὼς, λέγω·
Ἡρακλέης δ' αὖ Ἡρακλῆς· Θαλῆς ἅμα,
καὶ πᾶν ὅπερ εἴληχεν ὀξεῖαν φέρειν,
εἶτα βαρεῖαν, τὸν περισπῶντα τόνον
ἀσπάζεται κάλλιστα τεχνικῷ λόγῳ.

Ταντάλειον] *Στίχοι Εὐριπίδου·*

Πέλοψ ὁ Ταντάλειος εἰς Πίσσαν μόλων. (Iph. T. 1.)

Λεπρέου] *Τόπος τὸ Λέπρεως νῦν δὲ τὸ λέπρεως τὸ λέπρον λέγω ἀπὸ εὐθείας, τῆς ὁ λέπρεος, τοῦ λεπρέου.*

Ὀσμίλον] *Ἡ καλουμένη ὄζαινα· ὀσμύλος ὄνομα ἰχθύος, τοῦτο δὲ τάχα ὡς κύριον ὄνομα, ὡς τὸ Τρωΐλος· Ζωΐλος, ἔγραψα δι' ἰῶτα.*

Βασιλέως τῶν Ἀσσυρίων Ὀσίριδος] *Λήθη γέγονεν· Αἰγύπτιος γὰρ ἦν βασιλεὺς ὁ Ὄσιρις.*

Ὁ τοῦ Πορσέννα τοῦ Τυῤῥηνοῦ γραμματεὺς] *Κλούσινος ἐκαλεῖτο τοῦ Πορσέννα γραμματεὺς, καθὰ φησὶ Δίων*[h].

Τὴν Κανδαύλην πάλιν γυναῖκα—seq. id. fere schol. quod habetur Chil. I. 144.

[f] *ἀπρόσφορς* ... Cod. A. *ἀπρο*ς (φε above) B. [g] *μέτρον* B. [h] *δίωνι.* B.

EPIST. IX. Ἀπόροις] Ἀπόροις τὸ α βραχὺ, μακρὸν κακῶς ἐγραψάμην αὐτό· ἔτι γὰρ αὐτὸς εἰπόμην τοῖς βουβάλοις.

EPIST. XIII. Κλειταρχικῶς] Σημείωσαι ὑπερβολικὸν λόγον Κλειτάρχου.

Γραμματεῖα] Γραμματεῖον ὁ χάρτης, ἤτοι τὸ πιττάκιον· γραμμάτιον δὲ ἡ γραφή.

Διωχθεὶς] Τοῦτο τὸ χωρίον ὅλον μεθόδῳ δεινότητα διδάσκει· πότε δεῖ ψεύδεσθαι ῥήτορας· ἤτοι ὅταν συμφέρῃ τοῖς ἀκούουσιν· ὡς[i] νῦν τούτῳ[k]· ἐμοῦ γὰρ αὐτὸν ἐκβαλόντος[l] τῆς ἐγκλείστρας, φημὶ ὅτι τὸ σὸν ἐπίταγμα πτοηθεὶς ὑπεχώρησεν.

Ἐγκλείστραν] Τὰ εἰς ρα θηλυκὰ μονοφθόγγῳ παραλήγοντα ἐκτείνει τὸ α· χώρα, ὥρα, χήρα· διφθόγγῳ δὲ, συστέλλει αὐτὸ, μοῖρα, σπεῖρα, καὶ τὰ ὅμοια· τὰ δὲ μετ' ἐπιπλοκῆς συμφώνων, εἴτε μονοφθόγγῳ, εἴτε διφθόγγῳ παραλήγοντα, ἐκτείνει τὸ α, οἷον φλέγρα, φαίδρα, ἐγκλείστρα, πέτρα, καὶ τὰ ὅμοια.

Μεγαλόπολιν] Μηδέποτε μεγαλούπολιν γράφε[m], ἢ Κωνσταντινούπολιν, ἢ Φιλιππούπολιν, ἀλλὰ Μεγαλόπολιν, Κωνσταντινόπολιν, Φιλιππόπολιν, καὶ τὰ ὅμοια· οὐ γὰρ ἦν ἡ γενικὴ τοῦ Μεγάλου, ἢ Κωνσταντίνου, ἢ Φιλίππου, καὶ τὰ ὅμοια, ὥσπερ τὸ Ἀδριανοῦ, ὅθε καὶ Ἀδριανούπολις γράφομεν, καὶ τὰ ὅμοια.

EPIST. XV. Χρόνον τὸν πέρυσι κωλύμην
πάντες ψιλὸν καὶ ι γράφουσι· Τζέτζης δὲ
ἀπὸ τοῦ περισεῦσαι καὶ ἐκδραμεῖν ἐτυμολογούμενον,
εἰδὼς τὸ πέρισυ ι καὶ ψιλὸν γράφει·
Τζέτζου τὸ λοιπὸν τεχνικοῖς πείθου λόγοις·
οἱ βάρβαροι δὲ ταῖς γραφαῖς ταῖς βαρβάροις·

οὕτω δὲ ἐτυμολογεῖται καὶ τὸ ἐχθὲς, ἀπὸ τοῦ ἐκθεῦσαι καὶ ἐκδραμεῖν Ἀττικῶς δασυνθέν· Ἴωνες ἐκκόψαντες ε χθὲς φασί δε.

EPIST. XVIII. Σερβηλίων] Σερβίλιος καὶ τὰ τοιαῦτα Ῥωμαϊκὰ πάντες η γράφουσι· Τζέτζης δὲ[n] ι, ὡς εἰδὼς τοὺς Ῥωμαίους, μήτε η, μήτε αι δίφθογγον[o] γράμμα, μήτε ω μέγα ἔχειν.

[i] ὁ B. [k] τού. B. [l] ἐκβαλλόν. B. [m] ψράψης B. [n] ἢ ΐ B.
[o] διφθόγγους B.

Νείλιον] Νεῖλος, νείλιου, δίφθογγον καὶ ι· Νηλεὺς, Νήλειον, η καὶ δίφθογγον.

Epist. XX. Ὕδωρ ἐσθίειν] Ἄρτον καὶ ὕδωρ ἐσθίειν, ἔλλειψις τὸ σχῆμα· ἄρτον ἐσθίειν, λείπει δὲ καὶ τὸ ὕδωρ πίνειν· ὡς παρ' Ὁμήρῳ, ἵπποι ἀερσίποδες.

Epist. XXI.

Γράφων σὺν ε ψιλοῦ δ' ἅμα . .
ὡς τῆμος, ἦμος ἐκκοπὲν δασὺ θέλει·
τροχαϊκὸν τελοῦν δὲ τὴν ψιλὴν φέρει·
οὕτω δασὺ ψίλου μὲν, ὡς Τζέτζης λέγει,
σοὶ τεχνικὸν δοὺς ἀκριβέστατον λόγον·
τοὺς πανσόφους ἔα δὲ τοὺς σχεδεργάτας·
ἴσασιν οὐδὲν ὧν δοκοῦσιν εἰδέναι.
φέρουσι τὴν κλῆσιν δὲ τῆς τέχνης μάτην·
τοὺς τεχνικοὺς γὰρ οὐκ ἐπίστανται λόγους.

Epist. XXVIII. Παραμυθητικὴ, συντρέχει δὲ πρότερον τῷ πένθει· καὶ οὕτω παρηγορεῖται· πρὸς γὰρ τὰ κεκρατηκότα πάθη, οὐ χρὴ ἀντιτείνειν.

Epist. XXIX. Τὸ λαρινὸν] Λαρινὸν τὸ μέγα ἀπὸ Λαρινοῦ τινὸς εὐμεγέθους· εἰσὶ δὲ καὶ Λαρινοὶ βόες μεγάλοι ἀπὸ τόπου τινός.

Epist. XXX. Σελαγησμῶν] Σελαγισμὸς Ἀττικῶς ι.

Epist. XXXIII.

Ἑσπέριον φιλέῃσιν, ἀτὰρ στυγέῃσιν ἑῷον.

Στίχος Καλλιμάχου.

Epist. XLVII. Ἐπιτίμηται, καὶ ἐλεγκτικὴ[p] καὶ δριμύττουσα, καὶ βαρύτητι γέμουσα μεθόδῳ δεινότητος, γλυκεῖα δοκοῦσα τοῖς ἀστεϊσμοῖς ἐστι φαρμακόμελι[q]. Ἀστεία παρέγκλισις ἐξηγήσεως τοῦ γίνεσθαι φρόνιμοι ὡς οἱ ὄφεις.

Epist. L. Ὁ τοῦ Βάκιδός σε πινυσκέτω χρησμὸς καὶ Σιβύλλης] Σχολ. μέχρι τοῦ ἔσχατα γαίης Βάκιδος ἐστὶν, τὸ δὲ ἐντεῦθεν Σιβύλλης.

p ἐλεκτικὴ B. ἐ***κὴ A. q φαρμακόμενι A.

Ἐχεπευκῆ—δριμεῖα λέξις, ἤτοι πευκι . . ἀς ἀπαιτοῦσας[r].

Epist. LXI. Ὅτι οἱ Κερκυραῖοι ἁπάντων ναυτικώτατοι.

Εἶδον τὸ ὕφος, κερχίδος ἔργον Θηβαικῆς—αἴπενος[s] ἱστουργικὰς εἶναι τὰς γυναικὰς Θηβαίων.

Οὐ μετάσχοιεν] Μετάσχοιεν, προπαροξυτόνως· μὴ μέντοι προπερισπωμένως μετασχοῖεν· ὡς ἀναβοῖεν, ἢ καταβοῖεν· τούτων γὰρ ἡ μετοχὴ ἦν εἰς σ λῆγ· (sic) ἀναβὰς, καταβάς· τοῦ μετάσχοιε δὲ ἡ μετοχὴ, ὁ μετασχὼν, εἰς γ λήγει, ἀλλ' οὐκ εἰς σ· ὅθε πρόσχωμεν λέγεις προπαροξυτόνως, ἀναβῶμεν δὲ καὶ καταβῶμεν, προπερισπωμένως.

Epist. LXIII. Οὐκ οἶδα τίς ἄρα ἦν ὁ Μεγιστίας—versus finem.

Προσαγορεύω δοτικῇ· Ἀττικῶς δὲ αἰτιατικῇ, ὡς παρὰ Ἀριστοφάνει·

χαίρειν μὲν ὑμᾶς ἐστὶν, ὦνδρες δημόται,
ἀρχαιὸν ἤδη προσαγορεύειν καὶ σαπρόν.

Epist. LXVIII. Ἑρμοῦ τεχνὴν—νῦν τὴν κλεπτικήν.

Epist. LXXII. Τὰ γράμματα Παλαμήδης ἐφεύρηκε] Οὐ Ναυπλίου παῖς, οὐδὲ ὁ Κάδμος, ὡς ὁ λόγος, εὗρεν ἐν Ἕλλησι τὰ γράμματα· γράφει δὲ οὕτως, ὥσπερ εἰσὶν οἱ λόγοι· Τζέτζης ἐγὼ γὰρ καὶ πρὸ τῶν Κάδμου χρόνων χρησμὸν παλαιὸν ἐκτεθειμένον φρα[t]την[u] Κάδμῳ δοθέντος τῷ προκειμένῳ λόγοις· ἔχει δ' ὁ χρησμὸς ὧδε τοῖς λόγοις λέγων.

Χρησμός·

Φράζεο δὴ τὸν μῦθον Ἀγήνορος[v] ἔκγονε Κάδμε,
Ἠοῦς ἐγρόμενος προλιπὼν ἴθι Πυθὼ δίαν

καὶ τὰ λοιπὰ τοῦ χρησμοῦ.

Epist. LXXIII. Ἢ τρεῖς μυροπώλας ἐργαστηριακὰς οἰκήσεις. Ζήτει τὸ ληφθὲν τῷ βεβηλῷ παιδίῳ.

Epist. LXXIX. Δέομαι ὑμῶν] Δέομαι αἴτησιν αἰτιατικῇ· Ἀττικῶς δέομαι ἐστησίως (sic), τῶν λοιπῶν διαλέκτων.

Epist. LXXX. Πανσέβαστέ μοι σέβαστε—γραφέντων μοι] Ἤτοι ὧν ἐδήλωσα τῇ προγραφείσῃ ἐπιστολῇ.

[r] παιτοῦσας B. πεύ . . κια ἀ . . παιτοῦσας A. [s] . . . πεῦ (οc) A. [t] Sic Codd. [u] ἀττικῶς. . . . ωδοθέντος A. [v] ἀγήνωρος Codd.

EPIST. LXXXII. Τὸν οὐρανὸν ὑπεστόρεσας] Παροιμία ἐπὶ τῶν εὐτελῆ μεγαλυνόντων.

EPIST. LXXXIII. Ἑλεπόλεις] Λιθοβόλα ὄργανα δι' ὧν αἱ πόλεις ἁλίσκονται.

Τὸ τεταρτηρὸν] Τέσσαρα γὰρ ὄντα τοῦ ἱσταμένου τὰ τεταρτηρὰ, οὐ σῶα τρία ἐποίησε· καὶ τριτηρὰ, ἀλλὰ δωδεκατημορίῳ· ἱστάμενον λειπομενον εἰς τὸ τοῦ τριτηροῦ ποσόν.

Ἡ ἀρετὴ] Ἡ ἀρετὴ μονοτρόπων ὁ καθηγούμενος τῆς μονῆς τῆς τοῦ παντοκράτορος ὁ α[χ] (sic) Ἰωσήφ.

Ἡ γλῶττα] Γλῶττα δὲ καὶ ὀφθαλμὸς τῆς ἱερᾶς γερουσίας, ὁ ἀρχιερεὺς τῆς ἐφ[ν] (sine dubio Ἐφέσου) Ἰωάννης ὁ Κολπωτός.

EPIST. LXXXV. ἐζωγράφησε] Ἀντὶ τοῦ ἠνδριατούργησεν· ὁ Λύσιππος γὰρ ἀνδριαντοποιὸς, οὐ ζωγράφος.

EPIST. LXXXVI. Ad init. ἡ λογικὴ] Μεθόδῳ δεινότητος κατὰ τοῦ πανιῶ[τ]... αὖτα δοκεῖν γράφει ὁ ῥήτωρ τὸν βασιλέα διδάσκει τοῦ θριάμβου τὴν δύναμιν· ἀτέχνως γὰρ καὶ παρεφθαρμένως ἐγίνετο. τὸ δὲ βασιλέα ἐλέγχειν ἢ νουθετεῖν ἐμφανῶς ἐπιζήμιον· ἐκφράζων δὲ καὶ τὰ τοῦ θριαμβικοῦ δίφρου, δείκνυσιν ἀπρεπὲς εἶναι τὸ, ἅρματι θριαμβεύειν.

EPIST. LXXXIX. ἄγροικος] Ἄγροικος ὁ ἀμαθής· ἀγροῖκος δὲ ὁ ἐν ἀγρῷ οἰκῶν· Ἀττικῶς δὲ ἀντιστρόφως· ὡς τὸν παρ' ἡμῖν γελοῖον καὶ ὅμοιον, γέλοιον καὶ ὅμοιον, λέγοντες· τὸ δὲ παρ' ἡμῖν τρόπαιον, αὐτοὶ τροπαῖον καὶ σπηλαῖον ὁμοίως.

EPIST. CIV. ἰοῦ] Πᾶσα δίφθογγος τελικὴ εἰς ου λήγουσα καὶ ἐφ' ἑαυτῆς ἔχουσα τὸν—τόνον περισπᾶται· σεσημείωται τρία· ἰδοὺ δεικτικόν· οὒ ἀπαγορευτικὸν, καὶ ἰοὺ σχετλιαστικόν· ἰοῦ δὲ ἐπὶ χαρᾶς περισπᾶται, καὶ ὁ ἰὸς τοῦ ἰοῦ.

Πέμματα] Πέμμα ἡ ἀποστολὴ, δύο μμ· ἐκ τοῦ πέμπω, πέμψω· πέμα δὲ ὁ πλακοῦς καὶ ὁ μαστὸς ἄρτος, ἓν μῦ· ἐκ γὰρ τοῦ πέττω, πέσσω, πέμα.

Κάθαρμα] Κάθαρμα δυσειδέστατον ἀνθρώπιον[v] ἔθυον ἐν ταῖς συμφοραῖς ὑπὲρ πάσης πόλεως· καὶ τοῦτο φαρμακὸν καὶ κάθαρμα ἐκαλεῖτο.

[v] ἀνθρώπειον B.

Πυραμοῦντα] Πυραμοῦς εἶδος πλακοῦντος ἐκ πυρῶν πεφρυγμένων καὶ μέλιτος, ὥσπερ ὁ σησαμοῦς.

EPIST. CVI. ὁ θεοφιλέστατός μοι—ad init. πραγματικὴ κἂν ἐπεξεργασίαν κεφαλαίων οὐκ ἔχῃ.

EPIST. CVII. ἐθρήνησε καὶ φυτουργὸς—init. τὸ σχῆμα πολλαπλοῦν ἄρσις· ἀναφορὰ ἡ καὶ ἐπιμονὴ λέγεται· ἐπεζευγμένον κατ' ὄνομα· κομματικὸν ἀπόδοσις· καὶ πάρισον καὶ ἰσοκατάληκτον· ἰδοὺ σχῆμα ἑξαπλοῦν· ὅταν οὖν ἀκούσῃς Ἑρμογένους λέγοντος σχῆμα διὰ σχήματος μὴ ἐκφέρεσθαι, λέγε τούτῳ σιωπᾶν.

CHIL. V. 202.

Σοὶ τῷ Κοτέρτζῃ[w] καὶ φιλοῦντι δεσπότῃ·
νῦν μέχρι τοῦδε τὰς δυσόδμους βορβόρους·
τοῦ χοιριῶντος τοῦδε καὶ κοπρογράφου,
(οὕτω χρεὼν καλεῖν γὰρ ἢ καλλιγράφον·)
Τζέτζης καθαίρει τεχνικῶν λόγων πτύοις·
ἐπεὶ δὲ μέλλεις ποῖ δραμεῖν τῶν ἔνθαδε
παλινδρομεῖν τε σὺν Θεῷ πλὴν ἐν τάχει,
εἴμοι τὸ τέρμα μὴ περανθῇ τοῦ βίου·
τὰ λοιπὰ λοιπὸν ἐξαποξέσω τότε.

203. Σώφιδι—
τὸν Σῶφιν μέγα γράφε μοι· Σόϋφις ἦν καὶ Σαῦφις,
καὶ Σῶφις δὲ γενόμενος, εἰς μέγα μετετράπη.

205. Γραμμάτων] Καὶ πάντων τῶν χρειωδῶν βίῳ[x].

209. Ἀραβίας—
Τὸ Ἄραψ γράφε μεθ' ἑνὸς, μὴ δὲ διπλοῦ τοῦ ῥῶ μοι·
Τζέτζης ὁ τοῦτο λέγων σοι· μὴ πείθου τοῖς βαναύσοις.
καὶ Φαληρεὺς Δημήτριος ῥητορικῆς φῇ γράφειν.

393. Ἐπιδημεῖ δ' εἰς Αἴγυπτον] Μετὰ πεντηκοσίων ἐτῶν φησὶν ἐπιδημεῖν τὸν Φοίνικα τῇ Αἰγύπτῳ· οὕτω φησὶ καὶ Αἰλιανός· λέγει δὲ καὶ θάπτειν τὸ ὄρνεον τὸν αὐτοῦ πατέρα ἐν Ἡλίου πόλει.

[w] κοτέρξῃ A. [x] βίων B.

438. Ἀπολλωνίου χρόνοις] Οὗτος ὁ Ἀπολλώνιος, Ἄμασις δὲ ἦν Αἰγύπτιος βασιλεὺς ἀγαθώτατος· περὶ τοῦ ἀγαθώτατος ἐσχολίασα ἀλλαχοῦ.

503. Γραφῇ] Ἄρχεμος ὁ ζώγραφος, ὁ Βουπάλου Ἀφηνίδος πατὴρ, τὴν Νίκην ἐπτερωμένην ἔγραψε, καὶ τὸν Ἔρωτα.

582. Κατάχρησις ἐστὶ τὸ χρᾶσθαι τισὶ πολλάκις καὶ τρυφᾶν· παράχρησις δὲ τὸ παρὰ τὴν συνήθειαν τί λέγειν· ὅμως φόβῳ τῶν χυδαίων, καὶ αὐτὸς πολλαχοῦ κατάχρησις γράφω ἀντὶ τοῦ παράχρησις.

594. Κατάης] Ἡ Κατάη γυνὴ ἦν τοῦ Πορφυρογεννήτου κυρίου Ἀλεξίου· ἧς ὑπὸ χεῖρα ἡ Ἀσπάη, ἥτις Παλαιλόγῳ συνεζύγη.

598. In text. Tzetz. Codd. A. et B.

μετὰ θανὴν τῆς ἑαυτοῦ, παρθενικῆς συζύγου.

Kiessl. μετὰ θάνατον.

671. Πανδίων] Ἐπὶ τοῦ Πανδίονος τοῦδε, Διόνυσος καὶ Δημήτηρ ἦλθον εἰς τὴν Ἀττικήν· ἤτοι τότε τῆς Ἀττικῆς οἰνουργία καὶ γεωργία[x] ἐγνώσθη, καὶ Ποσειδῶν καὶ Ἀθηνᾶ τότε περὶ τῆς Ἀττικῆς ἤρισαν· διὸ καὶ Εὔμολπος ὁ Ποσειδῶνος πρὸς Ἐρεχθέα τὸν τοῦ Πανδίονος ἐξήνεγκε πόλεμον· ἐν ᾧ ἐνίκησεν ὁ Ἐρεχθεύς.

691. Τὰ ἐκ τοῦ αιος] Τὰ γὰρ ἐκ ῥημάτων[y], οἷον πέμπτω, πεμπταῖος, πεμπταίου, καὶ τὰ ὅμοια πάντα, δίφθογγα γράφεται.

732. Μάζαν] Μάζα μὴ ἄζα τὶς, ἀλλὰ τὸ νεοφύρατον ἀρτίδιον.

750. Κ'αφῇ] Ἀφὴ καὶ ἅρμα, καὶ τὰ λοιπὰ οἱ Ἴωνες ψιλοῦσιν.

755. In Hipponactis vers. ἐν δὲ τῷ θυμῷ. Dubn. e Cod. A. θυμὸς τὸ ἄῤῥεν αἰδοῖον. sed Cod. B. τὸ ἄρρναιον.

789. Ὄσιρις] Σημ. Ὄσιρις, ὅτι τὸν πολυόφθαλμον σημαίνει.

[x] οἰνουρ. καὶ γεωρ. B. [y] κρίματων B.

872. Γνωσιμαχήσας] Γνωσιμαχῆσαι ἐστὶ τὸ γνῶναι, ὅτι πρὸς κρείσσονα μέλλει μάχεσθαι, καὶ οὕτω τῆς πρὸς ἐκεῖνον μάχης ἀποστῆναι· οἵδ' ἄλλως τοῦτο[z] νοοῦντες, διλιπινοῦδιοι[a] εἰσίν· οἴονται γὰρ οἱ σοφομαθεῖς τὸ λογισμομαχεῖν.

957. Ἴρηξ] Παντὰ τὰ πτερωτὰ κυνηγετικὰ παραχρηστικῶς ἴρηκες λέγονται.

CHIL. VI. 6. Διονύσιος ὁ Ἁλικαρνασσεὺς φησὶ, ἁγνεύεται τὸ στόμα τῷ Δημοσθένει.

23. Πολυάνδριον θέλω] Ἤγουν οὐδὲ νεκρῶν ἐρῶ σωρείας ὁρᾷν.

40. Σημείωσαι, ὅτι τὸ εἰρημένον παρὰ Λυσίᾳ γλαφυρῶς ὁμοῦ καὶ σεμνῶς τὸ Ἀντιόπη, αἰσχρῶς ἀνέπτυξε Δημοσθένης, ἀπὸ τριῶν τρυπημάτων τὴν ἐργασίαν εἰπὼν ποιουμένη.

77. Γλύκων] Καθ' ἑτέρους Γέλων.

81. Σκυθίδι] Χαιρεστάτη ὄνομα τῇ Σκυθίδι.

169. Τὸν Ἅρπαλον] Οὐ μόνον διὰ τὰ Ἁρπαλεῖα χρήματα ἀνῃρέθη Δημοσθένης, ἀλλὰ καὶ διὰ τὸ δέξασθαι χρήματα παρὰ Δαρείου, εἰς τὸ ἀσχολεῖν Ἀλέξανδρον, καὶ μὴ ἐᾶσαι περαιωθῆναι κατὰ Περσῶν. ἃ λαβὼν ἔπεισεν ὁ ἀλιτήριος τῆς Ἑλλάδος ἀποστῆναι Θηβαίους, καὶ διὰ τοῦτο καὶ τῆς παρούσης ζωῆς· κατασκάπτει γὰρ τὰς Θήβας Ἀλέξανδρος πλὴν τῆς Πινδάρου οἰκίας.

Schol. ad Tit. Hist. 38. ut vid.

Ὦ Τζέτζης—
Τὸν Ἀλφιὸν[b] τὸν ποταμὸν τὸν ἐκ Πελοποννήσου
πῶς οὐκ ἐμνήσθης πώποτε[c] ἱστορικῶς συγγράψαι·
ὅπερ καὶ μᾶλλον ἔμελλεν ὑπὲρ τῶν ἄλλων,
ὡς βασιλεὺς τῶν ποταμῶν τῶν Ἀττικῶν καὶ Θρᾳκῶν[d];
λήθη σοι γέγονεν πολλὴ, οὐκ οἶδα πῶς ἐπῆλθεν·
ὁπότ' ἐμνήσθης Ἡρακλῆ καὶ κόπρου τοῦ Αὐγείου,

[z] τοῦτον B. [a] σιλιπινοῦδιοι Dubner. [b] Sic Codd. [c] πόπο (τ) A. πόποτ (αι) B. [d] Θρυ (κ) A. θρά (κ) B.

τότε καὶ μόνον εἴρηκας τὸν ποταμὸν ἐκτρέψαι,
τὴν κόπρον ἐκκαθάραντα ἐκ τῆς αὐλῆς Αὐγείου.
οὐκ ἠκούσας, οὐκ ἔμαθες τὸ ἄμικτον[e] τὸ τούτου,
τὸ τῆς θαλάσσης ὕδατος ὡς ἁλμυρὸν τῇ φύσει
φυλάττειν τὸ γλυκύῤῥοον εἰς Σικελλοὺς χωροῦντα[f]
Ἀρεθουσίᾳ τῇ πηγῇ· ἠγαπηκὼς, ὡς λέγουσιν.
ἐγὼ γὰρ Διονύσιος ἐκ τῆς Πελοποννήσου
τοῦτο καὶ μόνον ἐνθυμῶ· τὰ δ' ἄλλα γὰρ οὐ λέγω.
καταγινώσκω σου πολλὰ κοπάζων παντογράφους[g].

266. Τοῦ Ἰωνᾶς γενική.

273. Σημείωσαι φαλσογράφους.

281. Σημείωσαι τίνες ἐπιμελήτριαι ἦσαν τῶν τριχῶν καὶ ὀνύχων τῆς Κλεοπάτρας.

335. Γαῦλοι] Γαυλοὶ δὲ ἀγγεῖα ποιμενικά.

361. Εὐώνων] Τὸ εὔωνον ἐστὶ σίλφιον, τὸ σίσγουδον, καὶ ἡ λεγομένη τίλλις ἕτερόν τί ἐστι.

373. Ἀνεψιὰν] Ἀνεψιοὶ, οἱ τῶν ἀδελφῶν παῖδες πρὸς ἀλλήλους, ἤτοι οἱ ἐξάδελφοι· ἀδελφιδοὶ δὲ, τῷ ἀδελφῷ τοῦ πατρὸς οἱ τῶν ἀδελφῶν ἐκείνου παῖδες, οἱ κοινῶς καλούμενοι ἀνεψιοί. ἀνεψιαδοὶ δὲ, οἱ τῶν ἐξαδέλφων παῖδες τοῖς ἐξαδέλφοις πατέρων ἢ μητέρων· θυγατριδοὶ δὲ καὶ υἱιδοὶ, παῖδες θυγατέρων καὶ υἱῶν, ἤτοι ἔκγονοι.

430. Γεγέννητο (sic)] Σχῆμα τὸ καλούμενον ζεῦγμα· παρ' οἷσδε, ἐπεζευγμένον· παρὰ ποιηταῖς δὲ, συνεκδοχή· παρὰ δὲ τοῖς ἀφραίνουσιν, ἀπὸ κοινοῦ· πολλὴ γὰρ διαφορὰ συνεκδοχῆς καὶ τοῦ ἀπὸ κοινοῦ.

444. Σημείωσαι μέθοδον δεινότητος, ὅτι οὐ δεῖ πρὸς τὰ κεκρατηκότα πάθη ἀντιτείνειν, ἀλλὰ συντρέχειν μὲν πρῶτα, εἶτα, μετρίως τὴν ἀντίθεσιν φέρειν.

466. Μετὰ τῶν ἄλλων δουλομικτῶν, καὶ τούσδε τοὺς τέσσαρας, ὧν οἱ[h] τοῦ Ἀριστοτέλους μὲν Ἐπυλλὶς ἐκαλεῖτο, Ἀρτε-

[e] ἄμηκτον B. [f] χοροῦντθα A. χοριοῦν τὰ B. [g] πάτγρά. B. in Cod. A. marg. absc. omnia hæc sunt valde mutila. [h] Sic Codd.

μις δὲ ἡ Πλάτωνος, ἡ Μενελάου Τηρίς· τὴν Ἑβραΐδα δὲ οὐκ οἶδα.

565. Κλέαρχος] Ὁ Κλέαρχος καὶ Παλαίμων ἐκαλεῖτο.

700. Σημείωσον ἄλλοι δὲ λέγουσιν σ' πηχ ἦν[i] δρόμος.

707. Λωτὸν] Ἡμεῖς δὲ νοοῦμεν λωτὸν λέγειν τὸ γλυκοκάλαμον ὃ ποιεῖ[k] τὴν ζάχαριν[l].

799. Μύλου] Μύλωνος φαμὲν, νῦν δ' ἀστεϊσμῷ ἑκουσίως βαρβαρίζομεν.

886. Ζήτ— Ὁ μιαρὸς ὁ κόπελος στίχους παρῆκε τῇδε.

918. Ἐξ Ἑλικῶνος] Τὸ σχῆμα προσεπεζευγμένον· ὡς τὸ ἧχι ῥοὰς Σιμόεις συμβάλλετον, ἠδὲ Σκάμανδρος· (Il. E. 774.) ὃ καὶ Ἀλκμανικόν.

953. Περὶ μέλιτος Ὑμηττίου καὶ νόει καὶ ὅτι πάντων μελίτων ξηραινομένων ὑγρὸν ἀεὶ τοῦτο τηρεῖται.

963. ὁ αὐτοκράτωρ] Ἔστι γὰρ[m] καὶ ἰδιώτης Ἰουλιανὸς Χαλδαῖος ἀστρολόγος.

CHIL. VII. 66. Θαλυσίων] Θαλύσια αἱ ἀπαρχαὶ τῶν καρπῶν.

68. Ἔθων] Ἐξ ἔθους βλάπτων.

153. Σχάλα] Παρὰ τὸ σχῶ, τὸ κρατῶ, καὶ τὸ σχάζω[n].

169. Τὸ κατά τινας ἐγὼ Τζέτζης φημὶ, οὐχ ὁ Παυσανίας[o].

255. Καλολάϊξιν] Πῶς λέγεται τὰ παρὰ τοῖς παισὶ λεγόμενα καλαλάτζια[p].

267. Λίχοντας—ἐπιθυμοῦντας.

299. Σερβίλιος] Ῥωμαϊκῶς, ϊ· Ῥωμαῖοι γὰρ ἦτα, ἢ δίφθογγον, ἢ ω μέγα οὐ γράφουσιν, ὅθεν οὕτως ἐγὼ ταῦτα γράφω.

319. Τριάκων] Ἀργεῖος ἦν ὁ Τριάκων.

367. Κατ' ἄλλους—

Ἱππόστρατος τὸν Αἴγυπτον ἐξ Εὐρυρόης Νείλου
μόνης υἱοὺς πεντήκοντα λέγει γεγεννηκέναι,
τὰς θυγατέρας πάσας δὲ τὸν Δαναὸν ὁμοίως
ἐκ τῆς Εὐρώπης θυγατρὸς τοῦ εἰρημένου Νείλου.

i ἦν A. k ποιῇ B. l τὸ σάχαρ A. m κ^ς B. n ἢ τὸ ἀσχάζω B. o πασανίας B. p Hoc Schol. caret B.

493. Πρὸ λόγου—ἤτοι ἀμέσως.

647. Πρωτάγορας ὁ Περιηγητὴς, καὶ Πτολεμαῖος Διονύσιος.

696. Ἐγὼ οὐδὲν τα[p] πιστεύω.

748. Τῷ βιβλίῳ] Τοῦτο τὸ βιβλίον πρότερον ἐγεγόνει βιβλίον ἄγραφον, καὶ ὕστερον ἐγράφη, ὡς λοιπὰ βιβλία τοῦ Τζέτζου[q].

764. Στερνόφθαλμοί δε] Ἀλκμᾶνος[r], Αἰσχύλου δὲ οἱ στερνόφθαλμοι.

773. Ζήτει μὴ παρέλειψε[s] στίχος.

777. Ἐμπεπαρμένους—
ἡ ἄρτη ποῦ ἐφεύρηκας, καὶ γράφεις πεπαρμένας.

807. Ἐκ τοῦ Ἱπποκράτους δὲ τοῦτο φησί.

838. Τῶν Μυλιῶν] Οὐχ ὅτι ἀλληγοροῦσιν τοῦτο, ἀλλὰ Σολύμους μὲν φασὶ τοὺς Μυλιᾶς.

839. Ὦ μιαρὲ, παμμίαρε καὶ κοπρωτὰ βιβλίων
Ἑβραῖε, τοὺς Ἑβραίους νῦν Ῥωμαίους ὀνομάζεις.

849. Τὸ σχῆμα ἀστεῖον καὶ χαριεντισμός· ἔστι δὲ τῆς γλυκύτητος μεθ᾽ ἑκουσίου κοινολεξίας.

853. Τὴν βίβλον τὴν πρωτόγραφον ἐμοῦ τις ζητησάτω,
καὶ ἐξ αὐτῆς ὀρθούτω δὲ τὰς τούτου φλυαρίας.

889. Τὸ σχῆμα ἐφερμηνευτικόν· ἀνεψιὸς γὰρ ὁ ἐξάδελφος.

949. Σώστρατος—
Τὸν Σώστρατον ὁ μιαρὸς Σώκρατον, βλέπεις, γράφει.

955. Οὗ Νέβρως] Γράφε καὶ νεβρω . .[t]

959. Σημείωσαι πατροδιδάκτους· Ἱπποκράτης καὶ τούτου παῖδες· Νιχόμαχος ὁ Ἀριστοτέλους· οὗτος ὁ Τζέτζης ὁ Χοιρίλλου, καὶ Σωπάτρου[u] δισυριανοῦ[v], καὶ Πλουτάρχου υἱὸς, καὶ πρὸ τούτων οἱ Πυθαγόρου παῖδες καὶ ἕτεροι μυρίοι.

989. Καὶ γὰρ οἱ ἰατροὶ θεωροῦντες τὴν τὰς νόσους τὰ

[p] Sic Codd. [q] τζέτζη B. [r] Non liquet ad quam vocem Alcmanis mentio refertur, στεγανόποδες aut in pr. v. ἡμίκυνες, μακρόκρανοι &c. [s] παρέλειτε B. [t] Sic A. hoc Sch. caret B. [u] καὶ om. A. mox σωπάτρζ. [v] Sic B. leg. καὶ Συριανοῦ.

πάπ΄[w], τὰς λύπας, τὰς πληγὰς[x] ἰδίας λύπας[y] αὐτοὶ αὐτῶν κερδαίνουσιν.

CHIL. VIII. 24. Φθάσαι] Φθάσαι καὶ μακρὸν καὶ βραχὺ ἐστίν· ἀπὸ μὲν τοῦ φθάω, φθῶ, φθᾶσαι μακρὰ, ἀπὸ δὲ τοῦ φθάζω, φθάσαι βραχύ· ὡς τὸ ἐᾶσαι, ἐάσαι.

41. Ζήτει τὸ Τζέτζου ἐφευρεῖν πρωτόγραφον βιβλίον, ἐκεῖθέ τε μετάγραφε, μὴ δ' ἐκ βορβόρου τόσης.

144. Καὶ καταράττων—

'Ανέμους ῥάππας ἤκουσε τίς πώποτε τῶν δένδρων;
ὡς γράφων τὸ βουβάλιον τὴν βίβλον ἀχρειοῖ μου,
ἀβάσκανον τοῖς γράψασι, πρὶν κ'ἂν διορθώσω.

223. Αὐτὴν] Αὐτὴν πρὸς τὸ σημαινόμενον· ὁ γὰρ θνητόψυχος θνητὴν δοξάζει τὴν ψυχήν.

373. Μηδεὶς σόλοικον τοῦτο νομίσοι, ἀλλ' οὕτω συνταττέτω· ἣν ζῶν μυκώμενος ἦλθε θηλάσαι μόσχος· εἶτα τὸ λόγος φησὶν, ἢ φέρεται, ἢ τοιοῦτον.

449. Ὑπερυδραργυρίζειν—

Νικᾶν καὶ τὸν Ὑδράργυρον, ὃς κλέπτης ἦν ἐν χρόνοις Τζέτζου τοῦ συγγραφέως.

584. Ζαβουσκοτέλη βαρβαρισμός ἐστι διὰ τὸν ἀστεϊσμὸν, Κούρβας υἱὲ[z] οὐδὲ σκοουτέλην ἐνόεις γράφειν.

717. Καὶ νήσους τίς ἀρσενικὰς τῷ μιαρῷ νῦν μάθε,
τῷ ὅστις κατηχρείωσεν, ὡς βλέπεις, μου τὴν βίβλον.

718. 'Ιουερνία] Ἡ λεγομένη Βαραγγία[a].

878. 'Εκστάσεις] Ζήτει· λείπει τὸ εἰσὶν οἱ μαινόμενοι[b]· τὸ γράμμα τοῦτο κόπρος ἐστὶν Αὐγέου.

895. Ποιτίαις] 'Αριστοτέλης καὶ ἕτεροι πιτύαις[c] γράφουσιν, αὐτὸς δὲ ποιτίαις γράφω, κατὰ τὸν 'Αλκίφρονα ῥήτορα.

[w] Sic A. ταπάπ΄ B. [x] Sic B. sed A. πλῆ.̈' quod πλησίου sign. vid. et fort. verum est. [y] Sic. A. διάρλυτ̄. B. [z] Sic B. Κούρβας ἡ δὲ A. [a] Sic A. hoc Schol. caret B. [b] καινόμενοι B. [c] πιτύαις (ος superscr.).

CHIL. IX. 70. Καταστρατηγία ἐστὶ μηχανὴ στρατηγοῦ εἰς ἀπάτην τῶν πολεμίων, ἑαυτοῦ δὲ νίκην.

114. Ἦν γὰρ καὶ Γίγας Πορφυρίων.

868. Θεωδώριτος κύριον, ι, θεωδώρητος ὁ ἐκ Θεοῦ δωρηθεὶς, ἦτα.

CHIL. X. 77. Μῶλυ[d] εἶδος βοτάνης, ἥπερ ἔδωκεν Ὀδυσσεὺς τοῖς ἑταίροις[e] αὐτοῦ, καὶ ἀπεκατέστησεν αὐτοὺς ἀνθρώπους ἀπὸ τῆς ἀλλοιώσεως τῆς Κίρκης τῇ ἀγριοπῇ[f] λέγεται οὕτως.

846. Ζήτει στίχους· τί πρῶτον εἴπω, τί δ' ὕστατον ἐξερέωμαι; Τῆς μιαρᾶς γονῆς τὸ μιαρότατον ἔγγονον, ὅλα χωρία λόγου καὶ ἱστορίας ὅλας κατελίμπανε.

940. Ζήτει στίχον ἢ στίχους· κ'ἂν τι ἀληθὲς γράφει ὁ μιαρὸς, γράφει καὶ τοῦτο ἀπόζον τῆς μιαρᾶς τούτου ψυχῆς· οὐκ οἶδα τί γράφεις[g] μιαρὸς, οὐδὲ ὀρθοῦν δύναμαι.

978. Κερατᾶ[h] μιαροῦ υἱὲ, τίνα εἰσὶ ἃ γράφεις, καὶ ἃ καταλιμπάνεις, καὶ κατεκόπρωσάς μου τὴν βίβλον.

CHIL. XI. 393. Χρησμοὶ ψευδεῖς δοκοῦσι τῷ Τζέτζῃ οἱ ἐξ ἰάμβων χρησμοὶ, ὅπου γε καὶ τινὲς τῶν ἡρώων.

547. Στρεψιάδην] Οἱ Αἰολεῖς, καὶ συμφώνων ἐπιφερομένων, τὰ τοιαῦτα μετὰ τῷ ν γράφουσιν.

745. Ζήτει πάλιν· στίχον παρέλειψε τοῦ μιαροῦ Κερατᾶ[i] ὁ υἱός.

787. Τοῦ τράγου ὁ υἱὸς οὐδὲν ἀνόθευτον ἐᾷ[k].

897. Ἴαμβοι ἐμοὶ ἐκ τῆς εἰς τὴν Πτολεμαίου χωρογραφίαν μεταφράσεως.

899. Σαύου] Σαύας καὶ Σαύης καὶ Σάβος καλεῖται· καὶ ἀπὸ μὲν τοῦ Σαύας, Σάβα κλίνεται· ἀπὸ δὲ τοῦ Σαύης, καὶ καλεῖται.

909. Πρὸς τῷ Κιάμβρῳ] Κίαμβρος ποταμός· πῶς δὲ

[d] Hoc Schol. solus habet B. [e] ἑτέρους Cod. [f] Sic Cod.
[g] γράφει ὁ μ. A. [h] Sic A. κέρατα B. [i] Sic A. κεραστ B.
[k] Hoc Schol. caret B.

εἶπον πρὸς τῷ Κιάμβρῳ δοτικῇ, καὶ πρὸς Μακεδόνων χθόνα αἰτιατικῇ; πρῶτον μὲν Ἀττικῶς, ὡς τὸ

καταφρονεῖ μου καὶ Θήβας ἴδε

δευτέρως δὲ, ὅτι ἡ πρὸς, ὅταν πλησιασμὸν δηλοῖ, δοτικῇ συντάσσεται, ὅταν δὲ ἀντὶ τῆς εἰς προθέσεως, αἰτιατικῇ· ἐπεὶ δὲ ἐν μὲν Κιάβρῳ ποταμῷ, ζήτει.

1000. Τὸν Διονύσιον εἰρωνικῶς δὲ νέον εἶπον· πρεσβύτερος γὰρ οὗτος ἦν Πτολεμαίου.

CHIL. XII. 212. Λήθης γεγοννίας, καὶ ἀντὶ ιε΄ Ὀλυμπιάδος γραφείσης ια΄, ἔκκοψον[l] ἐκ τοῦ Ἡσιόδου χρόνους δεκαὲξ καὶ μῆνας ϛ΄, καὶ εὕροις[m] τοὺς οὓς γράφουσι μέτρων[n] χρόνους.

233. Κατακόπρωσας τὸ βιβλίον καὶ χιασμῶν[o] Φιλοξένου ποιήσας ἐπάξιον· κοπρίας οὐκ οἶδας γράφειν ἀλλὰ κοπρίους.

337. Μάθε κανόνα τεχνικὸν, Κοῦρβας, υἱὲ τοῦ τράγου·
σάκκον τοῖς ἄνω μέρεσι δυσὶ τοῖς κκ γράφε
τοῖς κατωτέρω μέρεσι διὰ ἑνὸς τοῦ κ[p].

341. Σημείωσαι τινὲς ἐφεῦρον χάρτας βαμβικίνους τὲ καὶ βεμβράνας—ληροῦσιν[q] οἷς ἐπείσθην ἐν τούτοις· Εὐριπίδης γὰρ μέμνηται διφθερῶν, λέγων ἐν Πλεισθένει·

Εἰσὶ γὰρ εἰσὶ διφθέραι μελεγγραφεῖς,
πολλῶν γέμουσαι Λοξίου γηρυμάτων[r].

398. Πρὸς τὴν Κάμινον, πόλιν τῆς Σικελίας] Εἰς κάμινον σωθείης σὺ υἱὲ μιαρώτατε· κάμινον δὲ λαβράζουσαν, μὴ εἰς τὴν καμικόνδε.

431. Καὶ πάλιν ὁ παμμίαρος στίχον ἀφῆκε τῇδε.

451. Μίαν σελίδα ἄπταιστον, κἂν τέκνον τράγου πάρεις.

516. Τῇδε, ἐνταῦθα· τῇ ἐνταῦθα, ἐπέκτασις τὸ δέ· προσγράφεται δὲ τὸ ι, ὅτι τὰ εἰς η καθαρὰ ἐπιῤῥήματα προσγεγραμμένον ἔχει τὸ ι, πάντῃ· ἄλλῃ· πανταχῇ· τῇ, καὶ τὰ ὅμοια.

517. Εὔρωτας—ὅνπερ τανῦν καλοῦσιν Νίριν[s].

[l] ἔκκοψεν B. [m] εὕρης A. [n] μελέων Dubn. [o] χιασμὸν B.
[p] Deest hoc Sch. in Cod. B. [q] λυροῦσιν B. [r] γυρυμάτων A.
[s] Sic A. alibi Νήριν. γήριν B.

526. Σπάρτη Λακεδαιμονία καὶ τὸ νῦν λεγόμενος Μηζηθρᾶς.

528. Σημείωσαι ἄθλιε Διονύσιε· μηδὲν εἰδὼς τί γράφεις, σχεδὸν γὰρ κατεκόπρωσας ταυτὴν τὴν βίβλον πᾶσαν.

580. Τί τεθνηκὸς καὶ σκοτεινὸν προοίμιον. Παντὸς λόγου αὗται ἀρεταὶ, πλὴν τῶν αἰνιγματωδῶν, τῶν ἐσχηματισμένων, καὶ τῶν μιμουμένων τινὰς ἀσαφεῖς γραφάς.

608. Ἀνώγῃ] Οὐκ εἴχετε, ὡς ἔοικεν ἀνώγειν, εἰς τὴν ἀμόγην δ' ἔκεισθε καὶ οὐδ' αὐτὴν γινώσκεις.

622. Κοὐκ' ἀσμένη τόνδ' ἐξ ἐμοῦ δέχῃ λόγον Ἰωνικῶς.

631. Τοῦ Τζέτζου εἰσὶν αἱ ὕστεραι δύο ἐτυμολογίαι, αἱ δὲ λοιπαὶ παλαιῶν. Κατοῤῥωδεῖν γὰρ φασὶ καθορωδεῖν.

661. Ἀχαρνεῖς—Ἀττικῶς ἦτα.

794. Ἐνυὼ ἐπίθετον Ἥρας.

805. Οὐ λογισμὸς ἦν τίς σοι ἰδεῖν τὸ οὔλοις ἤμελξας, καὶ τοῦτο δὲ, στίχον Αἰσχύλου νοῆσαι[s] στίχον Ὁμήρου.

929. Καμήλους—

Ὁ στρατηγὸς ὁ Κάμιλλος, υἱὲ τῆς ἀνομίας,
ἐλέφαντι ἦν ὅμοιος δορᾷ βοὸς μελαίνης[t];

990. Οἱ Παῦλοι] Υἱὸν δὲ τὸν Παυλίτζην.

CHIL. XIII. 79. Λέγοντα ταῦτα κατ' ἔπος] Ἐμπεδοκλῆς, ὅτι θεὸς τάδε κατ' ἔπος λέγει.

330. Εὐάρτητον τὸ εὐημερὲς η[u], ἐκ τοῦ ἀρτῶ, ἀρτήσω γὰρ, τοῦτο δ' ἐκ τοῦ ἀρτίω· τοῦτο γράφω ὡς σχόλιον.

331. Καρύκκη μέρος τῆς γαστρὸς παραγεγεμισμένον·
ἐμμεμενθυλευμένον[v]
τύρῳ, ὠοῖς, καὶ μέλιτι, καὶ λάρδῳ καὶ ἑτέροις
ἵνα δὲ συμφανέστερον[w] καὶ πεζοτέρως εἴπω,
ὅπερ μούλ[x] λέγουσι παραγεγεμισμένον.

[s] κλῆσαι B. [t] μελένης B. [u] εἰε B. [v] ἐμμεμενθηλευμένον B.
[w] συμφαγέστερον Dubn. nescio an typothetæ errore. [x] Sic Codd.

491. Τιμωρῶ τὸ βοηθῶ συντάσσεται δοτικῇ, ὡς τὸ τιμωρῶ πατρί· τιμωροῦμαι δὲ τὸ κολάζω, αἰτιατικῇ.

496. Στίχος Βαβρίου τετραστίχος.

524. Χάσβην] Χάσβη, Χασβὴθ, Χασβὶ τὸ αὐτὸ ἐστί.

565. Σοφοκλῆς δίδαξον[y] ἡμῖν τοῖς ξυναλγοῦσι τύχοις (Aj. 283.) νεκροθάπται δέ· δίδαξόν με τὰ δικαιώματα σοῦ.

614. Τέλος καὶ συμπάντων τῶν ἱστοριῶν. Ἀρχὴ γὰρ περὶ γένος Ὁμήρου—

Ὦ καὶ λεχοίρου καὶ λυτρῶν[z] βιβλογράφε
Ὅμηρον ἐχρῆν τοῦ Θεοῦ[a] τὰς δευτέρας
τιμὰς παρ' ἡμῖν εἰσδεδέχθαι τῷ βίῳ·
καὶ γὰρ θανὼν ζῇ, καὶ λαλεῖ τεθαμμένος[b].
ὅσα δ' ἐπωφέλησε τῷ παντὶ βίῳ
...ἂν διαγράψειε σύμπαντα λόγος·
ἀρχὰς δ' ἐρυθρὰς πανταχοῦ σὺ νῦν γράφων·
ὦ καρδίης χοιριώσης ἐκτόπως,
Ὅμηρον αὐτὸν καὶ γένος τούτου μόνον
μελεγγραφεῖς καὶ ταῦτα τῇ Τζέτζου βίβλῳ.
ἃ δ' αὖ Ὅμηρος σῇ λέγει χοιρωδίᾳ,
ἄκουε τρανῶς· προσφυᾶ γάρ σοι τάδε.
ᾔσχυνας μὲν ἐμὴν ἀρετὴν, βλάψας δέ μοι ἵππους.
τῷ οἱ ἀπεμνήσαντο καὶ ἐκ θανάτοιό περ αἴσῃ
τοῦτο σοὶ ἀντὶ ποδὸς ξεινήϊον[c], ὅν ποτ' ἔδωκ . .
οὐ γάρ τις μ' ὑπὲρ αἶσαν ἀνὴρ αἶδος[d] προϊάψει.

642. Βύκκων] Βύκκων δὲ ὁ βρύχων, ἤτοι ὁ ὄνος, παρά τε Λυδοῖς καὶ τοῖς κατ' Ἔφεσον Ἴωσι λέγεται.

[y] δίδαξεν B. [z] λυτρῶν B. in marg. Codd. λυτρων ἐστὶ τὸ ὑπηρέσιον, ὁ κενάλης, ἤγουν ὁ βόρβορος ὁ καράβος τὸ περέσιν. [a] θῦ B. μῦ vel λῦ A. [b] λαλεῖται θαμμένος B. sed λαλεῖ τε . . . μένος A. in quo cum margine multa abscissa sunt. [c] ξυνείιον B. [d] ἀΐδη B.

SCHOLIA AD ALLEGOR. ILIAD.

Ad Il. A. v. 1. Τὸ προοίμιον πρὸς τὸ κέλευσεν[e] πρόσωπον ἅψασθαι τὸν Τζέτζην ταύτης τῆς συγγραφῆς.

Ad v. Ἤδη χωρῶ] Ἀπόδοσις, ἣν ψευδῶς τινὲς καὶ ἀξίωσιν καλοῦσιν.

Ad v. Καὶ δὴ λοιπὸν] Ἡ κατὰ ῥήτορας προέκθεσις τῶν κεφαλαίων προκατάστασις λεγομένη καὶ ὑπόσχεσις· κατὰ δὲ ποιητὰς, προθεωρία καὶ προϋφήγησις, ἤτοι προδιήγησις, κἂν οἱ ῥήτορες ἄλλως φασὶ τὴν προδιήγησιν.

Ad v. Σὺ δὲ Σμυρναῖον] Ὅτι παρὰ μόνῃ τῇ Σμύρνῃ καλεῖται (sic: an κεῖται?) Μέλης ποταμὸς, ὃν οἱ πλείους φασὶν εἶναι Ὁμήρου πατέρα. Αὕτη κυρίως Ὁμήρου πατρίς.

Ad v. Τηλέμαχον—ἄλλως ληροῦσι] Ληροῦσιν εἶπον, ὅτι ὁ Ὀδυσσέως Τηλέμαχος ὕστερος ἦν Ὁμήρου, ὡς δῆλον ἐκ τοῦ χρόνου Προναπίδου τοῦ Ὁμήρου διδασκάλου, ὃς ἦν τρίτος ἀπὸ Κάδμου, Ὅμηρος δὲ τέταρτος· ὁ Θάμυρις δὲ πάλιν παλαιὸς ἦν ἰσόχρονος Κάδμου, πάππος Ὀρφέως· Ὀρφεὺς δὲ Μενίππης υἱὸς τῆς Θαμύριδος θυγατρὸς, κἂν ἀλληγορικῶς Καλλιόπης υἱὸς λέγηται.

Ad v. Θηβαϊκῆς καὶ Τρωϊκῆς (post repetita e superiorib. verba ἀπὸ τοῦ χρ. Προν.—τέταρτος)] Ἤγουν ἐπὶ Λαΐου καὶ Οἰδίποδος, ἐξαρκέσας μέχρι τῶν Τρωϊκῶν καὶ κατωτέρω· τὸ ὅτι ἐπὶ τῶν δύο ἦν στρατειῶν· τὸ γὰρ περὶ Προναπίδου ὁ Σικελὸς Διόδωρος ἱστορεῖ.

Ad v. Ὡς Ἰωάννης χρονικὸς Ἀντιοχεύς· τοῦ ἐπίκλησιν Μαλέλης.

Inter sequentia sectionum argumenta alicui adjunctum legitur—ὡς Τρυφιόδωρος ἐν τῇ ἁλώσει φησὶ (de Junone):

Μήτηρ ἀθανάτοιο πυρὸς φαεσίμβροτος Ἥρη.

Ad v. Εὕρηκε τοῦτον μέλλοντα] Τῆς Μενελάου καὶ Ἀγα-

[e] κελασεν B. . . λευσ̃ A.

μέμνονος μητρὸς Ἀερόπης, καὶ Κλυμένης τῆς μητρὸς Παλαμήδους, πατὴρ ἦν ὁ Κρατρεὺς (sic) *ἐκ Κρήτης τῆς νήσου.*

Ad v. *Κατὰ τὰς ὄρνις ἃς*] *Τοὺς στραγαλίνους, παρὰ τὸ ἐν ἀκάνθαις διάγειν· στραγαλῖνοι δὲ, διὰ τὸ ποικίλον λέγονται ἀπὸ Ῥωμαϊκῆς ἐσθῆτος λεγομένης στραγγαλίας, ἢ μᾶλλον τοὐναντίον, ἡ ἐσθὴς ἀπὸ τῶν ζώων ἐκλήθη.*

Ad v. *καὶ σὺν αὐτῇ τῇ Αἴθρᾳ δὲ*] *Ἡ Αἴθρα τοῦ Θησέως ἦν μήτηρ, τοῦ πρώτου ἑπταετῆ τὴν Ἑλένην ἁρπάξαντος· ὅτε δὲ Κάστωρ καὶ Πολυδεύκης οἱ τῆς Ἑλένης ἐστράτευσαν ἀδελφοὶ κατὰ Θησέως, οὐδένα τῶν Ἀθηναίων ἐλυμήναντο, μόνην δὲ τὴν ἑαυτῶν ἀδελφὴν Ἑλένην ἐπανεσώσαντο, καὶ ταύτην τὴν Αἴθραν σὺν αὐτῇ αἰχμαλώτευσαν· ἥτις Αἴθρα τὴν μετ' Ἀλεξάνδρου φυγὴν τῆς Ἑλένης εἰς Τροίαν ἐπραγματεύσατο.*

Ad v. *Ὅθε καὶ ἥρπαξε τινὰς*] *Ὅτι ἥρπαξεν Ἀλέξανδρος καὶ ἀπὸ Σιδῶνος γυναῖκας, περὶ ὧν Ὅμηρος ἐν ζ ῥαψωδίᾳ λόγον ποιεῖται λέγων· ἔνθ' ἔσαν .... εὐπατέρειαν.*

Post citatos de Antenore Menelai legatos excipiente versus, addit Tz.: *Οὕτως ἐγὼ, ἀπὸ στήθους πάντα εἰδὼς, καὶ τὰ συνεσπαρμένα διαφόροις τόποις συνάγων, καὶ τοῖς οἰκείοις προσφυῶς προσκολλῶν, καὶ εὐκρινῆ τὸν λόγον ποιῶν, τοὺς ἀκροατὰς οὐ συγχέω, καθάπερ τινὲς τὰ πρῶτα ὑστέρως, καὶ πρώτως τὰ ὕστερα λέγοντες, τινὰ δὲ μόνον ἀποφθεγγόμενοι ἀμυδρῶς καθάπερ αἰνίγματα.*

Ad v. *Ἀπὸ θαλάσσης καὶ δυσμῶν*] *Βορᾶς τινὲς διὰ δύο ρρ γράφουσι· τὸ δὲ βορέας δι' ἑνός· ἐγὼ δὲ ἀπὸ τοῦ βορέας βορᾶς εἰδὼς τοῦτο γεγονὸς, ὡς τὸ βορέας, δι' ἑνὸς ρ καὶ τοῦτο γράφω, καὶ γράφειν οὐ παύσομαι.*

Ad v. *Καὶ Θέτιδος*] *Τοῦ Νηρέως· ἐτύγχανε Θέτις δὲ ἡ σοφὴ καὶ λεκανομάντις, ἡ μήτηρ Ἀχιλέως, θυγάτηρ ἦν Χείρωνος φιλοσόφου.*

Ad v. *καὶ Ἀχιλεύς*] *Ἐν τοῖς φρονοῦσι μᾶλλον ἁρμόζειν γράφειν· ἄχος γὰρ, ὡς λέγουσιν, ἦν Ἰλιέων· εἴτ' οὖν τροφῆς ἄμοιρος, ὡς Εὐφορίων, καὶ πῶς διπλοῖς γράφοιτο τοῖς λάμβδα λέγε.*

Ante ad v. *καὶ πλεῖστα δῶρα*, inter lin. *τούτου μέμνηται Πίνδαρος.*

In verb. *τὸν Μενοιτίου*, pro *καὶ Φιλομήλης*, "Γρ' *καὶ τῆς Σθενέλης.*"

In v. *Φοίνικα τὸν*, pro *καὶ Κλεοβούλης*, "Γρ *καὶ Εὐρυδίκης.*"

Ad v. *Οἷος ὁ Σικυώνιος*] *Σικυὼν ἐστὶν ἡ χώρα τῶν ἑλλαδικῶν*[f] *Βλάχων.*

E regione versus: *καὶ μᾶλλον ἕνεκα αὐτοῦ καὶ δωρεὰ δόθη μοι*: *Ὅμηρος καὶ οἱ πλείους Ἀτρέως φασὶ τούτους, Ἡσίοδος δὲ Πλεισθένους· καὶ Αἰσχύλος λέγων·*

Ἀρᾶτ' ὀλέσθαι πᾶν τὸ Πλεισθένους γένος.

Ad v. *Ἦν Ἀχιλεὺς τῆς Θέτιδος*] *Τὸν Ἀχιλλέα ληροῦσι τινὲς πεντεκαίδεκα ἐτῶν ὄντα ναυαρχεῖν· φαίνεται δὲ καὶ Ὅμηρος ἐν τῇ ι ῥαψῳδίᾳ τούτοις συνᾴδων· φησὶ γὰρ ὡς ἀπὸ τοῦ Φοίνικος,*

πῶς ἂν ἔπειτ' ἀπὸ σεῖο φίλον τέκος αὖθι λιποίμην, (Il. I. 437.)

Ad v. *Οἱ δ' ἄλλοι πάντες ἀδελφοὶ*] *Ἕτεροι δὲ Ἀρκεσσιλάου Προθοήνορα καὶ Κλόνιον μόνους φασὶν εἶναι ἀδελφοὺς, υἱοὺς Ἀστερόπης καὶ Ἀρηϊλύκου, ὡς καὶ ἡμεῖς ἐν ἑτέρᾳ γυναικείᾳ*[g] *βίβλῳ ἐγράψαμεν, καὶ Προθοήνωρ, Κλόνιος σὺν τῷ Ἀρκεσιλάῳ καὶ Ἀστερόπης υἱοὶ καὶ τοῦ Ἀρηϊλύκου.*

Ad v. *Λήιτος παῖς Ἀλέκτορος*] *Ὅμηρος δὲ Ἀλεκτρύονος τοῦτον φησὶ λέγων,*

Λήϊτον αὖθ' Ἕκτωρ. (Il. P. 601.)

Ad v. seq. verbum ult. inter lin. *ἡ θεοβούλης.*

Ad Diomedis descript.: *Οὕτω γάρ φησι* (*Θεόκριτος*)·

Ἀργεία κυανόφρυ, σὺ δὲ λαοφόνον Διομήδεα
μισγομένη Τυδῆϊ τέκες Καλυδώνιον ἄνδρα. (Id. XVII. 53.)

Post *ἔκφρασιν Χρυσίδος* ad v. *Κονδὴ λεπτή τε καὶ λευκὴ*] *Ἔστ. καὶ ἡ ξανθόθριξ καὶ ἡ ξανθότριχος, ὡς παρὰ Πινδάρῳ·*

Οὐ μὰν χαλκάρματος οὗτος

εἰ μὴ γὰρ ἦν, εἶπεν ἂν χαλκάρμας καὶ οὐ χαλκάρματος.

[f] *ἑλλαθικῶν* B. [g] *γυναικῶ* B.

Deinde ad v. Ἡ δέ γε Ἱπποδάμεια] Ἔκφρασις μορφῆς Βρισηΐδος τῆς καὶ Ἱπποδαμείας, θυγατρὸς μὲν τοῦ Βρισέως, γυναικὸς Μύνητος βασιλέως Λελέγων, ὧν ἀνελὼν Ἀχιλεὺς ἔσχε ταύτην παλλακὴν, παραβὰς τοὺς πρὸς Ἕλληνας ὅρκους. Est argumenti. E regione versus: Συνῆψε πόλεμον βαρὺν] Μέμνηται τούτου Πίνδαρος οὕτω γράφων·

τίς γὰρ ἐσλὼν (sic) Τήλεφον τρῶσαι δωρὶ
Καΐκου παρ' ὄχθαις. (Isthm. V. 52.)

Ad v. καὶ σὺν αὐτοῖς ὁ Θέρσανδος] Ἡπ' (sic pro ὑπ') αὐτοῦ Τηλέφου Θερσάνδρος ἀνῃρέθη.

Ad v. καὶ τότε τρέψει τὸν λοιμὸν] Ἀποτροπιασμοῖς καὶ ἐπῳδαῖς ἠδύναντο οἱ μάγοι καὶ λοιμικὰ καὶ ἕτερα μετατρέπειν νοσήματα· ὡς Ὀρφεὺς γράφων παραδεικνύει· Πυθαγόρας τὲ καὶ Ἐμπεδοκλῆς πολλὰ τοιαῦτα μετατρέψαντες καὶ αὐτή (sic)· ὥσπερ καὶ ἐν τῆς[h] Ἀντιόχου χρόνοις ἐν Ἀντιοχίᾳ ὁ Λαΐος[i] νόσημα λοιμικ∴ ἐξελάσας, οὗ καὶ αὐτὸς ἐγὼ ἐν ἐπιταφίῳ ἐμνήσθην, εἰπών·

Οὐκ ἦν σοφιστὴς ἱκανῶς τίς (sic) ἐν λόγοις·
οὐκ ἦν[k] τελεσθεὶς μυστικῶν τελεσμάτων,
ὡς ἄκος εὑρεῖν μυστικωτάταις[l] τέχναις
εἰς ἐξέλασιν λοιμικῶν τοξευμάτων,
ὡς πρὶν Λαΐος ἐν χρόνοις Ἀντιόχου,
Χαρώνιον πρόσωπον ἐγκλύψας πέτρας ⁞ (sic).

Τοιαῦτα πολλὰ καὶ Ἀπολλώνιος ὁ Τυανεὺς ἐν ἐπῳδαῖς ἀνέπαυσεν[m], ἐν τοῖς Δομετιανοῦ χρόνοις ὑπάρχων.

Ad Il. B. Ad aliquem versuum initii: Κλιμακωτὸν, κατ' ἐμὲ δὲ κλίμαξ] Διαφέρει γὰρ κλίμαξ καὶ κλιμακωτὸν, ὡς τροπὴ καὶ τροπικὸν, διήγημα καὶ διηγηματικόν· τινὲς δὲ τὸ κλιμακωτὸν ἀτελῶς κλίμακα ἐκάλεσαν.

Ad Il. Δ. v. ὁ Ὀδυσσεὺς ἀνῄρηκε βαλὼν κατὰ τὸν μήνιγκα κόρσην (sic)] Κόρσης νῦν ὁ μῆνιξ (sic), παρ' Ἐμπεδοκλῇ δὲ καὶ ἡ ὅλη κεφαλή· φησὶ γὰρ, ὡς πολλῶν μὲν κόρσαι ἀναύχενες βλάστησαν. ὁ κόρσης δέ ἐστιν, ἀρσενικῶς.

[h] Sic. A. τῇ B. [i] Sic A. λάϊος B. [k] οὐκεῖν B. [l] μυστικωτάτως B. [m] ἀπέπαυσε B.

Ad v. τῶν Ἐπειῶν τὸν στρατηγὸν, τουτέστι τῶν Ἡλείων] Ἡλείων καὶ ψίλου καὶ δάσυνε· ψίλου μὲν κατὰ τὸν κανόνα τὸν λέγοντα τὸ η πρὸ τοῦ λ ψιλοῦται, ἠλίβατος, ἡλιαία δικαστήριον ἐν ταῖς Ἀθήναις· ἐγὼ δὲ καὶ τὴν ἡλιαίαν δασύνω· διὰ γὰρ τὸ ἐν ἡλίῳ καὶ ὕπαιθρος εἶναι ἡλιαία ἐκκλεῖτο· ἠλιτόμηνος ὁ ἀμβλωθρύδιος τόκος καὶ διημαρτήμορος τοῖς (sic) ἐναμηνιαίου κυήσεως, πλὴν τοῦ ἥλιος· δάσυνε δὲ ἀπὸ τοῦ ἁλίζω τὸ συναθροίζω· τὸ γὰρ ἀθροιστικὸν α δασύνεται· ὅθεν καὶ ἅλς τὸ συνηθροισμένον ὕδωρ, καὶ Ἧλις ἡ πόλις καὶ χώρα οὕτω δασύνεται· κατὰ μὲν ἑτέρους, ὅτι ἐν τῷ ἐπὶ Δευκαλίωνος κατακλυσμῷ ἐκεῖ συνηθροίσθησαν οἱ λαοί· κατ' ἐμὲ δὲ, ὅτι ἐκεῖ συναθρήσεις ἐγίνοντο πενταετηρικῶς διὰ τὴν Ὀλυμπίαν· ὅθε καὶ ἀλεαι (sine acc.) αἱ ἐκκλησίαι καλοῦνται ἀπὸ τοῦ συναθροίζεσθαι ἐκεῖ· ὡς καὶ Καλλίμαχος φησί· εἰς τὸ προτείχευς ἱερὸν ἀλέαι [ex quo factum ἀλέες[n]] δεῦτε· οὗ τὸν πάλαι χάλκειον ὁ πλάσας ζανα (sine acc.). γέρων ἀλαζὼν [hæc cum scholio: γέρων ἀλαζὼν ὁ ἄθεος Εὐήμερος] ἄδικα βιβλία ψύχει· καὶ οὕτω ὀφείλει ἡ ἦλις [ex quo factum ἦλις] δασύνεσθαι· ψιλοῦται δὲ καὶ καθ' ἕτερον κανόνα λέγοντα τὸ η ἐν τροχαικῇ λέξει ψιλοῦται·

δάσυνε λοιπὸν ἀδεῶς τὲ καὶ ψίλου,
Τζέτζου πεποιθὼς συγγραφαῖς ἰσχυῦ[o] (sic) γράφεις.

Ad v. ὅστις σημεῖον πέφυκε] Καλῶς εἶπον καὶ πολέμω[p] (sic)· οὐ μόνον γὰρ πολέμων σημεῖον ἐστὶ, ἀλλὰ καὶ αὐχμῶν καὶ ναυαγίας καὶ κτηνῶν ἀπωλείας καὶ πνευμάτων καὶ γάμων δηλωτικὸν [—ῶζ' quod —τικῶν foret]. ὥσπερ καὶ ὁ Τζέτζης προειπὼν περὶ τοῦ βασιλέως γάμου, ὅτι μετὰ ἑπτὰ μῆνας γενήσεται Ἰανουαρίου μηνὸς, οὐκ ἀδόκιμος ἐφάνη περὶ τὴν πρόῤῥησιν· καὶ ἑτέρων πλειόνων ὁ κομήτης ἐστὶ δηλωτικῶς (sic) καθὼς ὁ μαθηματικῶς ἀνωνύμως περὶ κωμητῶν ἀκριβέστατα διέλαβε.

Ad v. . . ια δ' ἐνταῦθα νόησον] Ἔστι καὶ πλάτης λεγόμενος καὶ πλανίγγης [sic sine dubio pro πλανητης[q]].

[n] ἀλεος B. [o] ἴσχυνων B. [p] πολέμη B. [q] πλανήτης B.

Locum hic subjiciam e textu ipso Tzetzis, ubi de variis mechanicis antiquis agit:

οὕτω γὰρ δρᾶν κελεύουσι, πάντες μηχανογράφοι,
Φίλων καὶ Φιλαιτέριος, Ἰσόης, Ἀρχιμήδης,
Ἥρων καὶ Διονύσιος, Σώστρατος καὶ Πάππος,
ὁ Παλλαδᾶς Ἀθηναῖος, σὺν τῷ Ἀπολλοδώρῳ,
Κτησίβιος, Ἀνθέμιος, μετὰ τοῦ Πατροκλέους·
ἐξ ὧνπερ ἀνεγνώκειμεν, πολλὰς μηχανουργίας.

Ad v. *φεύγοντα τὸ μετάφρενον*] *Μετάφρενον τὸν μετὰ τὸν τράχηλον ὦμέρος* (sic), *μεταξὺ τὸν ὦμον, τὴν ῥάχιν δεδυσωμίας* (sic): *γλουτὸς τὸ ὄπισθεν μέρος τοῦ ἰσχίου.*

Ad v. *καὶ πέφευγεν Αἰνείας*] *Τὸ σχῆμα τὸ κατὰ ἄνθροισιν καὶ μερισμόν· ἄθροισις μὲν γὰρ τὸ οὗτοι, μερισμὸς δὲ, τὸ ὁ μὲν τόν· Ἀντίλοχος δὲ τὸν δεῖνα.*

Ad Il. Z. v. *Ἀπῆν γὰρ Ἕκτορος θυμὸς*] *Ἐγνώσθη γὰρ Διομήδης, ὅτι κατόπτρῳ μηχανικῷ πυρὸς φαντασίαν προπέμπει, Ἕκτωρ δὲ τῷ πάθει θέμενος μάθος* (sic) *ἐπαύθη τοῦ συναλογίσθω* (sic) *καὶ ἀπερισκέπτῳ θυμῷ μάχεσθαι. Ἀρίσβη ὄνομα πόλεως κειμένης πλησίον Ἑλλησπόντου.*

Ad v. *ἐν τῷ ναῷ τῆς Ἀθηνᾶς*] *Τῆς Ἀθηνᾶς τῆς φρονήσεως· ἐν τοῖς ἀγροῖς γὰρ οἱ παλαιοὶ Ἄρεος ἴστων* (sic, sed in litura) *καὶ ἐζωγράφουν ἀγάλματα, ἐν δὲ ταῖς πύλαις τῶν πόλεων καὶ οἰκείων* (sic) *ἀθηνᾶς συμβολικῶς λέγοντές τε καὶ προτρεπόμενοι, ὡς ἐν τῆς* (sic) *ἐκτὸς δὴ θυμοῦ καὶ πολέμου, ἐν δὲ τοῖς ἐντὸς καὶ ταῖς οἰκείαις καὶ πόλεσι εὐβουλείας τὲ καὶ φρονήσεως.*

Paullo post: *πῶς δεῖ νοεῖν σε τῶ* (sic) *παρ' Ὁμήρῳ·*

ἔνθ' αὖτε Γλαύκῳ Κρονίδης φρένας ἐξέλετο Ζεύς. (Il. Z. 234.)

τὸ ἐξέλετο ἀντὶ τοῦ ἐξαιρέτους καὶ δεδοξασμένας ἐποίησεν· οὐ μὴν ἄφρονας, ὥσπερ ἂν ἕτερος εἶπε φιλόχρυσος καὶ ἀγεννὴς ποιητής, Ἡσίοδος, ἢ καὶ Σιμωνίδης, ἢ Πίνδαρος· Ὅμηρος δὲ τὴν ψυχὴν προτιθέναι τῶν φίλων παιδεύων, πῶς μικρολογεῖσθαι καὶ φειδωλεύεσθαι περὶ τοιαῦτα ἐπίσταται; ἄπαγε δεύτερα τὰ τοιαῦτα πάντα· φιλίας νομίζει καὶ πολ-

λοιπὰ, καὶ τὸν Γλαῦκον, ὡς μεγαλόφρονα καὶ λίαν φιλότιμον διὰ φιλίαν φανέντα, γεραίρει τοῖς ἔπεσιν.

Ad Il. H. v. *καθιδρύθεντων γρ.* recentiori manu *καὶ ἡδρυνθέντων*] Ἡδρυθέντων· Ἰωνικῶς ἡδρυνθέντων μετὰ τοῦ ν· ὡς τὸ κλινθέντων, Ἀττικῶς δὲ ἄνευ τοῦ ν· ὡς τὸ, κλιθέντων καὶ τὰ ὅμοια (sic).

Ad v. *ἐν τροπικοῖς—καταρχῶν·*

ἐν τροπικοῖς οὔτ' αὖ γαμέειν καλὸν, οὔτε γάμοιο
μνησθείην ἐρατεινὴν (sic) τελέειν· οὐ κτήσιος ἦν[r]
μήτε δαημοσύνην τέχνης τινὸς ἄρχεο τῆμος.
εἰ δὲ καὶ ἄλλό τι πρᾶγμα θέλεις μίμνειν ἐπιδηρὸν[s]
μὴ σύγε τοῦτ' ἔρξεις[t] τροπικοῖς μήνης ἐνεούσης.
πάντα γὰρ ἐν τροπικοῖσι παλίντονα ἐκτελέουσι,
καὶ χρησμοὶ καὶ ὄνειροι ψεῦδοντ' ἐν τροπικοῖσι·
ῥηϊδίως ὁ λαβὼν καὶ ἀσπασίως ἀποτίσει·
εἰ δὲ ξένην πλώην[u] καὶ ὁδεύειν ἦν (sic) ἐθέλησθα,
ἐν τροπικοῖς κέλομαι· νοῦσος[v] δέ τοι ἔσσεται ὠκύς·
καὶ εἰς οἶκον ἴθι[w] τῆμος, ξένης ἀπὸ γαίης·
ἢν δὲ φύγῃ θεράπων κακομήχανος ἐν τροπικοῖσιν,
ἂψ εἰς οἶκον ἄνακτος ἐλεύσεται, οὐδ' ὑπαλύξει.
κλέψας[x] δ' ἐν τροπικοῖσιν ἁλίσκεται, οὐδέ τε λήσει.

Ad Il. Θ. v. Ἡ *εἱρμαρμένη τότε*] Τὸ ζυγὸν νῦν, τὸ ζύγον (sic)· ἀλλὰ καὶ ἅ (sic) ζευγνύουσιν· ὑποζύγια παρ' Ὁμήρῳ καὶ τοῖς ἀρχαίοις οὐδετέρως λέγεται.

Statim post: Εἴδη κεραυνῶν ἕξ· ψολόεντες, πυρόεντες, σκηπτοὶ καὶ καταιβάται· καὶ ἑλικίαι μετ' αὐτοὺς καὶ σὺν αὐτοῖς ἀργῆτες. Λέγεται δὲ καὶ ἀργὴς καὶ ἀργήτης.

Ad nescio quem versuum post decimum: Ἐπωχοῦντο γὰρ τινὲς τῶν ὑπερόχων τὸ παλαιὸν καὶ τέτρασιν ἵπποις, ὡς Ἀβραδάτης, ὕστερον τετραῤῥύμῳ ἅρματι ἐποχούμενος ἐξήπτων (sic) ὀκτὼ συνεστηκότι.

[r] κτήσι° ων B. [s] ἐπὶ δηρὸν B. [t] ἔξεις B. [u] Sic A. πλοίην B. [v] νοῦσος Codd. sed Dubn. monet leg. νόστος. [w] ἴθη B. [x] κλέκτες A. Sic, ut videtur a pr. m.; deinde κλέψης vel κλέψτις, litura enim magna in quinta littera.

Ac subinde: Θώρακα τὸν περὶ τὸ στῆθος πολεμικὸν σιδηροῦν χιτῶνα· ὁ Διομήδους δὲ θώραξ, λωρίκιον ἦν καὶ οὐ σωσάνιον. ἀλυσειδωτὸν γὰρ Ὅμηρος οὕτω φησί·

αἷμα δ' ἀνικόντιζε διαστρεπτοῖο χιτῶνος·

στρεπτὸς δὲ, ὁ ἀλυσειδωτὸς λέγεται· ἔδειξα καὶ ὄπισθε περὶ αὐτοῦ λέγων, εὑρεθέντος ἐν Λογγιβαρδίᾳ, ὅτι τὸ τῶν ζαβῶν πάχος ἰσοπαχὲς εἶχε μεσοπαχεῖ κονδύλῳ. ὁ Μασιστίου δὲ θώραξ ἐν τοῖς Περσικοῖς σωσάνιον ἦν· ὁλόχρυσον γὰρ αὐτὸν λεπιδωτόν· Ἡρόδοτος καὶ ἕτεροι φασὶν ἱστορικοί. δι' ὅνπερ θώρακα τοῦ ἀνδρὸς ἀνῃρημένου, μάχη τοῖς Ἕλλησι προσαλλήλους γέγονε καρτερά.

Ad v. ὃ λέγεται πωμήριον] Πωμήριον Λατινικῶς λέγεται τὸ ἀπὸ τῆς τάφρου μέχρι τοῦ τείχους διάστημα· καὶ τὸ ἐντὸς ἀπὸ τοῦ τείχους μέχρι τῶν οἰκιῶν.

Ad v. Ὁ δ' ἔκλινε τὴν κεφαλὴν] Κωδεία (sic) τὸ ὑπνωτικὸν φύτρον (sic: φυ^{τρ}) παροξυτόνως, παρὰ τὸ, κώματι ἢ ὕπνῳ δέειν καὶ δεσμεῖν· κώδεια δὲ ἡ κεφαλὴ προπαροξυτόνως, παρὰ τὸ κεῖσθαι τὰ δέοντα ἐν αὐτῇ, ἤτοι τὸ λογιστικόν.

Ad v. Μετὰ βροντὰς ἃς εἶπον] Λέγεται καὶ ἀργὴς καὶ ἀργήτης, ὅθεν ἀργῆτ . . τὸ γῆ καὶ ὀξύνειν δεῖ . . περισπᾶν.

Ad v. Ὡς κλέος Ἥρας] Τὸ σχῆμα παρετυμολογία καλεῖται.

Ad v. ὅταν δ' ὁ Μέμνων] Μετὰ τοῦ Αἰθίοπος Μέμνονος ὕστερον σύμμαχος ἦλθε· τῇ τρ^{αι} (sic, Τροίᾳ) Πολυδάμας ὁ Ἰνδός· ὁ γὰρ Τρωϊκὸς Πολυδάμας ὁ Πάνθου υἱὸς μιᾷ νυκτὶ γεννηθεὶς, ὅτε καὶ Ἕκτωρ, ὁ καὶ Τρωϊκὸς βουληφόρος, ἀεὶ τῇ Τροίᾳ παρῆν· τέως σημείωσαι, ὅτι Ἕκτωρ νυκτὸς γεννηθεὶς Ἀρεϊκὸς ἦν, καὶ τὸν γενέθλιον Ἄρην ἔχων, αἱρετὴν καὶ οὐ παναιρέτην, γενναῖος ἦν τὰ πολημικὰ διὰ τοῦτο.

Ad v. ἑπτὰ μὲν δοῦναι τρίποδας] Τρίποδες (vel ας, vel δαις: non liquet), ὑδροδόχα δοχεῖα· τινὰ μὲν εἰς μαντείας χρησιμεύονται, τινὰ δὲ εἰς ἐπίχυσιν θερμῶν λουτρῶν· οὔπω γὰρ λουτρῶνες τοῖς παλαιοῖς ἐγνωρίζοντο· ἀλλὰ τοῖς τρίποσι τούτοις τὸ ὕδωρ θερμαίνοντες, ἔλουοντο, ὡς Ὅμηρος δείκνυσι διὰ

Ἀνδρομάχην λέγων· Κέκλετο δ' ἀμφιπόλοισιν .... ἐκνοστήσαντι· ἐκ γὰρ τῶν περὶ Ἑλλήνων λεγομένων οὐκ ἔστι ῥᾳδίως τοῦτο τινὰ συμβαλεῖν· ἴσως γὰρ ἄν τις ἐρεῖ, ἀπεξενωμένοι τῆς πατρίδος, καὶ μὴ εὑρίσκοντες λουτρῶνας, οὕτω τοῖς τρίποσιν ἐλούοντο· ἐκ δὲ οὗ εἴπομεν περὶ Ἕκτορος· βασιλέως, τε ὄντος καὶ ἐν τῇ οἰκείᾳ πατρίδι ὑπάρχοντος, κατάδηλον γίνεται, ὅτι οὐκ ἦσαν λουτρῶνες τοῖς παλαιοῖς.

Ad v. abhinc tertium: Ὁ λουτρὼν λέγεται τὸ βαλανεῖον ἀρσενικῶς· τὸ λουτρὸν δὲ, τὸ θερμὸν ὕδωρ ᾧ λουόμεθα, καὶ τὸ ψυχρόν.

Ad v. Καὶ κήρυκας ταλθ—] Κήρυκας, μανδάτωρας, μᾶλλον δὲ τοὺς νῦν λεγομένους τζαουσίους.

Ad Il. K. v. Καὶ σὺν αὐτοῖς ὁ Νέστορος υἱὸς] Ὁ Θρασυμήδης, ὡς τῶν φυλάκων ἡγεμόνες.

Ad v. Πρὸς τὰς εὐτραπελίας] Φάμουσα φλυαρίαι καὶ ὑλεῖς (sic) ἔγγραφοι.

Ad v. Μανδύα δίκην σκεποῦσαν] Μανδύας, τοῦ Μανδύα καὶ Μανδύου· ἵνα δὲ μὴ νομίσῃ τίς οὐδέτερον εἶναι, Μανδύα ἔκλινα καὶ οὐ Μανδύου· τὸ δὲ Μανδύα δίκην, ἐφερμηνευτικὸν ἐστὶν τοῦ, ἀμφιβρότη.

Ad v. τὸν Ἶσον τε καὶ Ἄντιφον] Ὁ Ἄντιφος γνήσιος π̄. (παῖς) Πριάμου· ὁ δὲ Ἶσος, νόθος.

Ad v. Ὡς στρόμβον περιέτρεψε] Στρόμβον, στρόβιλον, ἢ τὸ τῶν παίδων παίγνιον, ὃ νῦν βέμβικα καλοῦσιν.

Ad Il. O. v. Λύκων δὲ καὶ] Ἀπὸ εὐθείας τῆς, ὁ Πηνέλεος, τὸ ος μικρὸν, Ἰωνικῶς.

Ad Il. Σ. v. Σκέπασμα τί μηχανητὸν] Μηχανητὸν φρονήσει τοῦ τεχνουργοῦ, ἀλλ' οὐκ Ἀχιλέως.

Ad v. τῷ τότε ἂν ἐπόρθησε, λόγος ἐστὶν ἀστεῖος] Γραφὴν Ὁμήρου ἀστείαν· ὁ Φαληρεὺς δὲ χάριν ὀνομάζει τὸ ἀστεῖον.

EXCERPTA VARIA.

Excerpt. e Georg. Chæerobosc. Schol. in Theodos. Cod. Bodl. olim Canonici 29. Chart. f. duod°. vald. rec.

Ἀρχὴ σὺν Θεῷ τῶν Κανόνων.

ΤΑ εἰς ας μονοσύλλαβα εἰ μὲν περισπῶνται ἀποβολῇ τοῦ σ ποιοῦσι τὴν γενικήν· οἷον, ὁ Γρᾶς τοῦ Γρᾶ· ἔστι δὲ ὄνομα κύριον· ὁ λᾶς τοῦ λᾶ, τοῦτο δὲ καὶ ποταμὸν καὶ λίθον σημαίνει· καὶ γέγονε τοῦτον τὸν τρόπον· ἔστι λάας λάαος· καὶ κατὰ κρᾶσιν τῶν δύο αα εἰς α μακρὸν γίνεται λᾶος·

λᾶος ὑπὸ ῥιπῆς (Il. M. 462.)

τουτέστιν ὑπὸ τῆς βολῆς τοῦ λίθου· αὕτη ἡ λᾶος γενικὴ μετάγεται εἰς εὐθεῖαν καὶ γίνεται ὁ λᾶος· καὶ λοιπὸν κατὰ κρᾶσιν Δωρικὴν τοῦ αο εἰς α μακρὸν λᾶς, ὡς Μενέλαος Μενέλας· Πτερέλαος, Πτερέλας· ὁ Θᾶς, τοῦ Θᾶ· ὁ Δᾶς, τοῦ Δᾶ· ὁ Χνᾶς, τοῦ Χνᾶ. Καὶ ἄξιον ἐστὶ ζητῆσαι εἰ τὰ εἰς ας μονοσύλλαβα ὀξύτονα διὰ τοῦ ντ κλίνονται· οἷον, Ζὰς, Ζαντός· Πρὰς, Πραντός· Φθὰς, Φθαντὸς, διατί τὸ κρὰς κρατὸς διὰ μόνου τοῦ τ ἐκλίθη; καὶ ἔστιν εἰπεῖν τὴν ἀπολογίαν ταύτην· ὅτι τὰ εἰς ας μονοσύλλαβα ὀξύτονα ὀνόματα, κύριά εἰσιν· οἷον Ζὰς, Ζαντός· Πρὰς, Πραντός· Φθὰς, Φθαντός· μόνον δὲ τὸ κρὰς προσηγορικόν ἐστιν· τὴν γὰρ κεφαλὴν σημαίνει· ἐπεὶ οὖν διήλλαξε παρὰ τὸ σημαινόμενον, εἰκότως καὶ παρὰ τὴν κλίσιν διήλλαξε, καὶ οὐκ ἐκλίθη ὁμοίως ἐκείνοις διὰ τοῦ ντ· ἀλλὰ διὰ μόνου τοῦ τ· ἔχομεν δὲ τὴν χρῆσιν τῆς εὐθείας παρ' Ἀμμίᾳ[a] τῷ Ῥοδίῳ "οὕτω χρυσῷ τοι φαέθοντι, πολλύλιτος φθέγγεται "κράς[b]."

Περὶ τῶν εἰς ων.

Τὰ εἰς ων πατρωνυμικὰ, τὸ ω φυλάττουσιν ἐπὶ τῆς γενικῆς οἷον Ἀτρείων, Ἀτρείωνος· Πηλείωνος· Κρονίωνος· τὰ εἰς ων

[a] παρ' ἀμμια Cod. Bekker. Anecd. Gr. p. 1182. παρὰ Σιμωνίδῃ.
[b] Bekker. οὕτως χρυσῷ τυ φαέθοντι πολύλιστος φαίνεται κράς.

ὑποκοριστικὰ, πάντως τὸ ω φυλάττουσιν ἐπὶ τῆς γενικῆς, οἷον· Βακχυλίδης[c], Βάκχων, Βάκχωνος· Σιμωνίδης, Σίμωνος· Σικελὸς, Σίκωνος· Λακεδαιμόνιος, Λάκωνος· Μυτιληναῖος[d], Μύτων, Μύτωνος. Τὰ εἰς ων συγκριτικὰ τρέπουσι τὸ ω εἰς τὸ ο ἐν τῇ γενικῇ· οἷον, μείζονος· κρείτονος· βελτίονος· ἀρείονος· χερείονος· γλυκίονος[e]· ἀμείνονος. Τὰ εἰς ων καθαρὸν βαρύτονα ἔχοντα δίχρονον ἐν τῇ παραληγούσῃ, εἰ μὲν ἐκτείνουσι τὸ δίχρονον, τρέπουσι τὸ ω εἰς τὸ ο ἐν τῇ γενικῇ· οἷον, Μαχάονος· Ἱκετάονος· Ἀρετάονος· εἰ δὲ συστέλλουσι τὸ δίχρονον, φυλάττουσι τὸ ω μέγα ἐν τῇ γενικῇ· οἷον, Ἠετίωνος· Ἀμφιτρύωνος. Τὰ εἰς ων λήγοντα καθόλου ἀρσενικὰ, δισύλλαβα βαρύτονα, βραχείᾳ παραληγόμενα, διὰ τοῦ ω κλίνεται· οἷον, κάνων, κάνωνος· Νέων, Νέωνος· Θέων, Θέωνος· Κλέων, Κλέωνος· τὸ Κρέων, Κρέοντος ὡς μετοχικὸν διὰ τοῦ ντ κλίνεται. Τὰ εἰς ων λήγοντα ὑπὲρ δύο συλλαβὰς μακρᾷ παραληγόμενα διὰ τοῦ ο κλίνονται· οἷον, Παιήων, Παιήονος. Τὰ διὰ τοῦ εων ὑπὲρ δύο συλλαβὰς βαρύτονα πεφύκασι φυλάττειν τὸ ω ἐν τῇ γενικῇ· οἷον, Γελέων, Γελέωνος· Ἀλκμέων, Ἀλκμέωνος. Τὰ εἰς ων παρώνυμα τὸ ω φυλάσσει ἐπὶ τῆς γενικῆς· οἷον, Θέων, Θέωνος· χωρὶς εἰ μὴ ὦσιν ἐκ τῶν εἰς ος συνθέτων· ταῦτα γὰρ διὰ τοῦ ο κλίνεται· ἄναιμος, ἀναίμων, ἀναίμονος· κατάπυγος, καταπύγων, καταπύγονος· καὶ διὰ τοῦτο τὸ Ἀκταίωνος ἀναλογώτερόν ἐστι φυλάττον τὸ ω ἐν τῇ γενικῇ· οἷον,

ὁρᾷς[f] τὸν Ἀκταίωνος ἄθλιον μόρον·

τοῦτο γὰρ παρώνυμόν ἐστι, καὶ οὐκ ἔστιν ἀπὸ τῶν εἰς ος συνθέτων· ἀπὸ γὰρ τοῦ ἀκτὴ γέγονεν ἀκταῖος καὶ Ἀκταίων· ὅταν δὲ γένηται διὰ τοῦ ο· οἷον,

Ἀκταίονός τε μήτηρ Αὐτονόην λέγων.

γνῶθι ὅτι διὰ τὸ μέτρον συνεστάλη τὸ ω εἰς τὸ ο ἐν τῇ γενικῇ· Ἰάσονος οὐκ ἀντίκειται ἡμῖν, οὐδὲ γάρ ἐστι παρώνυμον παρὰ τὸ ἴασις, ἀλλὰ ῥηματικὸν παρὰ τὸ ἰάσομαι μέσον μέλλοντα. Τὰ εἰς ων κοινὰ ἐν τῷ γένει, τρέπουσι τὸ ω εἰς τὸ ο ἐν τῇ

[c] βακχυλιδων Cod. [d] μυτηληναῖος Cod. [e] γλυκύονος Cod.
[f] ὁραῖος Cod. sed recte Bekker. Anecd. Gr., Ind. v. Ἀκταίων.

γενικῇ· οἷον ὁ σώφρων καὶ ἡ σώφρων, τοῦ σώφρονος· ὁ καὶ ἡ τέκτων, τέκτονος· ὁ καὶ ἡ γείτων, γείτονος· ὁ καὶ ἡ τλήμων, τλήμονος. Δεῖ προσθεῖναι χωρὶς τοῦ αἴθων· θωνος[g]· εἴρωνος· ταῦτα γὰρ κοινά εἰσιν τῷ γένει, ἀλλ' ὅμως φυλάττουσι τὸ ω ἐν τῇ γενικῇ. Τὰ ἔχοντα θηλυκὸν διὰ τοῦ αινα, διὰ τοῦ ντ κλίνονται· καὶ δῆλον ὅτι τρέπουσι τὸ ω εἰς τὸ ο ἐν τῇ γενικῇ, οἷον, δράκων δράκοντος, ὅτι δράκαινα· Δράκοντος κυρίου ὀνόματος· οἱ δὲ Αἰολεῖς Δράκωνος εἰρήκασι τὴν γενικὴν ἐπὶ τοῦ κυρίου ὀνόματος, ἐπὶ γὰρ τοῦ θηρίου καὶ αὐτοὶ δράκοντος λέγουσι. Δεῖ προσθεῖναι χωρὶς τοῦ Λάκωνος· ἔστι δὲ ἐθνικόν· τοῦτο γὰρ ἔχει θηλυκὸν διὰ τοῦ αινα· οἷον, Λάκαινα, καὶ οὐ κλίνεται διὰ τοῦ ντ· τὸ γὰρ τέκτων, τέκτονος· γείτονος, ἔχοντα θηλυκὸν διὰ τοῦ αινα· ἐπειδὴ ταῦτα κοινά ἐστι τῷ γένει, οἷον, ὁ καὶ ἡ τέκτων, καὶ μὴ κλινόμενα διὰ τοῦ ντ οὐκ ἀντίκειται ἡμῖν· ἐπειδὴ ταῦτα κοινά εἰσι τῷ γένει· οἷον ὁ καὶ ἡ τέκτων· ὁ καὶ ἡ γείτων· ἀλλ' οἱ ποιηταὶ παρωνύμως ποιοῦσι ταῦτα διὰ τοῦ αινα· οἷον, γείταινα· τέκταινα. Τὰ εἰς ων βαρύτονα ἐθνικὰ, φυλάττουσι τὸ ω ἐν τῇ γενικῇ· οἷον, Μύτων, Μύτωνος· Κύδωνος· Ἴτωνος· Καύκωνος. Δεῖ προσθεῖναι χωρὶς τοῦ Κίκων, Κίκονος[h] τοῦτο γὰρ κύριον μὲν ὂν, οὐ[i] φυλάττει τὸ ω, οἷον Κίκονος[k].

Ἀποροῦσι δὲ λέγοντες διὰ ποίαν αἰτίαν τὴν Θόαν καὶ τὴν Αἴαν αἰτιατικὴν μὴ λεγόμενα ἀπὸ τὸν Θόαντα καὶ Αἴαντα αἰτιατικῶν γεγενῆσθαι κατὰ ἀποκοπὴν τῆς τα συλλαβῆς, καὶ μὴ ὡς ἀπὸ τῆς ἰσοσυλλάβου κλίσεως.

Ἔστιν οὖν εἰπεῖν οὕτως· οὐδέποτε γενικὴ διὰ τοῦ ντ κλινομένη πάσχει ἀποκοπὴν κατὰ τὴν αἰτιατικήν· οἷον, Ξενοφῶν, Ξενοφῶντα· ἀμέλει τὸ Ποσειδῶν Ποσειδῶνος, μὴ κλινόμενον διὰ τοῦ ντ, πάσχει ἀποκοπὴν κατὰ τὴν αἰτιατικήν.

Ἀποροῦσι τινὲς πῶς Ὀρόντης Ὀρόντου διὰ τοῦ ντ κλινόμενον, οὐκ ἐκφέρεται διὰ τοῦ ος κατὰ τὴν γενικήν. Καὶ ἔστιν

g Sic Cod. h κίκκων κίκκωνος Cod. i Cod. male om. οὐ. k κίκκωνος Cod.

εἰπεῖν ὅτι οὐ κλίνεται τοῦτο διὰ τοῦ ντ· ἀπὸ γὰρ τῆς εὐθείας ἔχει τὸ τ· ἐκεῖνα γὰρ λέγονται κλίνεσθαι διὰ τοῦ ντ ὅσα ἀπὸ κλίσεως ἔχουσι τὸ ντ· τουτέστι ἐν τῇ γενικῇ.

Ἄξιον δέ ἐστι ζητῆσαι διὰ ποίαν αἰτίαν Αἴας Αἴαντος λέγομεν, καὶ μὴ Αἴας Αἰάντου· καὶ ἔστιν εἰπεῖν, ὅτι ὡς ἐμάθομεν τὸ υ τελικὸν ἐστὶν ἰσοσυλλάβου κλίσεως κατὰ τὴν γενικήν· οἷον, κοχλίας, κοχλίου· Αἰνείας, Αἰνείου· ἡ γὰρ μεγάλου γενικὴ ἑτερόκλιτός ἐστιν ὡς ἀπὸ τῆς μεγάλος εὐθείας· ἐξ ἧς καὶ ἡ εὐθεῖα τῶν πληθυντικῶν οἱ μεγάλοι· ἐὰν οὖν γένηται ἡ γενικὴ Αἴας Αἰάντου, εἰς τὸ υ καταλήγει, καὶ περιττοσυλλαβεῖ τῆς ἰδίας εὐθείας, ὅπερ ἐστὶν ἀδύνατον· τὸ γὰρ υ ὡς εἴρηται, τελικόν ἐστιν ἰσοσυλλάβου γενικῆς, ἐν οἷς σὺν Θεῷ καὶ ἡ παροῦσα πράξις.

Ἀποροῦσι δέ τινες λέγοντες διὰ ποίαν αἰτίαν, Αἴας Αἴαντος λέγομεν καὶ μὴ Αἴας Αἴαντεος. Καὶ ἔστιν εἰπεῖν ὅτι οὐδέποτε γενικὴ περιττοσυλλαβεῖ δύο συλλαβὰς τῆς ἰδίας εὐθείας ἀλλὰ μίαν· Λάχητος· Πάριδος· ἐὰν οὖν γένηται Αἰάντεος, μέλλει δύο συλλαβὰς περιττεύειν τῆς ἰδίας εὐθείας, ὅπερ ἀδύνατον.

Ἄξιον ἐστὶ ζητῆσαι διὰ ποίαν αἰτίαν ἐν τοῖς δυϊκοῖς ὀρθὰς καὶ αἰτιατικὰς λέγομεν ὁμοῦ· καὶ γενικὴ καὶ δοτικὴ ὁμοῦ πάλιν λέγομεν· καὶ μὴ τυχὸν ὀρθῆς καὶ γενικῆς· καὶ δοτικῆς καὶ αἰτιατικῆς. Καὶ ἔστιν εἰπεῖν, εὐλόγως ὀρθὴν καὶ αἰτιατικὴν λέγομεν, ἐπειδὴ συγγένειαν ἔχει ἡ ὀρθὴ πρὸς τὴν αἰτιατικήν· καὶ δῆλον ἐκ τῶν οὐδετέρων· καὶ γὰρ ἐν τοῖς οὐδετέροις, τὴν αὐτὴν ὀρθὴν καὶ αἰτιατικὴν καὶ κλητικὴν λέγομεν· οἷον τὸ βῆμα, τοῦ βήματος, τὸ βῆμα, ὦ βῆμα· καὶ ἐκ τούτων δὲ δείκνυται ἡ συγγένεια τῆς ὀρθῆς πρὸς τὴν αἰτιατικὴν, καὶ τῆς γενικῆς πρὸς τὴν δοτικήν· ἔστιν Ὅμηρος καὶ ἄνθρωπος, καὶ ἰδοὺ ταῦτα προπαροξύνονται κατὰ τὴν εὐθεῖαν· ἐν δὲ τῇ γενικῇ καὶ δοτικῇ, πρὸ μιᾶς ἔχει τὸν τόνον· Ὁμήρου, Ὁμήρῳ· ἀνθρώπου, ἀνθρώπῳ· ἡ δὲ αἰτιατικὴ πρὸς τὴν εὐθεῖαν τὴν ἰδίαν γίνεται· τουτέστι προπαροξύνεται· οἷον, Ὅμηρον, ἄνθρωπον· καὶ

ἰδοὺ ἡ μὲν δοτικὴ, ὁμοιότητα ἔχει πρὸς τὴν γενικὴν, ἡ δὲ αἰτιατικὴ πρὸς τὴν εὐθεῖαν· καὶ γὰρ τὸν αὐτὸν τόνον ἔχουσι καὶ τὴν αὐτὴν κατάληψιν· τούτου χάριν ἐν τοῖς δυϊκοῖς ὀρθὴν καὶ αἰτιατικὴν λέγομεν· καὶ γενικὴ καὶ δοτικὴ ὁμοίως· ταῦτα μὲν ἐν τούτοις.

Πάλιν ἄξιόν ἐστι ζητῆσαι, εἰ ἄρα ἐν τοῖς δυϊκοῖς, ἡ αὐτὴ ἐστὶν καὶ αἰτιατικὴ καὶ κλητική· ἐστὶ γὰρ ὀρθὴ καὶ αἰτιατικὴ τὼ Αἴαντε, καὶ ἡ κλητικὴ ὁμοίως, ὦ Αἴαντε· διατί μὴ λέγομεν ὁμοῦ ὀρθὴν καὶ αἰτιατικὴν καὶ κλητικήν; Ἔστιν οὖν εἰπεῖν ὅτι οὐ δύναται ἡ κλητικὴ μετὰ τῆς ὀρθῆς καὶ αἰτιατικῆς παραλαμβάνεσθαι· ἐπειδὴ τὸ ἄρθρον κωλύει, καὶ τὸ σημαινόμενον· τὸ ἄρθρον μὲν, ἐπειδὴ ἡ μὲν ὀρθὴ καὶ αἰτιατικὴ τῶν δυϊκῶν ἔχουσιν ἄρθρον· τὸ γὰρ ω οὐκ ἔστιν ἄρθρον, ἀλλ' ἐπίῤῥημα κλητικόν· τῆς οὖν ὀρθῆς καὶ αἰτιατικῆς ἐχούσης ἄρθρα, πῶς δύναται ἡ κλητική;

Τὰ εἰς ης ἰσοσυλλάβως κλινόμενα, εἰ μὲν ἔχουσι[1] ἢ ἐθνικά εἰσι, ἢ ἀπὸ ῥήματος σύνθετα· ἢ εἰς της ἅτινα δοκοῦσι ποιητικὰ εἶναι, εἰς α ἔχουσι τὴν κλητικὴν, οἷον, θύτης, ὦ θύτα· ταῦτα γὰρ ἔχουσι τὸ τ, καὶ τούτου χάριν ἔχει τὴν κλητικὴν εἰς α. Δεῖ προσθεῖναι χωρὶς τοῦ ὦ Αἰήτη παρὰ Ἀπολλωνίῳ, καὶ χωρὶς τοῦ, ὦ καλλιλαμπέτη, καὶ τοῦ "ὦ αἰναρέτη τίς σέ "ἄλλος ὀνήσεται ὀψιγόνων[m]·" αἰναρέτης δέ ἐστιν· ταῦτα δὲ σημειούμεθα ὅτι ἔχοντα τὸ τ, εἰς τὸ η ἔχουσι τὴν κλητικὴν, καὶ οὐκ εἰς α· ἐθνικὰ δὲ, οἷον, Σκύθης, Σκύθου, ὦ Σκύθα· Καπαδόκης ὦ Καπαδόκα· ὦ Πέρσα· τὸ γὰρ ὦ Πέρση τὸ παρὰ[n] ποιητῇ Ἡσιόδῳ, οὐκ ἔστιν ἐθνικὸν ἀλλὰ κύριον. Τὰ δὲ μή τε τὸ τ ἔχοντα, μήτε ἐθνικὰ ὄντα, μήτε ἀπὸ ῥήματος, μήτε εἰς η ἔχουσι τὴν κλητικὴν, ἀποβολῇ τοῦ σ ποιοῦσι τὴν κλητικήν· ὁ Χρύσης, ὦ Χρύση· ὦ Ξέρξη· ὦ Εὐριπίδη. Σημειούμεθα ἐν τῷ κανόνι τούτῳ, ὁ λάγυνης, τοῦ λάγυνου, ὦ λάγυνα· καὶ τὸ πυραίχμα, καὶ τὸ ὦ Μενέσθα· ταῦτα γὰρ εἰς α ἔχουσι τὴν κλητικὴν, ὀφεῖλον εἰς η αὐτὴν ἔχειν· τὸ γὰρ Στρεψιάδης, ὦ Στρεψιάδη·

[1] Leg. ἔχ. τὸ τ. [m] Hom. Il. Π. 31. [n] περὶ Cod.

καὶ τὸ ὦ Ἡρακλεῖδη γινόμενα ἐν τῇ κλητικῇ, Στρεψιάδες καὶ Ἡράκλειδες, παιγνίου[o] χάριν λέγονται παρὰ[p] τοῖς κωμικοῖς· οἷον ὡς τῷ Ἀριστοφάνῃ

μάκαρ Στρεψιάδες

τοῦτο δὲ εἶπεν ἐν Νεφέλαις (v. 1188).

Τὰ εἰς ης λήγοντα, ἐὰν μὲν περιττοσυλλάβως κλίνωνται, τὴν αὐτὴν ἔχουσιν ὀρθὴν καὶ κλητικὴν, οἷον Λάχης, ὦ Λάχης· ἐὰν δὲ εἰς ους ἀπὸ συναιρέσεως ἔχουσι τὴν γενικὴν, εἰς ες ποιοῦσι τὴν κλητικήν· οἷον Ἀριστόφανες· Τὰ δὲ εἰς ης ἰσοσυλλάβως κλινόμενα, εἰ μὲν ἔχουσι τὸ τ, ἢ ἐθνικά εἰσι, ἢ ἀπὸ ῥήματος σύνθετα· ἢ εἰς πης, ἅτινα δοκοῦσι ποιητικὰ εἶναι, εἰς α ἔχουσι τὴν κλητικήν· οἷον, ὁ θύτης, ὦ θύτα· ποιητὴς, ποιητά. Δεῖ προσθεῖναι χωρὶς τοῦ, ὦ Αἰήτη παρὰ Ἀπολλωνίῳ· καὶ χωρὶς τοῦ ὦ καλλιλαμπέτη· καὶ τοῦ ὦ "ἐναρέτη τίς σε ὀνόσσεαι "ὀψιγόνων" εἰς πης δὲ, οἷον, κυνώπης, ὦ κυνῶπα

τιμὴν ἀρνύμενοι Μενελάῳ, σοί τε, κυνῶπα. (Il. A. 159.)

ταῦτα δὲ τὰ εἰς πης καὶ ποιητικὰ δοκοῦσιν εἶναι, διότι κατὰ ποιητικὴν ἐξουσίαν εἰς α τὴν κλητικὴν ἔχουσιν.

Ἄξιον δὲ ἐστὶ ζητῆσαι διὰ ποίαν αἰτίαν ἐν τοῖς δυϊκοῖς τὰ δύο εε εἰς η κιρνῶνται, ἐν δὲ τοῖς πληθυντικοῖς εἰς τὴν δίφθογγον. Ἔστιν οὖν εἰπεῖν ὡς ἐν παρασημειώσει, ὅτι τὸ σ ἐστὶ τὸ αἴτιον· ἐπειδὴ γὰρ εἰ μὲν τῇ εὐθείᾳ τῶν πληθυντικῶν ἐστὶ τὸ σ, τούτου χάριν εἰς τὴν ει δίφθογγον ἐγένετο ἡ κρᾶσις τοῦ δύο ε· ἐν δὲ τοῖς δυϊκοῖς, ἐπειδὴ οὐκ ἔστι τὸ σ, τούτου χάριν εἰς η γίνεται ἡ κρᾶσις· αὕτη δέ ἐστιν, ὡς εἴρηται, παρασημείωσις καὶ οὐκ ἀπολογία· κρεῖττον οὖν ἐστὶν εἰπεῖν οὕτω. Τὸ ι χαρακτηριστικόν ἐστι τῆς εὐθείας τῶν πληθυντικῶν, οὐ μὴν τῆς εὐθείας τῶν δυϊκῶν· οἷον φίλοι· ὅμηροι· καλοί· ἐπειδὴ δὲ τὸ ι χαρακτηριστικόν ἐστι τῆς εὐθείας τῶν πληθυντικῶν, τούτου χάριν ἐν τοῖς πληθυντικοῖς τὰ δύο ε εἰς τὴν ει δίφθογγον κιρνᾶται· ἔχει γὰρ τὸ ι, ὅπερ ἐστι χαρακτηριστικὸν τῆς εὐθείας τῶν πληθυντικῶν· ἐπεὶ δὲ τῆς εὐθείας τῶν δυϊκῶν οὐκ ἔστι τὸ ι χαρακτηριστικὸν, τούτου χάριν οὐκ ἐγένετο τῶν

[o] πεγνίου Cod. [p] περὶ Cod.

δύο ε ἡ κρᾶσις εἰς τὴν ει δίφθογγον. Ἔστι δὲ καὶ ἄλλως εἰπεῖν· οὐδέποτε εὑρίσκεται ἐν ἀρσενικοῖς ὀνόμασι εὐθεῖα τῶν δυϊκῶν εἰς οἱανδήποτε δίφθογγον λήγουσα· οἷον, Αἴαντε· φίλω· Ἀτρίδα· ὅθεν ἡ εἰς α ἢ εἰς ω λήγουσα εὐθεῖα τῶν δυϊκῶν, ὁμόφωνος οὖσα τῇ εἰς α ἢ εἰς ω ληγούσῃ εὐθείᾳ τῶν δυϊκῶν, δηλονότι μετὰ τοῦ ι, οὐκ ἔχει προσγεγραμμένον τὸ ι· οἷον τὼ κοχλίω· τὼ καλώ. Ἐπεὶ οὖν οὐχ εὑρίσκεται ἡ δίφθογγος τῶν δυϊκῶν εἰς δίφθογγον λήγουσα, διὰ τοῦτο οὐ γέγονε τῶν δύο ε εἰς τὴν ει δίφθογγον κρᾶσις ἐν τῇ εὐθείᾳ τῶν δυϊκῶν· τὸ δὲ ταρίχεε ταρίχει· καὶ πόλεε πόλει, διὰ τῆς ει διφθόγγου, οὐκ εἰσὶν ἀρσενικὰ ἀλλὰ θηλυκὰ, ἄλλως τε καὶ σπανιά εἰσιν. Ἔτι δὲ ἡ εὐθεῖα τῶν πληθυντικῶν πολλάκις πλείοσι φωνήεσι κέχρηται, ὡς πρὸς τὴν εὐθεῖαν τῶν δυϊκῶν· οἷον, τὼ ὁμήρω, οἱ ὅμηροι· τὰ μοῦσα, αἱ μοῦσαι· ἰδοὺ ἡ εὐθεῖα τῶν πληθυντικῶν δύο φωνήεντα ἔχει, τῆς εὐθείας τῶν δυϊκῶν ἓν φωνῆεν ἐχούσης· τούτου χάριν ἐν μὲν τοῖς δυϊκοῖς τὰ δύο ε εἰς η κιρνᾶται· ἐν δὲ τοῖς πληθυντικοῖς, εἰς τὴν ει δίφθογγον· ἵνα εὑρεθῇ ἡ εὐθεῖα τῶν πληθυντικῶν πλειόνα φωνήεντα ἔχουσα τῆς εὐθείας τῶν δυϊκῶν· ἡ μὲν γὰρ ει δίφθογγος δύο ἐστὶ φωνήεντα, τὸ δὲ η ἕν. Ἔτι δὲ ἡ εὐθεῖα τῶν πληθυντικῶν πολλάκις μείζονι χρόνῳ κέχρηται, ὡς πρὸς τὴν εὐθεῖαν τῶν δυϊκῶν· οἷον τὼ ὁμήρω, οἱ ὅμηροι· τὸ ω μεῖζον ἐστὶ τῆς ει διφθόγγου· τὰ μοῦσα, αἱ μοῦσαι· τὸ α τὸ φύσει μακρὸν μεῖζόν ἐστι τῆς αι διφθόγγου· τούτου οὖν χάριν τὰ δύο ε ἐν μὲν τοῖς δυϊκοῖς, εἰς η κιρνᾶται, ἐν δὲ τοῖς πληθυντικοῖς εἰς τὴν ει δίφθογγον, ἵνα εὑρεθῇ ἡ εὐθεῖα τῶν δυϊκῶν μείζονα χρόνον ἔχουσα τῆς εὐθείας τῶν πληθυντικῶν· τὸ γὰρ η μεῖζόν ἐστι τῆς ει διφθόγγου· καὶ δῆλον ἐνταῦθα· ὥσπερ ὁ στρατιώτης ὁ δυνάμενος ἔργα δύο στρατιωτῶν ποιῆσαι, ἰσχυρότερος ἐκείνων ἐστὶ, τὸν αὐτὸν τρόπον καὶ τὸ φωνῆεν τὸ δυνάμενον ποιῆσαι, ὅπερ δύο φωνήεντα ποιοῦσιν, ἰσχυρότερον ἐκείνων ἐστίν· οὐκοῦν τὸ η μεῖζον ἐστὶ τῆς ει διφθόγγου· ἐπειδὴ ὥσπερ ἡ ει δίφθογγος μακρὰν ποιεῖ τὴν συλλαβὴν, τὸν αὐτὸν τρόπον τὸ η μακρὰν ποιεῖ τὴν συλλαβήν.

Οὐ κλίνεται δὲ ἡ ἅλς τῆς ἄλτος, διότι ἤμελλε ψιλοῦσθαι· ἐπειδὴ τὸ α καταλῆγον εἰς τὸ λ ἐπιφερομένου συμφώνου τῆς τρίτης συζυγίας τῶν βαρυτόνων· τουτέστι τοῦ δ θ, ἢ τ, οἷον Ἀλθαία· Ἄλτος, ὄνομα δὲ τοῦτο κύριον· ἀλδισκάνειν· εὐλόγως οὖν ἀπέβαλε τὸ τ, καὶ ἐγένετο ἁλὸς, ἵνα ὁμοίως τῇ εὐθείᾳ δασυνθῇ καὶ ἡ γενική· περὶ γὰρ τοῦ θρὶξ τριχὸς, ὅτι οὐκ ἐφύλαξε τὴν ἄρχουσαν τῆς εὐθείας, φημὶ δὴ τὸ θ, ἀλλ' ἐνήλλαξε τὸ πνεῦμα· ἤγουν τὸ δασὺ σύμφωνον ἔτρεψε εἰς τὸ τ τὸ ψιλὸν, ὡς εἴρηται ἡμῖν ἐν τοῖς προλεγομένοις.

Ἄξιον δέ ἐστι ζητῆσαι, εἰ ἄρα ἐν τῷ ἅλς ἁλὸς ἠνάγκασεν ἀποβληθῆναι τὸ τ ἐν τῇ γενικῇ, διατί ἐπὶ τοῦ δάμαρ δάμαρτος, καὶ μάκαρ μάκαρτος ἀπὸ συμφώνου ἀρχόμενα, δηλόνοτι οὔτε δασύνονται, οὔτε ψιλοῦνται· τὰ γὰρ σύμφωνα, οὔτε δασεῖαν ἐπιδέχονται, οὔτε ψιλὴν, ὑπεσταλμένου τοῦ ρ· τοῦτο γὰρ πέφυκε καὶ δασύνεσθαι, οἷον ῥάπτω, καὶ ψιλοῦσθαι· ἤγουν μέρος· οὐκ ἔχουσιν οὖν πνεύματα τὸ μάκαρ καὶ δάμαρ τὰ καταναγκάζοντα αὐτὰ ἀποβολὴν ποιήσασθαι κατὰ τὴν γενικὴν, ὡς ἐπὶ τοῦ ἁλός.

Ἄξιον δέ ἐστι ζητῆσαι διὰ ποίαν αἰτίαν τὸ ἥρως ἥρωος, οὐκ ἐπεκτείνει τὸ ο εἰς τὸ ω Ἀττικῶς κατὰ τὴν γενικήν. Καὶ λέγουσι τινὲς ὅτι διὰ τοῦτο οὐκ ἐπεκτείνει τὸ ο εἰς τὸ ω, ἵνα μὴ εὑρεθῇ πρὸ τεσσάρων χρόνων τόνος, ὅπέρ ἐστιν ἀδύνατον· οὐδέποτε γὰρ πρὸ τεσσάρων χρόνων τόνος πίπτει· οὗτοι δὲ οὐκ ἀκριβῶς λέγουσιν· ὡς γὰρ ἐμάθομεν ἐν τοῖς προλαβοῦσιν, οἱ Ἀττικοὶ ἐπὶ τῶν καθαρευόντων ἐκτείνοντες τὸ ο εἰς τὸ ω, καὶ τὸ παραλῆγον φωνῆεν εἰς ε μεταβάλλουσιν· εἰ ἐξέτειναν οὖν ἐπὶ τούτων, ἠναγκάζετο καὶ τὸ παραλῆγον φωνῆεν εἰς ε μεταβάλλειν· καὶ οὐκ ἔτι λοιπὸν εὑρίσκετο ἀλλεπάλληλον τὸ ω. Κρεῖττον οὖν ἐστὶν εἰπεῖν τὴν αἰτίαν ταύτην· ὅτι οἱ Ἀττικοὶ ἐπὶ τῶν καθαρευόντων, ὡς εἴρηται, ἐκτείνοντες τὸ ο εἰς τὸ ω, καὶ τὸ παραλῆγον φωνῆεν εἰς ε μεταβάλλουσιν, οἷον, πόλιος, πόλεως· μάντιος, μάντεως· λαὸς, λεώς· ναὸς, νεώς.

Περὶ Πτώσεων.

Πτώσεις μὲν εἰσὶ πέντε· ὀρθή· γενική· δοτική· αἰτιατική· καὶ κλητική· πτώσεις δὲ πέντε, οὐ κυρίως ἀλλὰ καταχρηστικῶς· ἡ γὰρ εὐθεῖα οὐκ ἔστι κυρίως πτῶσις· καὶ λέγουσι τινὲς, ὡς καὶ ἡ εὐθεῖα ἐστὶ πτῶσις· καθὸ μὲν γάρ φησιν ἔπεσεν ἀπὸ τοῦ γενικοῦ ὀνόματος, τουτέστιν ἀπὸ τοῦ περιέχοντος ἑκάστης λέξεως ὄνομα, κατὰ τοῦτο, πτῶσις λέγεται· καθὸ δέ ἐστιν ὀρθῶς πεσοῦσα, κατὰ τοῦτο λέγεται ὀρθὴ καὶ εὐθεῖα· ὥσπερ τὸ γραφεῖον τὸ ὀρθῶς πίπτον, ὀρθὸν καλεῖται· ἢ ὅπερ βέλτιον εἰπεῖν, ὡς ἐπὶ τῶν κύβων· ταῦτα γὰρ ὡς ἐὰν πέσωσιν, ὄρθως πίπτουσιν. Ἔστι δὲ εἰπεῖν πρὸς αὐτοὺς, ὅτι οὐ δύναται ἡ εὐθεῖα κυρίως πτῶσις εἶναι· καὶ δῆλον ἐνταῦθεν· αἱ προθέσεις[r] μετὰ τῶν πτώσεων ἐν παραθέσει[s] εἰσί· δηλονότι χωρὶς εἰ μὴ ἀπὸ εὐθείας γένηται ἡ σύνθεσις, καὶ ἐκεῖθεν ἡ κλῆσις· Ἀπολλωνίου, ὑπὲρ Ἀπολλωνίου· Ἀπολλωνίῳ, σὺν Ἀπολλωνίῳ· Ἀπολλώνιον, πρὸς Ἀπολλώνιον· ἐμοῦ, ὑπὲρ ἐμοῦ· ἐμοὶ, σὺν ἐμοί· ἐμὲ, δι' ἐμέ· ἰδοὺ ἐνταῦθα αἱ προθέσεις μετὰ τῶν πτώσεων· ἀλλὰ χωρὶς εἰσὶν αἱ προθέσεις· μετὰ δὲ τῶν ἀπτώτων, ἐν συνθέσει εἰσὶν αἱ προθέσεις, τουτέστιν ἡνωμέναι· οἷον γράψον, κατάγραψον· ἐλθὲ, περίελθε· ἰδοὺ ἅπαντα εἰσί· ῥήματα γάρ εἰσι, καὶ ἐν συνθέσει εἰσὶ μετὰ τῶν προθέσεων· ὡσαύτως καὶ μετὰ τῶν εὐθειῶν ἐν συνθέσει εἰσὶν αἱ προθέσεις, τουτέστιν ἡνωμέναι· οἷον, ὅδος, πάροδος· ἐργάτης, συνεργάτης· οἶκος, σύνοικος· δοῦλος, σύνδουλος· ἰδοὺ ἐνταῦθα αἱ προθέσεις μετὰ τῶν εὐθειῶν ἐν θέσει εἰσί· καὶ οὐκ εἰσὶν ἐν παραθέσει· πρόσκειται ἀνωτέρω, χωρὶς εἰ μὴ ἀπὸ εὐθείας γένηται ἡ σύνθεσις· καὶ ἐκεῖθεν ἡ κλίσις, διὰ τὸ, πάροδος, παρόδου· ἰδοὺ γὰρ ἐνταῦθα αἱ προθέσεις μετὰ τῶν πτώσεων, ἐν συνθέσει εἰσίν· ἀλλ' οὐκ ἀντίκειται ἡμῖν ταῦτα· ἐπειδὴ ἀπὸ τῆς πάροδος εὐθείας ἐγένετο ἡ σύνθεσις· καὶ ἐκεῖθεν ἡ κλίσις· ἐμάθομεν δὲ ὅτι αἱ προθέσεις μετὰ τῶν εὐθειῶν ἐν συνθέσει εἰσίν· ἄρα οὖν, ὡς εἴρηται, αἱ προθέσεις μετὰ μὲν τῶν πτώσεων ἐν παραθέσει εἰσὶ, μετὰ δὲ τῶν ἀπτώτων ἐν συνθέσει εἰσὶ, δῆλον ὅτι ἡ εὐθεῖα οὐκ ἔστι

[r] προθέσει Cod. [s] παρέθει Cod.

πτῶσις κυρίως· εἰ γὰρ ἦν κυρίως πτῶσις, ἐν παραθέσει εἶχεν εἶναι μετὰ τῶν προθέσεων.

Τὸ δὲ Ἄπολλον καὶ ὦ Ποσειδᾶον, ὡς ἐν τῷ

πρόφρων νῦν Ποσειδᾶον ἐπάμυνε (Il. Ξ. 357.)

ταῦτα γὰρ φυλάξαντα τὸ ω ἐν τῇ γενικῇ, Ἀπόλλωνος γὰρ καὶ Ποσειδάωνος, οὐκ ἐφύλαξεν αὐτὸ[t] ἐν τῇ κλητικῇ, ἀλλὰ συνέστειλαν αὐτὸ[u] εἰς τὸ ο· καὶ περὶ μὲν τοῦ Ἄπολλον ἐστὶν εἰπεῖν, ὅτι Αἰολικῶς συνέστειλε τὸ ω εἰς τὸ ο κατὰ τὴν κλητικήν· περὶ δὲ τοῦ Ποσειδᾶον ἐστὶν εἰπεῖν, ὅτι ψευδαιολικόν ἐστι· καὶ διὰ τοῦτο δὲ εἴρηται ὅτι ψευδαιολικὸν ἐστὶ καὶ οὐ κυρίως Αἰολικὸν, ἐπειδὴ οὐκ ἴσασιν οἱ Αἰολεῖς ἐπὶ ταύτης τῆς λέξεως, εἰς ων τὴν εὐθεῖαν, ἀλλ' εἰς αν. Ποτιδὰν γὰρ λέγουσι· τῆς οὖν εὐθείας εἰς ων μὴ οὔσης παρ' αὐτοῖς, πῶς δύναται ἡ κλητικὴ εἰς ον διὰ τοῦ ο γένεσθαι Αἰολικῶς; τούτου οὖν χάριν εἴρηται ὅτι ψευδαιολικόν ἐστι καὶ οὐ κυρίως Αἰολικόν.

Ἄξιον δέ ἐστι ζητῆσαι διατί ἐὰν εὑρεθῇ ἡ γενικὴ ἔχουσα πρὸ τοῦ ος τὸ τ, ἀποβάλλει αὐτὸ ἐν τῇ κλητικῇ. ἔστιν οὖν εἰπεῖν ὅτι διὰ τοῦτο ἀποβάλλει τὸ τ, ἐπειδὴ οὐδέποτε λέξις Ἑλληνικὴ εἰς ἄφωνον καταλήγει· εἰ οὖν ἐφυλάχθη τὸ τ, ἤμελλεν ἡ λέξις εἰς ἄφωνον τὸ τ καταλήγειν, ὅπερ ἐστὶν ἀδύνατον· τούτου οὖν χάριν ἀποβάλλεται τὸ τ ἐν τῇ κλητικῇ.

Σῶτερ, ἡ εὐθεῖα ὁ σωτήρ· πόθεν γίνεται; ἀπὸ τοῦ σώζω· ἡ κλητικὴ τούτου ὤφειλε μὲν εἶναι σωτήρ· ταῦτα γὰρ εἰς ηρ ὀξύτονα, τὴν αὐτὴν ἔχει ὀρθὴν καὶ κλητικὴν, οἷον λουτήρ· αἰθήρ· ἀστήρ· ἐπειδὴ δὲ ἡ τῆς γλώττης ὁρμὴ τὴν ἀρχὴν οὐ πάντα πρὸς ἀκολουθίαν ἔταξεν, ἀλλὰ πολλὰ καὶ ἔξω ἀκολουθίας προήνεγκεν· οὐ τοσοῦτον φροντίσασα ὅπως ἂν ἀκολούθως ἄγωνται, ὅσον ὅπως ἂν καλῶς καὶ ἀστείως, τὴν προφορὰν ἐπεκράτησε καὶ τοῦτο σῶτερ λέγεσθαι παρὰ τὴν ἀκολουθίαν· οὕτω δόξαν κάλλιον προφέρεσθαι· ὥσπερ καὶ τὸ πάτερ, καὶ τὸ δάερ, καὶ ἄνερ.

[t] αὐτῷ Cod. [u] αὐτῷ Cod.

ALIA EXCERPTA GRAMMATICALIA.

Ex eod. Cod. qui multa habet quæ et Eustathius.

Ἰστέον ὅτι τὸ μὲν διοτρεφὴς συστέλλει τὴν ἄρχουσαν ὡς ἀπὸ τῆς Διὸς γενικῆς· τὸ δὲ διογενὴς, ἐκτείνει αὐτὴν, ἀπὸ τοῦ δῖος ὁ ἔνδοξος· διογενὴς μὲν ὁ δίος τὸ γένος· διοτρεφὴς δὲ ὁ τραφεὶς ὑπὸ τοῦ Διός.

Ἰστέον ὅτι τὸ ἀπιθεῖν, ἀεὶ παρ' Ὁμήρῳ διὰ τοῦ ι γράφεται, ὡς ἀπὸ τοῦ πιθῶ δευτέρου μέλλοντος γενόμενον· παρ' ἡμῖν δὲ διὰ διφθόγγου γράφεται, ἐκ τοῦ ἀπειθὴς ὀνόματος· καθὰ καὶ τὸ ἀφειδῶ ἐκ τοῦ ἀφειδής.

Φύλλα δὲ τὰ πέταλα διὰ δύο λλ, εὐλόγως δοκοῦσι γὰρ οὕτω λέγεσθαι, διὰ τὸ ἐν τῷ φυσᾶσθαι λαλαγεῖν, ἢ πρὸς διαστολὴν τοῦ φύλλου, ὃ δηλοῖ τὴν φυλήν.

Τὸ δὲ ἷκεν, ἀντὶ τοῦ κατελάμβανεν, ἀεὶ διὰ τοῦ ι παρὰ τῷ ποιητῇ γραφόμενον ἀπὸ τοῦ ἵκω, ἐξ οὗ καὶ τὸ ἱκάνω καὶ ἱκνῶ· δῆλον δὲ ὡς προῆν ἐν τῷ ι γραφόμενον ἵκω, τοῦ παρὰ τοῖς ὕστερον διὰ τοῦ η· ἐφ' οἷς γέγονε σύμβασις τοῖς κριτικοῖς, ἵνα μὴ ἀμφιμάχοιντο γράφεσθαι τοῦ ἵκω, τὰ μὲν ἐνεργητικὰ διὰ τοῦ η, τὰ δὲ παθητικὰ διὰ τοῦ ι· καὶ οὕτω φυλάσσονται παρὰ τοῖς μεθ' Ὅμηρον ἄμφω αἱ γραφαί· δύναται δὲ καὶ ἄλλως τὸ "οὐρανὸν ἷκε" νοηθῆναι, κατὰ προθέσεως ἔλλειψιν ἀντὶ τοῦ, εἰς οὐρανὸν ἤρχετο.

Τὸ δὲ "περὶ καπνῷ" καινότερον συντέτακται· τὸ γὰρ κοινὸν περὶ καπνὸν, καὶ Ἀττικισμός ἐστιν, ἢ κατὰ ἀναστροφὴν κεῖται ἡ πρόθεσις, ἵνα ᾖ περιελισσομένη καπνῷ· ὅτι δὲ καὶ ἡ περὶ καὶ ἡ ἀμφὶ καὶ ἡ ὑπὸ πρόθεσις μυριαχοῦ δοτικῇ συντάσσεται, καὶ μάλιστα ἡ ὑπὸ καὶ ἡ ἀμφὶ, τὰ ἐφεξῆς δείξει.

Τὸ ἀγάννιφον διχρόνῳ παραλήγεται· ἐκ δὲ τοῦ διφορουμένου νείφω· ἢ γὰρ ἐκ τοῦ ἐνεστῶτος τοῦ ἔχοντος τὸ ι, ἢ ἐκ τοῦ γραφομένου ἐν διφθόγγῳ· οὗ δεύτερος ἀόριστος ἔνιφον· ὅθεν δοκεῖ καὶ ἡ νιφὰς εἶναι καὶ ὁ νιφετός· ἐκεῖθεν καὶ τὸ νέφος· καὶ τὸ νένοφα· οὗ μεμνημένος ὁ Ἡρωδιανὸς, ἀπορεῖ πῶς ὁ

Ἀριστοφάνης νένοφα εἶπε, καὶ οὐ νένοιφα· ἵνα ᾖν ὥσπερ λείβω, λέλοιβα· λείπω, λέλοιπα, οὕτω νείφω, νένοιφα.

Περὶ οὗ ἐστὶν εἰπεῖν, ὡς οὐκ ἐκ τοῦ νείφω ἐκλίθη κατὰ τὸ πείθω πέποιθα, καὶ ὅσα ἕτερα ἐπὶ ἐνεστῶτος ἔχουσι τὸ ε μετὰ τοῦ ι, ἀλλ' ὡς εἰκὸς, ἐκ τοῦ νέφω· ἵνα, ᾖ, ὥσπερ λέγω, λέλογα, οὕτω καὶ νέφω, νένοφα, κατὰ τὰ ἔχοντα τὸ ε μόνον ἐν τῷ ἐνεστῶτι· τοῦ δὲ νέφω, εἰ καὶ μὴ ἐστὶ χρῆσις, ἀλλὰ δοκεῖ ὅμως πρωτότυπον αὐτὸ εἶναι τοῦ νέφω, ὡς ὑποδηλοῖ καὶ τὸ ἐξ αὐτοῦ νέφος καὶ ἡ νεφέλη.

Ὁ δὲ ὠκεανὸς, σεσημείωται συστέλλων τὸ α· τὰ γὰρ διὰ τοῦ ανος ὀξύτονα ὑπὲρ τρεῖς συλλαβὰς ἐκτείνει τὸ α· χωρὶς τῶν παρὰ τοῖς ὕστερον οἱ τὴν παραλήγουσαν τοῦ Ἰουλιανοῦ συστέλλουσιν· ὁ ἑανὸς πέπλος συστέλλων τὸ α οὐκ ἀντίκειται· τρισύλλαβος γάρ ἐστιν.

Σημείωσαι δὲ καὶ ὅτι κατὰ τοὺς παλαίους, τὸ μὲν μεῖστον, ὅ ἐστι τὸ σμικρότατον, διὰ διφθόγγου γράφεται, ὡς ἀπὸ τοῦ μεῖον, καθὰ καὶ ἀπὸ τοῦ πλεῖον τὸ πλεῖστον· αὐτὸ δὲ τὸ μιστύλλειν, τὸ ε τῆς διφθόγγου ἀπέβαλε· τὸ δ' αὐτό φασι πέπονθε καὶ τὸ μικρὸν, ἀπὸ τοῦ μεῖον γενόμενον· καὶ γὰρ τὸ μὲν μεῖον, διὰ διφθόγγου· τὸ δὲ μικρὸν, διὰ τοῦ ο μικροῦ τὴν γραφὴν ἔχει· ὅπουγε καὶ τὸ μεῖστον, οὐδὲν καινὸν εἰ διὰ τοῦ ι ἐγράφη· ὡς τὸ χερείων, χείριστος· ἀρείων, ἄριστος.

Ὥσπερ τὸ στρέφω καὶ ἐξ αὐτοῦ στρόφος, καὶ ἀπ' αὐτοῦ στρωφῶ κατὰ ἔκτασιν, καὶ δηλοῖ τὸ στρέφω· οὕτω τρέπω, τρόπος, τρωπῶ· τρέχω, τροχὸς, τρωχῶ· καὶ νέμω, νόμος, νωμῶ τὸ παρέχω· ὡσαύτως πέλω, πόλος, πωλῶ τὸ ἀναστέφομαι· καὶ αὐτὸ γὰρ τὸ πολέσκω, διὰ τὸν τοιοῦτον κανόνα μεγεθύνονται παρὰ τῷ ποιήτῃ.

Σημείωσαι δὲ ὅτι δειρὴ μὲν, ὃ δηλοῖ τὸν τράχηλον, ὀξύνεται τῇ διφθόγγῳ παραληγόμενον. ἀποβολῇ δὲ τοῦ ι βαρύνεται· δέρη γὰρ βαρυτόνως φαμέν· τὸ μέντοι στείρη, ἤγουν ἡ λεγομένη τρόπη, ἐναντίως ἔχει· δίχα μὲν γὰρ τοῦ ι λεγόμενον, τάσιν ἔχει ὀξεῖαν, εἴπερ στεῤῥὰν καὶ στερεὰν λέγομεν· μετὰ δὲ διφθόγγου βαρύνεται.

Ὄφειλε δὲ καὶ ἡ λέξις τοῦ ἕρματα ψιλοῦσθαι, διὰ τὴν ἐκ τοῦ ἐρείσματος συγκοπήν· δασύνεται δὲ ἄλλως κανόνι τοιούτῳ· τὰ βραχυνόμενα φωνήεντα, καταλήγοντα δὲ εἰς ρ ἐπιφερομένου τοῦ μ, δασύνεται· ὅρμος· ἅρμα· ὁρμαθός· οὕτω δή φασι καὶ τὸ ἕρμα· πλὴν τοῦ ἄρμενον τὸ ἁρμόδιον· καὶ πλὴν τοῦ Ὄρμενος κυρίου ὀνόματος· τὸ δὲ ἀρμοῖ ἐπίῤῥημα, ὃ δηλοῖ τὸ νεωστὶ, διφορεῖται μὲν κατὰ τοὺς παλαιούς· ἡ δὲ πλείων χρῆσις δασύνει αὐτὸ, Συρακουσίων ὂν κατὰ τὸν Τεχνικόν· ἁρμὸς γάρ φησιν, ἁρμοῦ, ἁρμῷ· καὶ συστολῇ ἁρμοῖ, κατὰ τὸ ἔξω ἐξοῖ, καὶ ἔνδον ἐνδοῖ παρὰ Θεοκρίτῳ.

Ὅρα δὲ, ὡς εἰ καὶ ψάμμαθος ἐν δυσὶ μμ προφέρεται, ἀλλ' ἡ ψάμαθος, ὥσπερ καὶ ἡ ἄμαθος, ἓν αὐτὸ ἔχει.

Ἰστέον ὅτι ὥσπερ ἐν τῷ νοῶ νοήσω, καὶ κράσει νώσω, καὶ πλεονασμῷ τοῦ κ νώσκω, προστίθεται καταρχὰς τὸ γ, καὶ γίνεται γνώσκω, καὶ κατὰ ἀναδιπλασιασμὸν γιγνώσκω, κατὰ δὲ ὅμοιον πλεονασμὸν καὶ τὸ γίνεται ποιεῖ γίγνεται, καὶ ἡ σύννοια ξύγνοια[v], ὃ δηλοῖ συγγνώμην, καὶ ὁ δοῦπος γδοῦπος, ὅθεν καὶ ῥῆμα γδουπῶ γδουπήσω· ἔστι δὲ καὶ ἐρίγδουπος, ὥσπερ καὶ γνόφος παρὰ τὸ νείφω, οὕτω καὶ τὸ μὴ νοεῖν ἀγνοεῖν· αὐτὸ δὲ πλεονασμῷ τοῦ ι, καὶ ἀγνοιεῖν λέγεται πρὸς εὐχρηστίαν μέτρου· οἷον,

οὐδέ μιν Ἥρη
ἠγνοίησεν. (Il. A. 537.)

Ὅτι εἰ καὶ ἅλλομαι δασύνεται, ὃ δηλοῖ τὸ πηδῶ, ἀλλὰ τὸ ἆλτο ψιλοῦται· τάχα μὲν καὶ ὡς Αἰολικὸν, μάλιστα δὲ κατὰ τοὺς παλαιοὺς, διὰ τὴν τοῦ τ ἐπιφοράν· τὸ γὰρ ἄλφα λῆγον εἰς λ, ἐπαγομένου ἑνὸς τῶν τῆς τρίτης συζυγίας συμφώνων, ἤγουν τοῦ δ, ἢ θ, ἢ τ, ψιλοῦται· οἷον, ἀλδαίνω τὸ αὔξω· ἀλθαίνω τὸ θεραπεύω· Ἄλτης κύριον· οὕτως οὖν καὶ τὸ ἆλτο ἀντὶ τοῦ ἐπήδησε· καὶ τὸ ἁλὸς δὲ ψιλωθῆναι ἂν φασι, κατὰ τὸν κανόνα τοῦτον, ἐὰν ἀλτὸς ἐκλήθη διὰ τοῦ τ· ὑποσταλέντος δὲ

[v] Sic.

αὐτοῦ, ἐκληρονόμησε τοῦ οἰκείου, καὶ ἐδασύνθη καθὰ καὶ ἡ εὐθεῖα.

Τοῦ δὲ δείδοικα, πρωτότυπον ὂν τὸ δέδοικα, ἐκ τοῦ δείδω τὸ δειλιῶ, ἔχει ἀπορίαν πῶς διὰ τοῦ κ ἐκφέρεται, καὶ μὴ διὰ τοῦ θεματικοῦ δ· διὰ τὸν κανόνα δι' οὗ ὥρισται καθολικῶς, ὅτι ἐπὶ τῶν βαρυτόνων, δι' οὗ συμφώνου ἐκφέρεται ὁ ἐνεστὼς, δι' αὐτοῦ καὶ ὁ μέσος παρακείμενος· οἷον λείβω, λέλοιβα· λέγω, λέλογα κατὰ Ἡρωδιανόν· καθ' ὃν ἔδει ἀπὸ τοῦ δείδω, δέδοιδα εἶναι τὸν μέσον παρακείμενον. λύσις δὲ τῆς ἀπορίας ταύτης τὸ μὴ χρῆναι τρία παράλληλα δ παραλαμβάνεσθαι· τὸ γὰρ τοιοῦτον, ψελλισμῷ, φησιν, ὑποπίπτει· διὸ ἀντεισῆλθε[w] τοῦ τρίτου δ τὸ κ τοῦ ἐνεργητικοῦ παρακειμένου τοῦ δείδω, δείσω, δέδοικα, ὃς ἐσιγήθη, διὰ τὸ τοῦ μέσου παρακειμένου πολύχρηστον· ὅτι δὲ ἐν πολλοῖς ἡ παραλληλία φεύγεται, δηλοῖ καὶ ὁ τεμένιος· ὃς δέον ὂν διφθόγγῳ παραλήγεσθαι κατὰ τὸν κανόνα τοῦ κήτειος· κήδειος· ἐπιτήδειος, καὶ τῶν ὁμοίων, ὅμως ἵνα μὴ ἐπάλληλα εἴη τὰ τρία ε, ἐγράφη διὰ μόνου τοῦ ι· Σοφοκλῆς, (Œd. T. 756.)

τεμενίαν τε φυλλάδα·

οὕτω καὶ τὸ

Ἴριδι δίῃ·

κακίζεται διὰ τὸ ἀλλεπάλληλον τῶν διχρόνων.

Τοῦ δὲ ἔκηλος, τοιαύτη τίς ἐστιν ἡ παραγωγή· ἔκηλος ὁ ἥσυχος, ἢ παρὰ τὸ ἑκὰς περί τινα ἐσχατίαν ἀλᾶσθαι· δοκεῖ γὰρ ὡς τὰ πολλὰ ἐρημάζων εἶναι ὁ ἡσυχάζων· ἢ παρὰ τὸ ἓ, ἤγουν ἑαυτὸν κηλεῖν, ὅ ἐστι θέλγειν· εἰ γὰρ καὶ μὴ πολλοῖς, ἑαυτῷ γοῦν ὁμῶς χρηστός ἐστι καὶ ἡδὺς ὁ προθέμενος καθ' ἡσυχίαν ζῆν· δασυνόμενον δὲ τὸ ἕκηλος, ἀπό τε τῆς ἓ ἀντωνυμίας, καὶ ἀπὸ τοῦ ἑκὰς, ὅμως ψιλοῦται διὰ τὴν Αἰολικὴν, ἢ καὶ Ἰωνικὴν τοῦ υ ἐπένθεσιν, κατὰ τὸ ὅρος, οὖρος, καὶ τὰ ὅμοια· ἐν οἷς καὶ ὁ ἀπὸ τοῦ εἷς ἑνὸς γινόμενος εὖνις, ὅ ἐστι μεμονωμένος, καὶ ὡς εἰπεῖν ἑνιαῖος.

[w] ἀντισῆλθε Cod.

Τὸ "ἀλλ' ἀέκουσα κάθησο" προστακτικὸν προπαροξύνεται· τὰ γὰρ σύνθετα προστακτικὰ βραχυκατάληκτα, ὡς ἐπιπολὺ ἀναπέμπει τὸν τόνον· οἷον, λέγε, κατάλεγε· σπεῖρε, κατάσπειρε· οὕτως οὖν καὶ ἧσο, κάθησο· τὸ μέντοι "ἀέκουσα καθῆστο," ἀντὶ τοῦ ἡσυχάζουσα ἐκάθηστο, προπερισπᾶται, διότι τροχαϊκὰ περισπώμενα, φυλάττει τὴν αὐτὴν ἐκφώνησιν ὡς ἐπιπλεῖστον καὶ μετὰ σύνθεσιν· οἷον, ἧγε, κατῆγε· εὗρεν, ἐφεῦρεν· εἶχε, κατεῖχεν· εἶδε, παρεῖδεν· εὗδε, καθεῦδε· οἷον,

ἔνθα καθεῦδεν ἀναβάς. (Il. A. v. ult.)

οὕτως οὖν καὶ ἧστο, καθῆστο· ἐὰν μέντοι μεταποιηθῇ εἰς βραχὺ τοῦ τροχαίου ἡ ἄρχουσα, τότε δὴ καὶ ὁ τόνος ἐν τῇ συνθέσει ἀναβιβάζεται, ὡς δηλοῖ τὸ ἄναγεν· ἔτι δὲ καὶ τὸ κάτεσχεν· ὅσα τε ἄλλα τούτοις ὅμοια.

Ἰστέον ὅτι ἐπὶ μεγάλης ἐρίδος, οἰκεῖον λεχθῆναι πρὸς τοὺς ἐρίζοντας, τὸ

ἦ δὴ λοίγια ἔργα τάδ' ἔσσεται οὐδ' ἔτ' ἀνεκτὰ
εἴπερ ὑμεῖς ἐριδαίνετον ὧδε· (Il. A. 574.)

δηλοῖ δὲ, ὅτι ὄντως δὴ ὀλέθρια τὰ γινόμενα, καὶ οὐ φορητὰ, ἐὰν ὑμεῖς ἐριδαίνετε ὧδε· δηλοῖ δὲ ὅτι, ὄντως δὴ ὀλέθρια τὰ γινόμενα, οὕτως ἐρίζετε· τινὲς δὲ τὸ ἦ δὴ, ὡς Ἀπίων καὶ Ἡρόδωρος φασὶν, ἐν ἑνὶ μέρει λόγου ἤδη φασί· λέγοντες ὅτι ὡς καὶ προεῤῥέθη, ἐπὶ τριῶν χρόνων τὸ ἤδη λαμβάνεται· ἐπί τε παρῳχημένου, καὶ ἐνεστῶτος, ὡς παρεδογματίσθη ἐκεῖ, καὶ ἐπὶ μέλλοντος δὲ, ὡς τὸ

ἤδη λοίγια ἔργα ἔσσεται·

καὶ εἰ τοῦτο ὀρθὸν, ποῦ λοιπὸν θήσομεν τὸν Λουκιάνειον σολοικισμὸν, τὸν λέγοντα ἤδη σολοικιῶ· οἱ δὲ τοιοῦτοι ὁμοίαν ἐπικρίνουσι γραφὴν καὶ ἐν οἷς φθάσαι ὁ Ζεὺς ἔφη·

ἦ δὴ λοίγια ἔργα ὅτε·

καὶ ἑξῆς· οὐκ ἀπεικὸς γὰρ, καὶ ἐκεῖ οὕτω νοῆσαι αὐτούς.

Μονήρες δὲ ἐστὶ ἐν ὀνόμασι τὸ ἦθος, καθὰ καὶ τὸ ὄφελος, καὶ ὅτι ψιλοῦται κατὰ τὴν ἄρχουσαν ὡς τροχαϊκὸν, καθὰ καὶ τὸ ἦμαρ, οὐκ ἔστι τὸν περὶ λόγους ἀμφιβολεῖν. Ἡρωδιανὸς δὲ ἐν τῷ αὐτοῦ Συμποσίῳ δασύνεσθαι αὐτὸ λέγει πρός τινων, ὡς

ἀπὸ τοῦ ἥδω καὶ τῆς ἡδονῆς· ἐκρίνομεν δέ, φησιν, ὥς τε μᾶλλον ψιλοῦν αὐτό· φέρεται δὲ καὶ κανὼν τοιοῦτος· τὰ εἰς ος οὐδέτερα δισύλλαβα ἀρχόμενα ἀπὸ φύσει μακρᾶς, ψιλοῦσι τὸ καταρχὰς φωνῆεν· οἷον, εὖχος· ἦδος· ὅλως δὲ πάντα τὰ τροχαϊκὰ ψιλοῦνται· ὡς καὶ τὸ ἦχος· ἦμος, ἀντὶ τοῦ ἡνίκα· οὕτω δὲ καὶ τὸ ἦμαρ μετασχηματισθὲν ἀπὸ τοῦ ἡμέρα· ὡς καὶ τὸ ἦδος Αἰολικῶς ἀπὸ τῆς ἡδονῆς· ὥσπερ καὶ τὸ ἀπὸ τῆς μηχανῆ, μετεσχηματίσθη τὸ μῆχος, ὅπερ καὶ μῆχαρ λέγεται, ὡς ἦμαρ καὶ ὡς μῶμαρ ὁ μῶμος παρὰ Λυκόφρονι· προφυέστερον δὲ εἰπεῖν, ὡς ἀλκὴ ἄλκαρ, σεσημείωται ἐν τῷ ῥηθέντι κανόνι τῶν τροχαϊκῶν τὸ ἧ δασυνθὲν καὶ τὸ ἧχι· ἐφ' ὧν ἐστὶ καὶ ἀπολογία εὔλογος τοῦ δασύνεσθαι αὐτά.

Τὸ δὲ ἠέλιος, δοκεῖ ἐκ τοῦ ἥλιος γενέσθαι, κατὰ ἐπένθεσιν τοῦ ε· ψιλοῦται δὲ κατὰ τὸν κανόνα τὸν λέγοντα, ὅτι τὸ η πρὸ φωνήεντος ὂν κατὰ διάστασιν ψιλοῦται· οἷον ἠΐθεος· ἤϊος ὁ τοξικός· οὕτως οὖν καὶ ἠέλιος· σημειοῦνται καὶ οἱ παλαιοὶ, καὶ ὅτι ἀεὶ οὕτως λέγει ὁ ποιητὴς τετρασυλλάβως· ἅπαξ δέ ποτε καὶ τρισυλλάβως ἔφη, ἥλιον. Ἰστέον καὶ ὅτι ἐπειδή ἐστιν ἄω τὸ λάμπω, καὶ προσθέσει τοῦ υ, αὔω, ἐξ ὧν ἀὼς ἡ ἡμέρα, καὶ αὔως Αἰολικῶς, δύναται τὸ ἠέλιος ἐκ τοῦ ἄω ἔχειν τὴν ψιλὴν, ἐξ οὗ καὶ ἐτυμολογεῖται· γίνεται γὰρ ἀπὸ τοῦ ἄω τοῦ ῥηθέντος, καὶ ἐκ τοῦ ἕλη θερμασία, ἀέλιος· ὡς τὸ

ἀκτὶς ἀελίου

παρὰ Σοφοκλεῖ· (Antig. 100.) ἀμφότερα γὰρ ἔχει ὁ ἥλιος.

Τὸ "εὖ τ' ἂν σὲ μελίφρων ὕπνος ἀνήῃ·" τὸ ἀνήῃ, σημῆ[x] μὲν τὸ ἀνήσει ἀφήσει χαυνῶ[y]· γίνεται δὲ ἢ ἀπὸ τοῦ ἀνῶ, ἀνῇς, ἀνῇ, πλεονασμῷ τοῦ η, ἢ ἀπὸ τοῦ ἀνείη εὐκτικοῦ, τροπῇ συνήθει τοῦ ε εἰς η.

Τετράκις μὲν εἶπεν Ὅμηρος τὸ αὐτὸ, οἷα μὴ ἔχων λέξεις καιριωτέρας τούτων εἰπεῖν· ὡς ἐν τῷ

τὸ μὲν Ἥφαιστος δῶκε Διῒ Κρονίωνι ἄνακτι·
αὐτὰρ ἄρα Ζεὺς δῶκε διακτόρῳ Ἀργειφόντῃ. (Il. B. 101.)

[x] Sic. [y] Sic.

Ἑρμείας δῶκε Πέλοπι, Πέλοψ δῶκε Ἀτρέϊ· Ἀτρεὺς δὲ ἔλιπε Θυέστῃ· Θυέστης δὲ Ἀγαμέμνονι λεῖπε φορῆναι· δὶς δὲ καὶ τὸ ἔλιπε διὰ τὴν προρηθεῖσαν αἰτίαν.

Ὅρα δὲ καὶ ὅτι τὸ μὲν Ἀτρεὺς ἔλιπε διὰ τοῦ ι γέγραφεν ἔστι γὰρ χρόνου ἀορίστου δευτέρου· τὸ δὲ "Θυέστης Ἀγαμέμνονι λεῖπε," διὰ διφθόγγου χρόνον ἀντὶ χρόνου λαβών, ἤγουν ἀντὶ ἀορίστου παρατατικόν· ὁποῖον καὶ ἐπὶ τοῦ εἶδον γίνεται· τὸ γὰρ εἶδον, καὶ ἡ λοιπὴ κλίσις τοῦ τοιούτου ῥήματος, ὅπερ ἀντὶ τοῦ ἐθεασάμην λαμβάνεται, τὰ μὲν πλείω παρὰ τῷ ποιητῇ, διὰ τοῦ ι ἔχει γραφήν, τῷ λόγῳ τοῦ δευτέρου ἀορίστου ἐξ οὗ καὶ τὸ ἰδεῖν ἀπαρέμφατον· καὶ ἡ ἰδὼν μετοχή· ἔστι δὲ ὅτε καὶ διὰ διφθόγγου γράφεται· ὅπέρ ἐστι ῥῆμα χρόνου παρατατικοῦ, δηλοῦντος μὲν τὸ ἔβλεπον, λαμβανομένου δὲ ἀντὶ τοῦ ἀορίστου τοῦ, ἐθεασάμην· ὁμοίως δὲ καὶ ἐν τῷ

βάλετο ξίφος ἀργυρόηλον· (Il. B. 45.)

διὰ δύο λλ ἡ γραφὴ λόγῳ παρατατικοῦ· ἐν δὲ τῷ μέγα βάλλετο φᾶρος ἐνὶ λ διοικεῖται τὸ ῥῆμα, μέσου ὂν ἀορίστου δευτέρου ἐν συνηθείᾳ χρόνου ὑπαλλαγῇ.

Ἡ δὲ θώρηξις τῇ μὲν τινὲς μὲν διὰ τοῦ ω μεγάλου καὶ η γράφουσι, τινὲς δὲ διὰ τοῦ ο μικροῦ, ἢ ὡς ἀπὸ τοῦ θόρω τὸ πηδῶ, οὗ παράγωγον θορίσσω, ὡς φοινίσσω[z], δειδίσσω[a].

Τὸ ἆλτο καθὰ καὶ ἐν τῇ α΄ ῥαψῳδίᾳ εἴρηται, κατὰ μὲν τὸν κανόνα τῶν ῥημάτων δασύνεσθαι ὤφειλεν· ὃς τὰ πνεύματα τῆς ἀρχούσης τοῦ ἐνεστῶτος, καὶ ἐν τοῖς ἐφεξῆς χρόνοις, διὰ δὲ τὴν ἐπιφορὰν τοῦ τ, ψιλοῦται· κατὰ κανόνα ἑτέρον τὸν ἐκεῖ ῥηθέντα· καὶ τὸ μὲν ἆλτο ἐκ τοῦ α ἀρχόμενον διὰ τὸν ῥηθέντα λόγον, ψιλοῦται κατὰ τοὺς παλαιοὺς, ἐκ τοῦ ἧλτο μεταβληθέν· αὐτὸ δὲ τὸ ἧλτο, οὐκ ἂν ἔχοι λόγον μὴ δασύνεσθαι, εἰ μὴ ἄρα τις Αἰολεὺς ἢ Ἴων καινοτομησαι αὐτὸ, ψιλωτικοὶ ὄντες.

Τὸ δὲ κηώεις ἐντείνει τὴν παραλήγουσαν, διὰ τὴν εἰς μέτρον εὐχρήστιαν, ὡς τὸ εὐρώεις καὶ κητώεις καὶ ὠτώεις, καὶ ὅσα ἄλλα μακρὰν ἔχει τὴν προπαραλήγουσαν· ἔνθα μέντοι αὐτὴ βραχεῖα, ἐκεῖ ὁμοία καὶ ἡ παραλήγουσα, ὡς δηλοῖ τὸ ἠερόεις· σιόεις· ἐρόεις· κερόεις· γλαγόεις· οὐατόεις.

[z] φοινίσω Cod. [a] δεδίσω Cod.

Τὸ δὲ ἀπιθεῖν παρ' Ὁμήρῳ πανταχοῦ διὰ τοῦ ι γράφεται, ὡς ἀπὸ τοῦ πιθῶ περισπωμένου μέλλοντος· λέγει γάρ,

οὐδ' ἀπίθησε πατὴρ ἀνδρῶν τε θεῶν τε. (Il. Δ. 68.)

Ἰστέον ὅτι οἱ παλαιοὶ ὀνοματοθέται τὰ γένη τῷ σημαινομένῳ ἐποίουν· ὅτε μὲν γὰρ τὸ ὄνομα κύριον ἄρσεν ἐδήλου, ἀρσενικὸν αὐτὸ ἐποιοῦν· ὅτε δὲ θῆλυ, θηλυκόν· ἡνίκα δὲ μήτε ἄρσεν μήτε θῆλυ, οὐδέτερον αὐτὸ ἐτίθεσαν· τουτέστι, οὔτε τῶν δύο σημαῖνον, οὔτε ἄρσεν οὔτε θῆλυ· οἱ δὲ τῶν ἀρχαίων ὀνοματοθετῶν μεταγενέστεροι, πρὸς τὴν φωνὴν ἐποίησαν τὰ γένη, ὁρῶντες γὰρ τὸ κάλαμος κατὰ τὴν φωνὴν ὅμοιον τῷ ἄνθρωπος, εἰ καὶ τῇ σημασίᾳ ἐστὶν οὐδέτερον, ἀρσενικὸν αὐτὸ ὠνόμασαν τὸ ἄνθρωπος ὁμοίως τὸ ἀλὴ, εἰ καὶ σημασίᾳ ἐστὶν οὐδέτερον, ἀλλ' ἐπειδὴ ἰσοκαταληκτεῖ τῷ Ἑλένῃ ὀνόματι θηλυκὸν χαρακτῆρα ἔχοντι, κατὰ μίμησιν θηλυκὸν αὐτοὶ πεποιήκασιν.

Ὁμοίως καὶ τὸ γύναιον· εἰ καὶ τῇ σημασίᾳ ἐστὶ θηλυκὸν, ἀλλ' ἐπειδὴ τῇ φωνῇ ὅμοιόν ἐστι τῷ σπήλαιον οὐδετέρῳ ὀνόματι, οὐδέτερον αὐτὸ ἐποίησαν—

Eod. Cod. versus finem—

Ὀνομασία Μηνῶν—οὗτοι ἄρχονται ἀπὸ Ἰανουαρίου.

ῬΩΜΑΊΩΝ.	ΑἸΓΥΠΤΊΩΝ.	ΚΑΠΠΑΔΌΚΩΝ.
Ἰανουάριος.	Τυμβί.	Τίρηξ.
Φευρουάριος.	Βεχείρ.	Βατά.
Μάρτιος.	Φαμενώθ.	Ξανθηρί.
Ἀπρίλλιος.	Φαρμουθί.	Ἀπομεναμά.
Μάϊος.	Παχών.	Ἀρθρά.
Ἰούνιος.	Παυνί.	Τεθουσά.
Ἰούλιος.	Ἐπηφί.	Ὠσμονί.
Αὔγουστος.	Μεσωρί.	Σουδαρά.
Σεπτέμβριος.	Θώθ.	Ἀρταέστιν.
Ὀκτώβριος.	Παυΐ.	Ἀρεότατα.
Νοέμβριος.	Ἀθύρ.	Μίθρι.[b]
Δεκέμβριος.	Χοιάκ.	

[b] Def. unus.

Οὗτοι ἄρχονται ἀπὸ Μαρτίου.

Μῆνες Ἑλλήνων.	Ἑβραίων.	Βιθυνῶν.
Αὐδηναῖος.	Νισάν.	Ἔρος.
Περίτιος.	Ἰάρ.	Ἕρμος.
Δύστρος.	Ψεθοάν.	Μετρῷος.
Ξανθικός.	Θαμνί.	Διόνυσος.
Ἀρτεμίσιος.	Ἄβ.	Ἡράκλειος.
Δέσιος.	Ἐλούλ.	Δῖος.
Παγκμος.	Θερσί.	Βενδιαῖος.
Λῷος.	Μορσοῦ.	Στρατήγιος.
Γορπιαῖος.	Χασαλδ'.	Ἄριος.
Ὑπερβρεταῖος.	Τηβηθί.	Πριέπιος.
Δῖος.	Σαβάτ.	Ἀφροδίσιος.
Ἀπιλαῖος.	Ἀδάρ.	Δημήτριος.

Κυπρίων.

Ἀφροδίσιος.	Σεβαστός.	Ἔσθιος.
Καισάρειος.	Ἀρχιερεύς.	Ἰούνιος.
Πληθύπατος.	Αἰνικός.	Δημαρχεξάσιος.
Ἀπογονικός.	Αὐτοκρατορικός.	Ῥωμαῖος.

Excerpt. e Jo. Laur. Lyd. Op. de Ostent. e Cod. Canonic. 41[a].

Μελάνα μὲν ἡ ὑπόχλωρα φανέντα, σημαντικὰ γίνεται τῶν ἐπὶ τῆς τοῦ Κρόνου φύσεως εἰρημένων· λευκὰ δὲ τῶν ἐπὶ τῆς τοῦ Διός· ὑπόκιῤῥα δὲ τοῦ Ἄρεος· ξανθὰ δὲ τῶν ἐπὶ τῆς Ἀφροδίτης· ποικίλα δὲ τῶν ἐπὶ τοῦ Ἑρμοῦ· κ'ἂν ἐν ὅλοις τοῖς περὶ αὐτὰ τόποις τὸ γενόμενον ἰδίωμα φαίνεται τῆς χρόας, περὶ τὰ πλεῖστα μέρη τῶν χωρῶν ἔσται τὸ ἀποτέλεσμα· εἰ δὲ ἀπὸ

[a] Opus in Cod. f. 84. r. inscr. sine nom. auct. περὶ τῶν ἡλιακῶν καὶ σεληνιακῶν διοσημειῶν καὶ τῶν ἐξ αὐτῶν καθολικῶν ἀποτελεσμάτων. Non est autem integrum opus, sed Epitome satis ampla ut videtur. Exscripsi tantum quæ lacunam supplent in doctissimi Viri C. Bened. Hasii edit. p. 34.

μέρους οἱουδήποτε κατ' ἐκεῖνο μόνον τὸ μέρος, καθὸ ἂν καὶ ἡ πρόνευσις τοῦ ἰδιώματος γένηται· χρήσιμοι δ' ἂν εἶεν πρὸς τὰς κατὰ μέρος προγνώσεις, καὶ αἱ τῶν γινομένων σημείων περί τε τὸν ἥλιον καὶ τὴν σελήνην παρατηρήσεις· πρός τε τὰς ἀνατολὰς αὐτῶν καὶ τὰς δύσεις· καθαρὸς μὲν γὰρ καὶ ἀνεπισκότητος, καὶ εὐσταθὴς καὶ ἀνέφελος ἀνατέλλων ἥλιος, ἢ καὶ δυόμενος εὐδιηνῆς καταστάσεως ἐστὶ δηλωτικός· ποικίλον δὲ τὸν κύκλον ἔχων ἢ ὑπόπυῤῥον, ἢ ἀκτῖνας ἐρυθρὰς ἀποπέμπων εἰς τὰ ἔξω ἢ τὰ λεγόμενα παρήλια νέφη, ἐξ ἑνὸς μέρους ἔχων· τὸ δὲ σχῆμα τῶν νεφῶν ὑπόκιῤῥον, καὶ ὥσπερ μακρὰς ἀκτῖνας ἀπομηκύνον, ἀνέμων ἐστὶ δηλωτικὸς, καὶ τοιούτων ἀφ' οὗ μέρους τὰ προειρημένα σημεῖα συμβαίνει· μέλας δὲ ἢ ὑπόχλωρος ἀνατέλλων, ἢ δύνων μετὰ συνεφίας, ἢ ἄλλως ἔχων καθ' ἓν μέρος, ἢ ἐν ἀμφοῖν παρήλια νέφη, καὶ ἀκτῖνας ἢ ὑποχλώρους ἢ μελαίνας, χειμῶνας δηλοῖ καὶ ὑετούς· ἐκεῖνο δέ γε καὶ τοῖς εἰς δόμους τελοῦσι πρόδηλόν ἐστιν, ὡς ὅταν ἀνίσχων ὥσπερ ὑπολανθάνει καὶ σκορπίζει δῆθεν ἐκδιδρασκούσας καὶ διαῤῥαινούσας τῶν νεφῶν τὰς ἀκτίνας, χαλάζῃ φράζει τὸν ὄμβρον καταῤῥαγήσεσθαι μεμιγμένον· καθαρὸς δὲ ἀνίσχων βόρειον ἐσέσθαι καὶ αἴθριον τὸν ἀέρα προλέγει· βορέης γὰρ αἰθρηγενέτης κατὰ τὸν ποιητήν· τοῖς γὰρ ὑψηλοῖς τῶν μετεώρων ἐπιπνέων, εἰς γῆν τε τὸ πυκνὸν καὶ ἀχλυῶδες ὠθῶν, καθαρὸν ποιεῖ τὸν ἥλιον καὶ ἀνεπισκότητον, ἐκδαπανῶν τὰ πυκνώματα, καὶ τῷ λεπτῷ τοῦ πνεύματος τὴν ὑπήνεμον ζωὴν, καὶ μᾶλλον τὴν πρὸς ἡμᾶς ἐκκαθαίρων καὶ λαμπρότεραν ποιῶν.

[b]Ὁ δέ γε Ῥωμαῖος Καμπέστριος ταῖς Πετοσιριακαῖς ἀκολουθῶν παραδόσεσι λέγει, "ὡς ἀργυροειδὴς καὶ ἀμβλυωχρὸς "ἥλιος ἀνισχὼν ἢ ὠχρὸς, πολέμους καὶ συμφορὰς καὶ διχο-

[b] Aliter hæc Cod. Barocc. 194. f. 87. v. sed id fors. div. est auctoris.

Ὁ δ' ἐκ Ῥώμης Καμπέστριος γράψας ἐκ Πετοσήρους, ὅταν ἀνίσχων ἥλιος ἀργυρώδης κ'ἂν ὁ λόγος ἢ ἀμβλυόχρους ὀλίγους οὕτως ὑποσημαίνων, πολέμους τε καὶ συμφορὰς, διχονοίας, θορύβους· στάσεις ἀνδρῶν ἐνδόξων τε καὶ βασιλέων θρόους καὶ συκοφάντας πονηροὺς καὶ ἀτυχήματά γε· καὶ λογικῶν καὶ εὐσεβῶν ὕβρεις καὶ ἀτιμίας· καὶ πατραλοίας (Cod. πατραλίας) τοὺς υἱοὺς, σπάνην τῶν ἀναγκαίων.

"νοίας καὶ στάσεις ἀνδρῶν ἐνδόξων· καὶ βασιλέων θρήνους· " καὶ πονηρῶν ἀνθρώπων εὐτυχήματα· καὶ ἐπιεικῶν ἀστοχίας καὶ " λογικῶν ὕβρεις· καὶ δημεύσεις εὐπατριδῶν δηλοῖ· καὶ καθολι- " κὴν σπάνιν τῶν ἀναγκαίων· προσέτι τούτοις, στάσεις τε πα- " τράσι πρὸς παῖδας, καὶ τὸ ἀνάπαλιν·" ἔσται δὲ ταῦτα καθολικὰ μὲν, ἐπειδὰν κατὰ παντὸς τοῦ δίσκου τὸ σύμπτωμα ᾖ· μερικὰ δὲ, εἰ καὶ τὸ σύμπτωμα μερικόν· καὶ καθ' οὓς τόπους ἀφορᾶν δοκεῖ τὸ συμβεβηκός· εἰ δὲ κατὰ τὴν λεγομένην ἀντιδίσκωσιν ὁ ἥλιος ἐκλίποι, μόνοις ἀπειλεῖ τοῖς βασιλεῦσι τὰ κακὰ, ὥσπερ καὶ ἐὰν ἐπὶ τοῦ βασιλικοῦ Δ'. εἰ δὲ περὶ τὴν ἑώαν, ἢ τὴν ἑσπέραν μέλλει τοῦτο συμβαίνειν, ἐξ αὐτοῦ τοῦ πάσχοντος φωστῆρος γενήσεται δῆλον· τῷ τὸν μὲν ἥλιον ἐκ τῆς Ἀσίας διαπαντὸς ἀνίσχειν· τὴν δὲ σελήνην ἀπὸ τῆς Εὐρώπης.

Τὴν δὲ σελήνην τηρητέον, ἢ πρὸ τριῶν, ἢ μετὰ τρεῖς ἡμέρας τῆς συνόδου τε καὶ τῆς πανσελήνου καὶ διχοτόμου· λεπτὴ γὰρ καὶ καθαρὰ φαινομένη εὐδίαν σημαίνει· εἰ δὲ καὶ ἐρυθραίνοιτο μετρίως, καὶ τὸ ἀφώτιστον τοῦ κύκλου διαφανὲς καὶ ὑποκεκινημένον ἔχοι, ἀνέμων ἐστὶ δηλωτικὴ, καθ' οὓς μάλιστα ποιεῖται τὴν πρόνευσιν· εἰ δὲ ὠχρὰ καὶ παχεῖα δοκοίη, χειμώνων καὶ ὄμβρων ἐστὶ δηλωτική. παρατηρητέον δὲ καὶ τὰς παρ' αὐτὴν γινομένας ἅλλας· εἰ μὲν γὰρ μία εἴη καὶ αὐτὴ καθαρὰ ἠρέμα ὑπομαραινομένη, εὐδίαν σημαίνει· εἰ δὲ δύο ἢ καὶ τρεῖς, χειμῶνας δηλοῖ· τὰς δι' ἀνέμων μὲν, εἰ ὑπόκιρροι εἶεν, καὶ ὥσπερ ὑποῤῥηγνύμεναι· τὰς δὲ διὰ νιφετῶν, εἰ ἀχλυώδεις καὶ παχεῖαι· ἢ καὶ ὑπόχλωροι καὶ μελαίναι καὶ ὥσπερ ῥηγνύμεναι, τὰς δι' ἀμφοτέρων.

Αἱ δὲ διαδρομαὶ καὶ οἱ ἀκοντισμοὶ τῶν ἀστέρων, εἰ μὲν ἀπὸ μιᾶς γίνοιτο γωνίας, τὸν ἀπ' ἐκείνης ἄνεμον δηλοῦσι· εἰ δὲ ἀπὸ τῶν ἐναντίων, ἀκαταστασίαν πνευμάτων· εἰ δὲ ἀπὸ τῶν τεσσάρων, παντοίους χειμῶνας. ὡσαύτως καὶ τὰ νέφη πόκοις ἐρίων ὄντα παραπλήσια, προδηλωτικὰ ἐνίοτε χειμώνων γινόνται, καὶ αἱ κατὰ καιροὺς συνιστάμεναι ἴριδες, χειμῶνα μὲν ἐξ εὐδίας· ἐκ δὲ χειμῶνος, εὐδίαν σημαίνουσιν.

Οἱ δὲ συνιστάμενοι κομῆται καὶ τὰ ἄλλα ἀστροειδῆ σημεῖα

γενόμενα κατὰ τοὺς ἐκλειπτικοὺς καίρους, ἢ καὶ καθ' οἱονδήποτε χρόνον δῆλον ποιήσουσι· διά τε τὸν κατὰ τὰ σχήματα τῆς κόμης προσνεύσεων, ἢ τῶν τόπων οἷς ἐπισκήπτουσι τὰ δι' αὐτοὺς ἐκβησόμενα· καὶ διὰ μὲν αὐτῆς τῆς συστάσεως, καὶ ὡσανεὶ μορφώσεως, τό τε εἶδος τοῦ ἀποτελέσματος καὶ τὸ γένος περὶ ὃ τὸ πάθος συμβήσεται, διὰ δὲ τοῦ χρόνου τῆς ἐπιμονῆς τὴν παράτασιν τῶν συμπτωμάτων.

Ἔστι δὲ ὅτε καὶ διὰ τῆς πρὸς τὸν ἥλιον σχέσεως τὴν καταρχήν· σῶοι μὲν γὰρ ἐπιπολὺ λεγόμενοι τάχιον ἐπισημαίνουσι, καὶ τοσούτῳ δὲ μείζονας, ὅσῳ ἂν ἐκ πλειόνων μέρων καὶ ἐπιπολὺ ἡ σύστασις γένηται· ἀλλ' εἰ καί ποτε τινὰ τῶν πλανωμένων ταῖς κόμαις ἐπικαλύπτουσι, σαφῶς σημαίνουσι πρὸς τίνας ἔσται τὸ σύμπτωμα· τῷ μὲν γὰρ τοῦ Διὸς ἐπιφέροντες τὰς κόμας, περὶ τοὺς βασιλικοὺς οἴκους τὰς ταραχὰς ἀποτελοῦσιν· εἰ δὲ τῷ τοῦ Ἄρεος, τῶν ἐν τοῖς ὅπλοις νόσους καὶ θανάτους· ἔτι δὲ καὶ πολέμων στάσεις ἀποτελοῦσι· τῷ δὲ τῆς Ἀφροδίτης, γυναικῶν φθορὰς, καὶ βασιλίδων θανάτους· τῷ δὲ τοῦ Κρόνου, καρπῶν ἐπίσχεσιν ἤτοι σπάνιν· τῷ δὲ τοῦ Ἑρμοῦ, ταραχὰς τοῖς συναλλάγμασι παρέξουσι· καὶ φήμας ἀηδεῖς τῷ πλήθει· τὸν γὰρ ἥλιον ἢ τὴν σελήνην ἀδύνατον περιλάμψαι κομήτην, εἰ δὲ φαίνεται, ἢ πρὸ ἀνατολῶν ἢ περὶ δυσμὰς περὶ τὸ διάφορον τῶν κλιμάτων τὴν κάκωσιν ποιήσει· ἐν μὲν τῇ ἀνατολῇ, τὴν Ἀσίαν, ἐν δὲ τῇ δύσει, τὴν Εὐρώπην κακώσει· γίνονται δὲ καὶ ἐκ τῶν κατὰ μῆνα συνόδων καὶ πανσελήνων· ὅταν οἱ λεγόμενοι κακοποιοὶ τούτοις τῶν ἀγαθῶν μὴ συσχηματιζομένων ὀλίγαι τινὲς ἐναντιώσεις, αἱ ῥαδίως λύονται, διὰ τὸ μὴ κατὰ τὰς ἐκλείψεις τῶν φώτων τὰ τοιαῦτα ἀποτελεῖσθαι.

Διάφοροι δὲ αἱ τῶν κομήτων ὄψεις· πυῤῥώδης· πωγωνίας· ἀκοντίας· ξιφίας· δίσκος· πίθος· κεράστης· λαμπαδίας· ἱππεύς· σάλπιξ· τράγος· τυφών· ὁμοῦ ιβ· ὁ μὲν γὰρ κομήτης ἐστὶ πυῤῥώδης· ὁ δὲ πωγωνίας κάτωθεν δίκην πώγωνος ἔχει τὰς κόμας· ὁ δὲ ἀκοντίας, ὅμοιός ἐστι ἀκοντίῳ· ὥσπερ δὲ σίδηρος κραδαίνεται· οὗ φανέντος ἡ Ἰουδαία ἥλω, ὡς καὶ Εὐσεβίῳ τῷ Παμφίλου εἴρηται· ὁ δὲ ξιφίας βραδύτερος μὲν, ὠχρὸς δὲ, καὶ

ξιφήρεις ἔχων τὰς ἀκτίνας· ὁ δὲ δίσκος περιφερὴς, καὶ τὸ εἶδος ὡς ἤλεκτρος· ὁ δὲ πίθος καπνώδης μὲν φωτὸς πλήρης· τὸ δὲ σχῆμα ὅμοιον τῇ προσηγορίᾳ· μεθ' οὗ ὁ κεράστης κερατοειδεῖς ἔχων τοὺς πλοκάμους· λαμπαδίας πρὸς τούτοις ὅμοιος λάμπαδι καιομένῃ. Ἔστι γε μὴν ἱππεὺς δίκην λοφιᾶς ἵππου διαῤῥαίνων τὰς ἀκτίνας· ὀξύτατος δὲ παρὰ τοὺς ἄλλους· διὸ καὶ τοιαύτης ἔτυχε τῆς προσηγορίας· σάλπιγγος ἔτι μέμνηται ὁ Πτολεμαῖος ἐν τοῖς πρὸς Σύρον· περὶ οὗ εἰπεῖν τι οὐκ ἔχομεν· οὐ δὲ εὑρίσκομεν παρ' ἑτέρῳ τοιοῦτόν τι κατάστημα.

Γίνονται δὲ καὶ ἕτεροι κομῆται οἱ λεγόμενοι τράγοι· δίκην μαλῶν ἢ πόκων ἐρίων νεφέλας τινὰς περικείμενοι· καὶ τὴν μὲν ἀρχὴν οὕτως φαίνονται· εἰς δοράτων σχήματα ἀποτελοῦνται· οὗτοι δὲ πάντες οὐ πλείω ἢ ἑπτὰ ἡμέρας πεφύκασι φαίνεσθαι· ἀλλ' οὐδὲ εἰκῇ ἐφ' οἱονδήποτε κλίματος τοῦ οὐρανοῦ· περὶ δὲ μόνον τὸν γαλαξίαν κατὰ τὸν Ἀριστοτέλην· οἵ γε μὴν τυφῶνες, κατὰ τὸν νότιον πόλον· σφαῖραι δέ εἰσιν οὗτοι πυῤῥώδεις καὶ ὡσανεὶ συνδεσμοὶ πυρός· οὗτοι δὲ ἐπὶ μὲν τῶν Ῥωμαϊκῶν καιρῶν οὐκ ἐφάνησαν· πρὸ δὲ αὐτῶν φανέντες, ἔσεισαν τὴν Αἴγυπτον· ὅθεν αὐτοὺς Ἀριστοτέλης ἐξ ὑποκειμένης ὑγρᾶς οὐσίας ἀποτελεῖσθαι βούλεται· καὶ διὰ τοῦτο σπανίως ἐπὶ τῆς Αἰγύπτου φαίνεσθαι· διὰ τὴν ὑποκειμένην ξηρότητα· οἱ δ' ἄλλοι πάντες ἐπὶ τὸν βορέαν, κἂν ἢ πρὸς ἀνατολὰς ἢ δύσεις ὁρῶσι. Περὶ δὲ τὸν στέφανον, ἄλλος ἀναφύεται κομήτης, ὅστις ὅταν φαίνηται, τὴν τῶν Περσῶν ἀπειλεῖ κίνησιν· ἐφάνη δὲ καὶ ὅτε ἐμάνη Νέρων. Ἐκλάμπουσι δὲ πρὸς τούτοις καὶ λαμπάδες ἐν τῷ οὐρανῷ· οἱ φανέντες[c] ἐπὶ Γερμανικοῦ τοῦ Καίσαρος, ὅτε ἀγομένου θεάτρου ἐπὶ τῆς Ῥώμης τοιοῦτόν τι συμβέβηκεν, ὡς μηδένα ἀγνοῆσαι τῶν τότε. δύο δὲ σχήματα εἰσίν· ὧν, τὰ μὲν λαμπάδες, τὰ δὲ βολίδες καλοῦνται· φαίνονται δὲ καὶ δοκοί· καὶ οὕτως αὐτοὺς οἱ Ἕλληνες καλοῦσι. Γίνεται δὲ καὶ χάσμα ἐν τῷ οὐρανῷ, οὐ συμβαίνοντος σάλοι καὶ ῥήξεις ἐξ αὐτῶν· καὶ διαστάσεις τῆς γῆς γίνονται· καὶ ἕτερον δέ τι ἐμπρησμῷ παραπλήσιον πολλάκις φαίνεται·

[c] φανές Cod.

ὁποῖον ἐπὶ τῆς ἱστορίας εὑρίσκεται· ὅτε Φίλιππος ὁ Ἀμύντου ἐσάλευσε τὴν Ἑλλάδα· ὁ μέντοι Καμπέστριος ἐξηλεγμένην τινὰ περὶ κομητῶν συντάξας πραγματείαν, τοιαῦτα διέξεισι.

E Cod. Bodl. Auct. T. II. 15. olim Meerman.

Ἀλληγορία περὶ τοῦ Ταντάλου. τοῦ σοφωτάτου Ψέλλου.

Παίξωμεν καὶ ἡμεῖς, εἰ δοκεῖ, περὶ τὸν ἐκ Διὸς φῦντα Τάνταλον· καὶ θεασώμεθα τοῦτον τῷ λόγῳ, ὅπως ποτὲ τῷ ἀέρι τὸν πάντα χρόνον περιπετώμενος, δειμαίνει μὲν ὑπερτέλλοντα πέτρον, ὅστις ἀδαμαντίνοις ὥσπερ καλωδίοις ἀπηωρημένος, καὶ μικρόν τι τῆς ἐκείνου ὑπερανέχων κορυφῆς, φοβεῖ μεν, τῷ μέλλειν κατιέναι, οὐ κάτεισι δὲ, οὐ δὲ τῷ φόβῳ κυμαίνεται· καὶ ταύτης δίδωσι δίκην τῆς ἀκολάστου γλώττης καὶ ξύγκλυδος· πρὶν δὲ τὰ περὶ τοῦ παιδὸς ἐξετάσαι, τὸν τούτου πατέρα κατανοήσωμεν ὅστις ἐστὶν ὁ Ζεύς. ἐμοὶ δὲ δοκεῖ καὶ τοῦτο σπουδῆς ἄξιον, πῶς ἀμφίβολον αὐτῷ τὴν γονὴν ὁ τοῦ δράματος ὑποκριτὴς προσμαρτυρεῖται. Διὸς γὰρ πεφυκὼς φησὶν ὡς λέγουσι Τάνταλος· (Eurip. Or. 5.) ἀλλ' ἐπειδὴ πλάτος ὑπανοιγόμενον τῶν θεωρημάτων ὁρῶ· δοκῶ μοι ὥσπερ τελετῇ τινὶ λόγῳ προσέρχεται, αἱ γὰρ τελεταὶ σωματικὰ τούτων τὰ παραπετάσματα· ἢν δὲ εἴσω τῶν ἀδύτων χωρήσῃ τις, φῶς ἐκεῖ καθαρὸν, καὶ ἀπογύμνωσις τῶν αἰσθητῶν· τὸν Δία τοίνυν οἱ Ἕλληνες ἄλλος ἄλλαις ἐννοίαις τοῦτον κατεμερίσαντο· οἱ μὲν γὰρ τὸν τοῦ παντὸς ὑπονοοῦσι δημιουργὸν, ὃν δὴ διὰ τοῦτο καὶ Ζῆνα καὶ Δία προσηγορεύκασιν· ἐκεῖνο μὲν ὡς ζωῆς τοῖς οὖσι χορηγὸν, τοῦτο δὲ ὡς αἰτίαν τινὰ διὰ πάντων φοιτήσασαν· ὃν δὴ καὶ τρίτον ποιοῦσιν ἀπὸ τοῦ ἑνὸς, ἓν γάρ φασιν τὸ ἐκ τῶν πάντων καὶ πρὸ τῶν πάντων, μεθ' ὃ ἰδέας καὶ ἐφεξῆς τὸν δημιουργὸν τοῦτον γὰρ ἀμέσως προσάγουσι τοῖς ποιήμασιν· οἱ δὲ ταύτην μὲν αἰτίαν ἀπέγνωσαν φαινομένην δέ τινι φύσει τὴν προσηγορίαν ταύτην ἐπιφημίζουσιν ἥτις δὴ, ὁ δεύτερος πλάνης ἐστὶ τοῖς ἀστρολόγοις ὀνομαζόμενος, ὅτι τοῦ ὑπερκειμένου τούτου φθαρτικοῦ τυγχάνοντος ταῖς γενέσεσιν· οὗτος οἷς ἁλώη

σχηματιζόμενος, ἢ ὑφαιρεῖται τι τῶν κακιόνων, ἢ προστίθησι τὰ καλλίονα· τοιαύτη μὲν καὶ ἡ δευτέρα δόξα περὶ τοῦ Διὸς τοῖς Ἕλλησιν. ἡ δὲ τρίτη, ἱστορικωτέρα ἴσως καὶ ἀληθεστέρα· αὐτόν τε γὰρ καὶ τὸν τούτου πατέρα τὸν Κρόνον, ὁμόθεν ἀπὸ Κρήτης γεννῶσι· καὶ τὸν μὲν, οὐκ ἴσασιν ὅποι γῆς κατορώρυκται· τοῦ δὲ ἐπὶ τῷ τάφῳ δεικνύουσι κολωνὸν, εἶτα τὴν θνητὴν φύσιν ὑπεραναβάντας ἀγχιστπόρους ποιοῦσι τῆς οὐσίας τοῦ κρείττονος· καὶ πρὸς τὸ τῆς θειότητος εἶδος μεταβιβάζουσι· τούτῳ δὴ τῷ λόγῳ καὶ Ἑρμῆς προστίθεται ὁ Τρισμέγιστος· τ' ἄλλα γὰρ θεωρῶν ὡς μύθους, τοῦτον δὴ μόνον γυμνὸν ἐξεδέξατο· καὶ πρὸς τὴν ἐκείνων μίμησιν τὸν ἑαυτοῦ παῖδα διερεθίζει τὸν Τάτ. ἡμῖν οὖν εἰ πρὸς τὴν ἱστορίαν τὴν Εὐριπίδιον μεταχειριζόμεθα, οὐδὲν μέγα ἔσται, σωματικὰς γενέσεις τοῦ Ταντάλου συνειληχόσιν, ἀλλ' οὐδ' εἰ πρὸς τὰ ἄστρα τὸν λόγον ἀνατείνομεν, ἄξιόν τι τῆς φιλοσόφου σπουδάσομεν σκέψεως, τὰ γὰρ ἐκ τῶν μαθημάτων, οὐχ ὑπάρξεις, ἀλλὰ σχήματα καὶ ποιότητες.

Λεγέσθω δὴ παρ' ἡμῶν Ζεὺς, ὁ χορηγὸς τῆς ζωῆς τοῖς ὅλοις θεός· Τάνταλος δὲ, τὸ αἰθέριον πῦρ· τέταται γὰρ δι' ὅλων τῶν σφαιρῶν, καὶ φύσιν ἔχει ἄνω κάτωθεν ἅλλεσθαι· τοῦτο γοῦν τὸ αἰθέριον πῦρ, ὁ παρὰ τῷ τραγικῷ Τάνταλος τῷ ἀέρι πέφυκεν ἐποχούμενον· τῷ γὰρ πέρατι τῆς τοῦ πυρὸς σφαίρας ἡ ἀρχὴ τῆς τοῦ ἀέρος προσῆπται· λεπτότερον δὲ τυγχάνον τοῦ ἀέρος τὸ πῦρ, ὥσπερ ὀχήματι τινὶ τούτῳ ἐπελαφρίζεται· ὁ δὲ ὑπερτέλλων τούτου κορυφὴν πέτρος, ἡ κατὰ τὸν Ἐμπεδοκλέα σφαίρα ἐστὶν, ὡς δὲ ἡμεῖς ἂν φαῖμεν ἡ ἀπλανὴς κυκλοφορία· ὁ μὲν γὰρ ἀὴρ τῷ πυρὶ ὑποβέβηκε· τῇ ἀπλανεῖ δὲ σφαίρᾳ τὸ πῦρ· ἥτις δὴ καθάπέρ τις χερμὰς ἐπιβεβάρηται καθάπέρ τινι κορυφῇ τῇ πρώτῃ ἐπιφανείᾳ τοῦ πυρός· αὕτη δὲ ἡ ἀπλανὴς τῇ ἀπαύστῳ καὶ ταχείᾳ περιαγωγῷ τῆς κινήσεως δοκεῖ μὲν πιέζειν τὸ πῦρ, ἵνα μηδέν τι καινὸν ἐν τοῖς πολυκλονήτοις στοιχείοις γένηται· οὐ διαφθείρει δὲ, ἀλλὰ τὸ μὲν, ὥσπερ ὑποπέφρικε· δεδόσθω γὰρ τοῦτο τῇ τοῦ μύθου ἐξουσίᾳ· συναγόμενόν τε καὶ συνειλούμενον· ὁ δὲ περιελισσόμενος κύκλος ἀφαιρεῖ

τι αὐτῷ ἀεὶ τοῦ δέους· τὸν ἅπαντα χρόνον ζῳογονῶν, ἀλλ' οὐ φθείρων· τὸ δὲ ἀμφιβάλλειν τὸν ὑποκριτὴν περὶ τῆς τούτου γενέσεως, ταύτην μοι ὑποβάλλει τὴν ἔννοιαν· ὅτι τετολμήκασί τινες τῶν Στοικῶν πυρώδη φύσιν τῷ τοῦ παντὸς προσάψαι δημιουργῷ, ἀλλ' οὐχ ἥγε Ἀκαδημία, οὐθ' ἡ πρεσβυτέρα, οὐθ' ἡ νεωτέρα τοῦτον τὸν λόγον ἐδέξαντο· ἀσώματον δὲ τοῦτον ὡρίσαντο· καὶ πρὸς μηδὲν τῶν στοιχείων ἐοικός τι ἔχοντα· διὰ τοῦτο ὁ ἐν τῇ σκηνῇ λόγος ἀμφιβάλλει περὶ τῆς τοῦ Ταντάλου γονῆς, καὶ τὸ ἀπὸ τοῦ δημιουργοῦ τὸ πῦρ γεγενῆσθαι ταῖς δημώδεσι παραχωρεῖ ὑπολήψεσι· σπουδάζεται γὰρ φιλοσοφία κἀπὶ τοῖς δράμασι, καὶ διὰ τοῦτο ὅπερ ἀπεμφαῖνον τοῦ μύθου πρὸς τὸν ἀληθῆ λόγον εὑρίσκει, τῷ τοῦ πλήθους συρφετῷ δίδωσιν· ἀλλὰ πῶς ἄνθρωπος ὁ Τάνταλος ἦν; πῶς δὲ καὶ τῆς κάτω γενέσεως πεφυκὼς ἀποτέλεσμα συνδιῃτᾶτο θεοῖς; πῶς δὲ καὶ συνδιαιτώμενος τούτοις, ἔκφορα τὰ κείνων ἐποίει μυστήρια, καὶ διὰ τοῦτο ἀπῃώρηται, καὶ τὸν λίθον πεφόβηται; φημὶ τοίνυν ἐγὼ ὡς ἀρχὴ τοῖς ἐν γενέσει τὸ πῦρ· ἡμῖν τε γὰρ εἰς τὴν σωματικὴν οὐσίαν συντελεῖ, καὶ μέρος γίνεται τῆς συνθέσεως τὸ κορυφαιότατον· ἀλλὰ καὶ πᾶν αἰσθητὸν φύσιν ἔχων ὁρᾶσθαι, κἂν ὁρῶτο ἐπιπροσθοῶντος τινὸς σώματος, αὐτὸ δὴ τὸ ὁρᾶσθαι τῆς πυρώδους οὐσίας μετείληφε· τὴν δὲ ἀπλανῆ παῖδες Ἑλλήνων πέμπτον ὑποτιθέμενοι σῶμα, οὐδὲν λυσιτελεῖν εἰς τὴν γένεσιν ἡμῶν οἴονται· διὰ τοῦτο λέγεται ὁ τοῦ Διὸς παῖς Τάνταλος, ὃν ἡμεῖς πῦρ ἐθεωρήσαμεν, ἄνθρωπος εἶναι καὶ τὴν γῆν λαχεῖν οἰκητήριον, ὅτι μεθ' ἡμῶν τὸ πῦρ, καὶ πρῶτον τοῦτο τοῦ σώματος ἡμῶν σύστασις, τόδ' αὐτὸ καὶ θεοῖς ἔλαχεν Ἑλληνικοῖς συνοικεῖν· εἰ γὰρ θεοὶ τούτοις οἱ πλάνητες· τούτοις δὲ καὶ τὸ πῦρ παροικεῖ· ὁμοδίαιτον ἄρα τοῦτο τοῖς ἐκείνων θεοῖς· ἔκπυστα δὲ τὰ κείνων πεποίηκεν, ὅτι φωτὶ πάντα καταλαμβάνεται· τὰ μὲν θεῖα τῷ θείῳ· τῷ σωματικῷ δὲ τὰ σωματικά· ἀκόλαστος δὲ τῷ πυρὶ ἡ γλῶττα, ὅτι τοῦτο μόνον τῶν στοιχείων παφλάζει τῇ φύσει, καὶ ἐς τὸ ἀεὶ συνηχεῖ· ἥτε γὰρ γῆ στάσιμος οὖσα καὶ ἀμετάθετος καὶ ἤχου ἐστέρηται· τότε ὕδωρ, εἰ μή τι εἴη τὸ κινοῦν, ἠρεμεῖ ἐπικεχυμένον τῇ γῇ· ὅτε

ἀὴρ ἀψόφῳ μένει κελεύθῳ κατὰ τὴν ποίησιν· τὸ δὲ πῦρ τῷ ἐγκειμένῳ ἐσάει στενοχωρούμενον πνεύματι περισαλπίζει τὰ ὦτα, οἷς ἂν προσεγγίσειε· τοιαύτη μὲν ἡ κεκρυμμένη τοῦ μύθου διάνοια, ἐφίησι γὰρ ποιηταῖς τῆς ἐπιστήμης ὁ νόμος ἀνεπιπλήκτως μυθολογεῖν, ὑμῖν δὲ τὰ ἐνταῦθα εἰρημένα μὴ ἀμετακίνητα δόγματα ἔστω· πρὸς γὰρ τὸ χρειῶδες τοῦ λόγου τὰς τῶν ὀνομάτων φύσεις ἐξειλήφαμεν, ἐπείπερ ἐφ' ἑτέρῳ μύθῳ, ἐν ᾧ δὴ ὁ μὲν Κρόνος τὸν Δία γεννᾷ· οὗτος δὲ τὸν πατέρα δεσμεῖ· ἄλλως ἂν δεξαίμεθα ἐκεῖνον τὸν παῖδα τοῦ Κρόνου.

Ἀλληγορία τοῦ Κρόνου.

Χρόνον γὰρ τὸν Κρόνον ἐκεῖ νομίσαντες δώσομεν αὐτῷ πάντα βροχθίζειν τὰ ἐκ τῆς ἐκείνου ὀσφύος γεννώμενα· τοιοῦτος γὰρ ὁ χρόνος δαπανητικὸς τῆς οὐσίας τῶν αἰσθητῶν· ἔμελλε δὲ καὶ αὐτὸς, τῷ συνεχεῖ τῆς οὐσίας οἰκείας φύσεως ῥεύματι παραῤῥεῖν τε καὶ παραπόλλυσθαι· ἀλλ' ἡ ἐκ διαδοχῆς τῶν ὄντων ζωὴ, ἥτις δὴ Ζεὺς ἐκείνῳ τῷ μύθῳ προσηγόρευται, τὴν τούτου ῥοὴν ἀνέχει καὶ οἷον δεσμεῖ, ὥς τε μὴ παραπόλλυσθαι· ἐπεὶ δὲ καὶ ἡ τοῦ καθ' ἕκαστον ζωὴ κινουμένη ἐστὶ καὶ παραῤῥέουσα, διὰ τοῦτο καὶ Ῥέαν μητέρα τῷ Διὶ ὁ μῦθος ἐπέστησεν· ἔδοξε δὲ καὶ τοῦτον ὁ Κρόνος καταπιεῖν, οὐ καταπέπωκε δὲ, τῷ μὲν γὰρ τὰς μερικὰς ζωὰς διαφθείρειν, διαλύων ἡμᾶς τοῖς πέρασι τοῦ εἱμαρμένου βίου, ὑφήρπασε τῷ λαιμῷ τὸν Δία· ἐφ' ὅσον δὲ μὴ πᾶσαν τῶν ὄντων τὴν ζωὴν κατανάλωσεν, ἀλλὰ μένει συντηρουμένη ταῖς διαδοχαῖς, ἠλευθέρωται ὁ παῖς τοῦ παιδοκτόνου πατρός.

Cod. Barocc. 219. f. 255. r.

Περὶ ἰδιότητος φύσεων παραδόξων.

Ἦν τίς φησιν Ἀττικὴ γραῦς τριάκοντα ὁλκὰς κωνείου ἀκινδύνως προσφερομένη. Λύσις δὲ μηκωνείου τέσσαρας ὁλκὰς ἀλύπως ἐλάμβανεν. Δημοφῶν ὁ Ἀλεξάνδρου τραπεζοποιὸς ἐν ἡλίῳ γενόμενος ἢ βαλανείῳ ἐῤῥίγα.

Ἀθηναγόρας ὁ Ἀργεῖος ὑπὸ σκορπίων καὶ φαλαγγίων ἀλύπως ἐπλήσσετο.

Οἱ καλούμενοι Ψύλλοι οὐδὲ ὑπὸ ἔχεων ἢ ἀσπίδων δακνώμενοι βλάπτονται.

Οἱ ἀντίπερα τῆς Μερόης Αἰθίοπες σκορπίους καὶ ὄφεις ἀκινδύνως ἐσθίουσι.

Ῥουφῖνος ὁ ἐν Χαλκιδαῖς πίνων ἐλλέβορον οὔτε ἤμει οὔτε ὅλως ἐκαθαίρετο· ἀλλ' ὥς τι τῶν συνήθων προσεφέρετο καὶ ἔπινεν.

Ἐρυσερμὸς ὁ Ἡροφίλειος[d], εἴποτε πέπερι προσηνέγκατο, καρδιακῶς ἐκινδύνευεν.

Ἄνδρων ὁ Ἀργεῖος οὕτως ἄδιψος ἦν, ὡς καὶ διὰ τῆς ἀνύδρου Λιβύης ὁδεύειν αὐτὸν μὴ ἐπιζητοῦντα ποτόν.

Τιβέριος[e] ὁ Καίσαρ ἐν σκότει ἑώρα.

Ἀριστοτέλης ἱστορεῖ Θάσιον τινὰ, ὃς ἐδόκει ἀνθρώπου εἴδωλον προηγεῖσθαι αὐτοῦ διαπαντός.

Περὶ θηριωδῶν ἀνθρώπων.

Φάλαρις ὁ Ἀκραγαντῖνος δεινὸς ἦν εὑρεῖν κολάσεις.

Βούσιρις ὁ Αἰγύπτιος ὠμὸς, ὡς καὶ ἀνθρώπους ἐσθίειν.

Διομήδης Θρὰξ ἔχων ἵππους ἀνθρωποφάγους, οὓς ἠχμαλώτευσεν ἀνθρώπους, παρεδίδου τούτοις εἰς βρῶσιν.

Ὁ Σκίῤῥων ὁ λῃστὴς τοὺς παριόντας ῥίπτων ἐν τῇ θαλάσσῃ παρεδίδου θηρίῳ χελώνῃ, καὶ ἠσθίοντο.

Ὁ Λιτυέρσης σπείρων τοὺς μὴ δυναμένους θερίζειν ὅσον ἐδίδου αὐτοῖς ἀνῄρει· τοῦτον δὲ ἀπέκτεινεν Ἡρακλῆς.

Ὁ Κερκυὼν ἄδικος ὢν, πάντα τὸν μὴ βουλόμενον παλαίειν αὐτῷ καὶ νικᾶν ἀπέκτεινεν· διὸ καὶ ὁ τόπος ἐν ᾧ ᾤκει Παλαιστήριον ἐκαλεῖτο· ἀπεκτάνθη δὲ ὑπὸ Θησέως καταπαλαισθεὶς σοφίᾳ.

Ὁ Καινεὺς γυνὴ ἦν· θέλοντος δὲ τοῦ Ποσειδῶνος ἑνωθῆναι αὐτῷ, ᾔτησεν ὅρκον ποιῆσαι αὐτῷ ὃ αἰτήσει, καὶ οὕτω συνελθεῖν· γινομένου δὲ τοῦ ὅρκου, καὶ ταύτης αἰτησάσης ἄνδρα γενέσθαι, καὶ γενομένης, ἀποτυχεῖν τὸν Ποσειδῶνα οὗ ἤθελεν.

Ὁ Τειρεσίας δὲ ἀνὴρ ὢν ἰδὼν τὴν Ἀθηνᾶν γυμνὴν λουομένην, διὰ ὀργὴν εἰς τοῦτο μετεβλήθη.

[d] ἡροφύλειος Cod. [e] Κιβέριος Cod.

Στωικοὶ ἀεὶ τὰς κεφαλὰς κεκαρμένοι ἦσαν ὡς μοναχοί.

Οἱ Ἐπικούρειοι μόνην ἡδονὴν ἐσεύοντο ἄθεοι ὄντες.

Νίνος ὁ βασιλεὺς, οὗ ἡ Νινευὶ πόλις, μίαν τρίχα πορφυρᾶν εἶχεν ἐν τῇ κεφαλῇ· καὶ χρησμὸς ἦν ταύτης ἀποτμηθείσης συναπολωλέναι τὴν πόλιν.

Ὁ Φινεὺς Ἀρκὰς ἦν καὶ τυφλός· ὁ δὲ Λυγκεὺς Ἀθηναῖος καὶ ὀξυδερκέστατος.

Ὁ Μῶμος μηδὲν ἔχων μέμψασθαι τῆς Ἀφροδίτης, ὅτι ὁ σάνδαλος τρύζει ἐμέμψατο.

Βύλλος καὶ Τριβάλλιος ἐπίορκοι καὶ ἀργοί· ἀπ' αὐτῶν δὲ καὶ τὸ παροιμιαζόμενον Κερκώπων ἀγορὰ, ἐπειδὴ εἰς πιθήκους λέγεται μεταβληθῆναι αὐτοὺς διὰ κακίας.

Cod. Barocc. 85. fol. 118.

Schol. in Basil. Orat. περὶ γενέσεως.

Ὁ δὲ αὐτὸς ἑωσφόρος καὶ ἕσπερος· καίτοι γε τὸ παλαιὸν ἄλλος ἐδόκει εἶναι ὁ ἑωσφόρος καὶ ἄλλος ὁ ἕσπερος· πρῶτος δὲ Ἴβυκος ὁ Ῥηγῖνος συνήγαγε τὰς προσηγορίας.

Plura habet Schol. de Astris et Astronom.

Οἱ περὶ Εὐδέξιον (leg. Εὔδοξον) καὶ Ἵππαρχον καὶ Διόδωρον τὸν Ἀλεξανδρέα μαθηματικοὶ ἐπλεύσαντο, οἷον ἐπραγματεύσαντο, Ἰκέλαος[f], οὐκ ὁ Ἑρμιονεὺς ἀλλ' ἕτερος, καὶ Ἐρατοσθένης ὁ γραμματικὸς καὶ Μέτων ὁ γεωμέτρης.

Fol. 122. Τὴν γῆν ἀκίνητον ἔφη Παρμενίδης ὁ Ἐλεάτης, Ξενοφάνης ὁ Κολοφώνιος· Πλάτων δὲ αὐτὴν ἰλέσθαι φησὶ τὸν διαπαντὸς τεταμένον πόλον ὅπερ ἀνία στρέφεσθαι· ἄλλα μὴν καὶ Ἀριστοτέλης καὶ οἱ ἀπὸ τῆς Στοᾶς ἀκίνητον ἀπέλιπον τὴν γῆν· τῇ δὲ προμένῃ[g] νῦν αἰτιολογίᾳ τῇ περὶ τῆς ἀκινησίας (Cod. ἀκησίας) τῆς γῆς Σράτων δοκεῖ πρῶτος ὁ φυσικὸς χρήσασθαι.

Fol. 151. Schol. ὅτι πολλάκις ἐξ ἀνάγκης οἱ ναυτικοὶ ἕψοντες τὸ θαλάσσιον ὕδωρ· καὶ τὸν ἐξατμιζόμενον ἀέρα σπόγγοις ὑποδεχόμενοι· γλυκύ τε καὶ πότιμον εὑρίσκουσι· καὶ τὴν δίψαν ἐν ταῖς ἀνάγκαις θεραπεύουσιν.

[f] Leg. καὶ Λάσος. [g] Leg. προκειμένῃ.

Var. Lect. ad Joseph. Fragm. περὶ τῆς τοῦ πάντος αἰτίας.

Joseph. Ed. Havercamp. t. II. p. 145.	Cod. Barocc. 143. f. 258. r. Ἰωσήπου ἐκ τοῦ λόγου τοῦ ἐπιγεγραμμένου κατὰ Πλάτωνος ἐκ τῆς τοῦ πάντος αἰτίας.
Περὶ δὲ ᾅδου.	μέρη δὲ ᾅδ.
διηνηκῶς.	διηνεκεῖ.
τὰς τῶν τρ.	τάς τε τῶν.
καταῤῥεφίφθαι.	κατερήφθαι.
ἐσκεύασται.	ἐσκευᾶσθαι.
προσενεχθείη.	προσενεχθήσεται.
προσκριθῶσι.	προκριθῶσιν.
ἀνεκλεύπτου.	ἀνεκλήπτου.
ᾧ καί.	ὡς καί.
τῇ πύλῃ ἐφεστῶτα ἀρχάγγελον.	τῆς πύλης ἐφεστῶσα ἀρχαγγέλων ἅμα στρατεῖα.
καινῶν προσδοκίᾳ ἡδόμενοι.	καιν. ὁρωμένων πρ.
τούτων βελτίω.	τοῦτο βελτίονα.
μειδιᾷ.	μιδιᾶ.
ἀναβίωσιν.	βίωσιν.
τούτῳ δὲ ὄνομα κικλήσκομεν.	τούτον δὲ ὀνόματι κλείζωμεν.
ἀριστερά.	ἀριστερᾶ.
ἄγγελοι διαπέμπονται.	ἄγγ. ἐπιτελοῦντες διαπέμπωνται.
ὠθοῦντες.	ὠθούσιν.
ἃς ἀγομένας.	οὓς ἀγομένους.
ἔγγιον ὄντες.	ἐγγίονες ὄντες.
ὑπακούουσι.	ἐπακούουσι.
ὑπερβαλλόντως θέαν.	ὑπερβαλλόντος ἐξανθὴν θέαν. Leg. ὑπερβαλλόντως ἐξανθήσασαν θέαν.
καταπεπήγασι.	καταπεπλήγασι.
τῆς μελλούσης κρίσεως.	κρισ. excidit.
ἀλλὰ καὶ οὗ τόν.	ἀλλὰ καὶ οὗτοι.
ἐπ. αὐτῷ κολαζ.	ἐπ' αὐτῷ τούτῳ κολ.
προσδέξασθαι.	πρὸς εὔξασθαι καὶ πρὸς ξοιντω.

Schol. in Act. VIII. 27. ἀνὴρ Αἰθίοψ εὐνοῦχος, δυνάστης Κανδάκης βασιλίσσης Αἰθιόπων. Ἐξ Ἀνεπιγράφου— ἐνταῦθα πεπλήρωται ἡ προφητεία ἡ λέγουσα "Αἰθιοπία προφθάσει χεῖρα αὐτῆς τῷ Θεῷ." Κανδάκης Αἰθίοπες πᾶσαν τὴν τοῦ βασιλέως μητέρα καλοῦσιν· οὕτω Βίων ἐν πρώτῳ Αἰθιοπικῶν· "Αἰθίοπες τοὺς βασιλέων πατέρας οὐκ ἐκφαίνουσι, ἀλλ' ὡς ὄντας υἱοὺς ἡλίου παραδιδόασι· ἑκάστου δὲ τὴν μητέρα καλοῦσι Κανδάκην."

Descr. e præstantissimo MS. Comment. in Act. Apost. et Epist. Cathol. quod adservatur in Bibl. Nov. Coll. 58. e quo quædam excerpsit Grab. in Spicil. Patr. plura Jo. Chr. Wolfius in Anecd. Gr. t. I. et II. In Œcumenio, qui eadem fere habet, nihil de Bione et ejus Æthiopicis.

FINIS.

AUCTORUM NOMINA.

CORRIGENDA.

P. 87, 4, συμμετρίων l. συμμετρίαν.
— 283, not., Dracontis l. Draconis.
— 301, 5, ἀντωνυμῶν l. ἀντωνυμιῶν.